ὁ τῶν κ.] corr. St. Sch.; *τὸ τῶν κ.* Ald. H.; *τὸ τῶν ἐκκυμάλων* P2.

ἐξ ἰνὸς δὲ] P2; *ἐξ ὑγροῦ δὲ* Ald. Edd. o. Scripturam *ἰνὸς* videtur distinctio praemissa postulare.

ὁ τῶν σ.] corr. St. Sch.; *τὸ τῶν σ.* P2 Ald. H. — *συκαμύνων* Bas.

ῥόας] Sch.; *ῥοᾶς* Ald. H.; *ῥοιᾶς* St.; *καὶ τὸ τῆς ῥόας* P2.

πάντων δὲ] *π. μὲν* M2 a m. pr. Extrema capitis pars inde a §. 9 Schneidero huc non pertinere suoque loco mota excidisse videtur: importune enim addi post clausulam sollennem. Quod cum mihi persuasisset quaerenti ubi reponenda essent alius non inventus est locus praeter post *ἀλλὰ διαφόρως* cap. 2, § 7. Sed distant illa nimium, neque commode illis nec sine magna mutatione adaptari possunt. Vide autem ne loco hoc haec suo sint. Cum externas foliorum differentias exposuisset easque finem habere clausula indicasset, tanquam appendicis loco explicat, quae sint foliorum structurae internae differentiae, ac pergit easdem in partibus aliis, quae foliorum similes sunt, quales sint demonstrare.

Cap. XI.

συμφ. ὑ. κ. θερμὸν] UMVP2 Sch.; *ὑγρὸν κ. θ. σύμφυτον* Ald. Edd.

ἔχον] *ἔχει* mBodaei; *habet* G.

ἐκλιπόντων] UP2 Sch. syll.; *ἐκλειπόντων* Ald. Edd.

ᾠά] „*ᾠιοῖς* Urb. hic et fere ubique" Amati ad C. pl. 1, 7. 1. — *οὔρινα* add. H. St. Sch., invitis U et P2, e versione G., ubi est *urinum ovum* in edd. Bas. Par.; natum ex *utitū* ed. Tarv. Scilicet G. ū*titū* i. e. ventitium scripserat, quam vocem addidit de suo.

εὐθὺ] U; *εὐθὺς* Ald. Edd. o.

ἀμυγδάλης] Ald. Edd.; *ἀμυγδαλῆς* U Sch., sed Amati ad C. pl. 1, 3, 2 „*ἀμυγδάλης* U ubique, ita tamen ut postremae circumflexus ab alia manu sit additus." Hic *ἀμυγδάλης* scribendum, cum fructum nominari vox *κάρυον* ostendat.

2. *οὐ μον.*] corr. Sch.; *οὖν μον.* Ald. H. St.; om. G.

χεδροπὰ] Ald. H. St.; *χέδροπα* Sch.

ἣν τινες] corr. St. Sch.; *ἥντινα* Ald. H.; *quam — quidam appellant* G.

κερκὶς] UMV mBas. St. Sch.; *κικὶς* Ald. H.; *cercis* G.

κολοιτία] *κολούτεα* St. Eadem 3, 17, 2 *κολουτέα* audit, quod h. l. rescribere jubet Meurs. Theoph. p. 85. Vide ad l. l. G. hic *coloetis*, l. 3. *colutea* et *colycea* habet.

ὁ κέγχ.] U Sch. syll.; *ἡ κ.* Ald. Edd.

ἐναγγειοσπέρματα etc.] U Sch.; *ἐν ἀγγειοσπέρματα· γυμνοσπέρματα ἢ ἐν ἀγγειοσπέρματα* omissis etiam antea *δὲ καὶ* M1; *ἐν ἀγγειοσπέρματα· γυμνοσπέρματα ἢ ἐναγγειοσπέρματα* M2; etiam V ab initio *ἐν ἀγγειοσπέρματα; ἔνια ἀγγειοσπ. καὶ γύμνοσπέρματα· ἀγγειοσπ.* Ald. H. St.; *simili modo vasculo inclusa et nuda: in vasculo ut papaver* G.

μηκωνικά· τὸ γὰρ] dedi de conj.; *μήκωνι· κατὰ γὰρ* UMV Ald.; *μήκωνι ὅμοια· τὸ γὰρ* cum Scalig. H. Sch.; *μήκων καὶ ἡ σαμήκων, ἣν σήσαμον* P; *quaeque papaveri similia* G. Inepte St.: *μήκωνι ὅμοια· κατὰ γὰρ σήσαμον ἰδιώτερος.*

ἰδιωτέρως· γυμνοσπέρματα δὲ τῶν τε λαχάνων πολλὰ καθάπερ ἄνηθον κορίαννον ἄννησον κύμινον μάραθον καὶ ἕτερα πλείω. τῶν δὲ δένδρων οὐδὲν γυμ- 3.
νόσπερμον ἀλλ' ἢ σαρκὶ περιεχόμενον ἢ κελύφεσιν τὰ μὲν δερματικοῖς ὥςπερ ἡ βάλανος καὶ τὸ εὐβοϊκὸν, τὰ δὲ ξυλώδεσιν ὥςπερ ἡ ἀμυγδάλη καὶ τὸ κάρυον. οὐδὲν δὲ ἐναγγειόσπερμον, εἰ μή τις τὸν κῶνον ἀγγεῖον θήσει διὰ τὸ χωρίζεσθαι τῶν καρπῶν. αὐτὰ δὲ τὰ σπέρματα τῶν μὲν εὐθὺ σαρκώδη καθάπερ ὅσα καρυηρὰ καὶ βαλανηρά· τῶν δὲ ἐν πυρῆνι τὸ σαρκῶδες ἔχεται καθάπερ ἐλάας καὶ δαφνίδος καὶ ἄλλων· τῶν δ' ἐμπύρηνα μόνον ἢ πυρηνώδη γε καὶ ὥςπερ ξηρὰ καθάπερ τὰ κνηκώδη καὶ κεγχραμιδώδη καὶ πολλὰ τῶν λαχανηρῶν. ἐμφανέστατα δὲ τὰ τοῦ φοίνικος· οὐδὲ γὰρ κοιλότητα ἔχει τοῦτο οὐδεμίαν ἀλλ' ὅλον ἔξορρον· οὐ μὴν ἀλλ' ὑγρότης δή τις καὶ θερμότης ὑπάρχει δῆλον ὅτι καὶ τούτῳ καθάπερ εἴπομεν. διαφέρουσι δὲ καὶ τῷ τὰ μὲν ἀθρόα μετ' 4.
ἀλλήλων εἶναι, τὰ δὲ διεστῶτα καὶ στοιχηδὸν ὥςπερ τὰ τῆς κολοκύντης καὶ

ἰδιωτέρως] UMVP Bas. Sch.; *ὑδιωτέρως* Ald.; *ὑδιωτέρος* Cam.; *ἰδιώτερος* H. St.; *nam sesamae modus quidam peculiaris* G.

κορίαννον ἄννησον] corr. Sch.syll.; *κοριάννησον* UM Ald.; *κοράννησον* V; *κοριάννητον* H.; *κορίαννον* St.; *κορίαννον ἄνισον* mBod. Sch.cont.; *coriannisum* G.

μάραθον] U Sch.syll.; *μάραθρον* Ald. Edd. o. Formam atticam *μάραθον*, in U fere semper scriptam, in Syll. restituit Sch.

3. *ἢ κελύφεσιν*] de conj. Schneideri in Auct.; *ἡ δὲ κύμασιν τὰ μὲν δερματικοῖς ὥςπερ ἡ βάλανος καὶ τὸ εὐβοϊκὸν τὰ δὲ ξυλ.* U; *ἢ δέρμασιν· τὰ μὲν σπερματικοῖς — εὐοϊκόν —* Ald. et P, qui *εὐβοϊκὸν* habet; *σπερματικοῖς* etiam M e quibus praeterea nihil adnotatum; *ἢ δέρμασιν· τὰ μὲν δερματικοῖς — εὐβοϊκον —* H. St. quae e versione Gazae ducta sunt: *sed aut carne obducta aut cute aut crusta ceu glans et euboicum.* Gaza vocem *crusta* a Plinio 15, 28 S. 38 habere videtur, quo auctore dederat Sch.cont. *ἢ δέρμασιν· ἢ ὀστρακώδεσιν ἢ ξυλώδεσι τὰ μὲν σαρξὶν . . . . τὰ δὲ δέρμασιν ὥςπερ τὸ Εὐβοϊκὸν, τὰ δ' ὀστρακώδεσιν ὥςπερ ἡ βάλανος τὰ δὲ ξυλ.* Ipsum deinde hujus additamenti poenituit. Veritatem lectionis receptae confirmant C. pl. 4, 1, 3 *ἔτι δὲ τὰ μὲν ἐν κελύφεσι δερματικοις ἔνια δ' ἐν ξυλώδεσιν.*

ἀμυγδάλη] Ald. Edd.; *ἀμυγδαλῆ* Sch.

ἐναγγειόσπερμον] Ald.; *ἐναγγειόσπερμα* U; *ἐν ἀγγειόσπερμα* MV; *ἐναγγειοσπέρματον* Sch.; *ἀγγειόσπερμον* P; *γρ. ἐναγγειόσπερμον* mP.

τὸν κῶνον] *τῶν κώνων* superscripto *τὸ κῶνον* U.

εὐθὺ] UMV; *εὐθὺς* Ald. Edd. o.

ἔχεται] *ἔχει* mBod. *ἔχεται* non valet *adhaeret*, ut RConst. vult, sed *continetur.*

ἐλάας] U; *ἐλαίας* Ald. Edd. o.

ἐμπύρηνα μόνον ἢ πυρηνώδη γε] dedi e conj. Schn. Comm. facillima et unice vera; *ἢ πυρηνώδη γε* dat etiam P; *ἐν πυρῆνι μόνον ἢ πυρηνώδει γε* Ald. Edd. o.; *non desunt quibus in nucleo tantum vel nucleaceo et quasi retorrida constent* G. — Equidem retinui *γέ* a Sch. omissum.

κνηκώδη] *κνῆκώδη* U; *κνικώδη* Ald. Edd. o.

κεγχραμιδώδη] P Ald. Edd. o.; *κιγχραμ.* UMV; om. G.

ὅλον] *ὅσον* mBas. aut substitutum aut ante *ὅσον* additum vult.

ἔξορρον] de conj. dedit Sch., *totum sero repletum* i. e. *albuminosum;* nam embryo phoenicis minimus est. *ἔξορθον* P Ald. Edd.; *tota plena atque persolida sunt* G.

ὑγρότης] *ἡ ὑγρότης* V.

δή τις] Ald. Edd. o.; *δέ τις* UMVP.

4. *τὰ δὲ διεστῶτα*] Ald. Edd. o.; *δὲ* om. UM.

στοιχηδὸν] dedi de conj.; *σχεδὸν* Ald. Edd. o. *Differunt praeterea quod alia congesta atque promiscua: alia discreta atque distantia* G. Ad quae Scalig. „distantia ita ut inter cucurbitae semen et semen aliud intersit. *τὸ σχεδὸν* significat hic propinquitatem.“ En virum doctum dormitantem! Qui poterat *σχεδὸν* propinquitatem significans cum *διεστῶτα* jungi? Neque vero in soluta oratione *σχεδὸν* nude positum significat *propinquum.* Seminibus congregatis, *ἀθρόοις,* ea solum opponi possunt, quae ordine quodam posita inter se distant: cum sint *ἀθρόα* ea quae nullo conspicuo ordine posita quocunque modo congregata sunt. Jam ipsa exempla *cucumeris peponis* ostendunt, id genus fructuum indicari, quorum semina certis ordinibus s. seriatim disposita regulariter inter se distant.

σικύας καὶ τῶν δένδρων ὡς περσικῆς μηλέας. καὶ τῶν ἀθρόων τὰ μὲν ἐνί τινι
περιέχεσθαι καθάπερ τὰ τῆς ῥόας καὶ τῆς ἀπίου καὶ μηλέας καὶ τῆς ἀμπέλου
καὶ συκῆς· τὰ δὲ μετ᾽ ἀλλήλων μὲν εἶναι μὴ περιέχεσθαι δὲ ὑφ᾽ ἑνὸς ὥςπερ τὰ
σταχυηρὰ τῶν ἐπετείων εἰ μή τις θείη τὸν στάχυν ὡς περιέχον· οὕτω δ᾽ ἔσται
καὶ ὁ βότρυς καὶ τἆλλα τὰ βοτρυώδη καὶ ὅσα δὴ φέρει δι᾽ εὐβοσίαν καὶ χώρας
ἀρετὴν ἀθρόους τοὺς καρπούς, ὥςπερ ἐν Συρίᾳ φασὶ καὶ ἄλλοθι τὰς ἐλάας.
ἀλλὰ καὶ αὕτη δοκεῖ τις εἶναι διαφορὰ τὸ τὰ μὲν ἀφ᾽ ἑνὸς μίσχου καὶ μιᾶς
προςφύσεως ἀθρόα γίνεσθαι, καθάπερ ἐπί τε τῶν βοτρυηρῶν καὶ σταχυηρῶν
εἴρηται μὴ περιεχόμενα κοινῷ τινι γίνεσθαι· τὰ δὲ μὴ γίνεσθαι. ἐπεὶ καθ᾽
ἕκαστόν γε λαμβάνοντι τῶν σπερμάτων ἢ τῶν περιεχόντων ἰδίαν ἀρχὴν ἔχει
τῆς προςφύσεως, οἷον ἥ τε ῥὰξ καὶ ἡ ῥόα καὶ πάλιν ὁ πυρὸς καὶ ἡ κριθή.
ἥκιστα δ᾽ ἂν δόξειεν τὰ τῶν μήλων καὶ τὰ τῶν ἀπίων ὅτι συμψαύει τε καὶ περι-
6. είληπται καθάπερ ὑμένι τινὶ δερματικῷ περὶ ὃν τὸ περικάρπιον· ἀλλ᾽ ὅμως καὶ
τούτων ἕκαστον ἰδίαν ἀρχὴν ἔχει καὶ φύσιν· φανερώτατα δὲ τῷ κεχωρίσθαι τὰ
τῆς ῥόας· ὁ γὰρ πυρὴν ἑκάστῳ προςπέφυκεν οὐχ ὥςπερ τῶν συκῶν ἄδηλα διὰ
τὴν ὑγρότητα. καὶ γὰρ τούτῳ ἔχουσι διαφορὰν καίπερ ἀμφότερα περιεχόμενα
σαρκώδει τινὶ καὶ τῷ τοῦτο περιειληφότι μετὰ τῶν ἄλλων· τὰ μὲν γὰρ περὶ

καὶ τῶν] *τὰ* interseruit Sch. Malim *καί τινων.*

ὥς περσικῆς μηλέας] U; *ὥς περ συκῆς μηλέας* Ald.; *ὥςπερ συκῆς μηλέας* Bas. Cam. H. St. Sch.; *fici mali* G. Mirum vero in hac scriptura editores acquievisse cum *ficus* et *malus* statim inter ea recenseantur quae semina *ἀθρόα* habent. *περσικὴ* vel *μηδικὴ μηλέα* est *Citrus medica* Linnaei. Cf. C. pl. 1, 11, 1.

ἀθρόων] *τῷ* i. u. add. Sch.

ἐνί τινι] corr. Sch.; *ἔν τινι* Ald. Edd.

ῥόας] Sch.; *ῥοιᾶς* Ald. H.

μηλέας] *μηλείας* cum p. sub *ε* U.

τὰ δὲ] *τῷ* i. u. add. Sch.

βότρυς] *βοτρ* mutilum dat U.

τἆλλα] Sch.; *τἄλλα* Ald. Edd.

ἀθρόους] Cam. H. St. Sch.; *ἀθρώους* Ald. Bas.

ἐλάας] *ἐλάας* U; *ἐλαίας* Ald. Edd. o.

5. *αὕτη*] corr. Sch.; *αὐτὴ* Ald. Edd.

τὸ] dedi de conj.; *τῷ* Ald. Edd. o., cui *αὕτη* repugnat.

ἀφ᾽] *οἷφ᾽* Cam. unde *ὑφ᾽* H. et St.

ἀθρόα γίνεσθαι] *γίνεσθαι* om. H. Bod.

τινι γίνεσθαι· τὰ] Ald. H.; *γίνεσθαι* om. St. Sch. *ut de racemis spicisque diximus nullo ambiente communi tegmine provenire* G. Manet mihi scrupulus ut locum sanum praestare nolim.

ἐπεὶ—προςφύσεως] om. St.

οἷον ἥ τε ῥὰξ—κριθή.] sic Sch. in syll., quem sequor donec libri nos meliora doceant; *οἷον ἥτε σὰρξ καὶ ἡ ῥόα* — UM et Ald. ubi *ῥοιά*; *οἷον ἥ τε ῥὰξ καὶ ἡ ῥοιά* — H.; *ἥ τε ῥὰξ βότρυος καὶ τῆς ῥόας ὁ πυρὴν καὶ π.* — mBod.; *ἡ ῥὰξ βότρυος καὶ τῆς ῥοιᾶς ὁ πυρὴν καὶ ἀνάπαλιν ὁ τοῦ πυροῦ καὶ κριθῆς* St.; *οἷον ἥ τε ῥὰξ καὶ τῆς ῥόας ὁ πυρὴν καὶ πάλιν — κριθή* Sch.cont; *ut acini tum uvae tum punici: item triticum ordeum.* G. Post *κριθή* addunt *καὶ ὁ πυρὴν* Ald. H., quae om. Sch., mutavit Bod. margo in *καὶ ὁ κέγχρος,* St. in *καὶ κέγχρον.* In vers. G. ed. Heins. post *hordeum* addit *milius*, quod ed. Tarv. Bas. et Par. ignorant.

ἥκιστα etc.] Sic pergit G. *Malorum pirorumque ubinam conjungantur comprehendanturque velut membrana quadam quam caro fructus obducit: minus perceperis.* Scilicet legit *ὅπου.*

ὅτι] corr Sch.syll.; *ὅπι* U; *ὅποι* P M Ald.; *ὅπου* H. St.; *ἐπεὶ* Sch.cont.

6. *ὅμως*] *ὅλως* P.

καὶ φύσιν] Ald. Edd. G.; *καὶ πρόςφυσιν* de conj. Sch. Malim *ἀρχὴν ἔχει προςφύσεως.*

ῥόας] U Sch.; *ῥοιᾶς* Ald. Edd.

ὥςπερ τῶν] *τὰ* interseruit i. u. Sch.

τούτῳ] corr. Sch.; *τοῦτο* Ald. Edd.

διαφορὰν] *διάφορον* St.

τὰ μὲν γὰρ] U Sch.syll. St.; *τὸ μ. γ.* Ald. H. Subaudiendum *τῆς ῥόας σπέρματα.*

ἕκαστον ἔχει τὸν πυρῆνα τὸ σαρκῶδες τοῦτο τὸ ὑγρὸν, αἱ δὲ κεγχραμίδες ὥςπερ κοινόν τι πᾶσαι καθάπερ καὶ τὸ γίγαρτον καὶ ὅσα τὸν αὐτὸν ἔχει τρόπον. ἀλλὰ τὰς μὲν τοιαύτας διαφορὰς τάχ' ἄν τις λάβοι πλείους· ὧν δεῖ τὰς κυριωτάτας καὶ μάλιστα τῆς φύσεως μὴ ἀγνοεῖν.

Cap. XII. Αἱ δὲ κατὰ τοὺς χυλοὺς καὶ τὰ σχήματα καὶ τὰς ὅλας μορφὰς σχεδὸν φανεραὶ πᾶσιν ὥστε μὴ δεῖσθαι λόγου· πλὴν ἢ τοσοῦτον ὅτι σχῆμα οὐδὲν περικάρπιον εὐθύγραμμον οὐδὲ γωνίας ἔχει. τῶν δὲ χυλῶν οἱ μέν εἰσιν 19 H. 16 St.
οἰνώδεις ὥςπερ ἀμπέλου συκαμίνου μύρτου· οἱ δ' ἐλαώδεις ὥςπερ ἐλάας δάφνης καρύας ἀμυγδαλῆς πεύκης πίτυος ἐλάτης· οἱ δὲ μελιτώδεις οἷον σύκου φοίνικος διοςβαλάνου· οἱ δὲ δριμεῖς οἷον ὀριγάνου θύμβρας καρδάμου νάπυος· οἱ δὲ πικροὶ ὥςπερ ἀψινθίου κενταυρίου. διαφέρουσι δὲ καὶ ταῖς εὐωδίαις οἷον ἀννήσου κεδρίδος· ἐνίων δὲ ὑδαρεῖς ἂν δόξαιεν οἷον οἱ τῶν κοκκυμηλέων· οἱ δὲ ὀξεῖς ὥςπερ ῥοῶν καὶ ἐνίων μήλων. ἁπάντων δὲ οἰνώδεις καὶ τοὺς ἐν τούτῳ τῷ γένει θετέον· ἄλλοι δὲ ἐν ἄλλοις εἴδεσιν· ὑπὲρ ὧν ἁπάντων ἀκριβέστερον ἐν τοῖς περὶ χυλῶν ῥητέον, αὐτάς τε τὰς ἰδέας διαριθμουμένους ὁπόσαι καὶ τὰς

τὸν πυρ.] P, Edd. post H.; *τὴν πυρ.* Ald.

τοῦτο τὸ ὑγρὸν] M Ald. Schn.; *τὸ* om. H. — *τὰ μὲν γὰρ περὶ ἕκαστον πυρῆνα ἔχει τὸ σαρκῶδες τοῦτο ὑγρὸν* St.

πᾶσαι] U Sch.syll.; *πᾶσι* Ald. Edd. o.

διαφορὰς] Post. h. v. in Camotiana e superioribus verba *κειλότητα ἔχει τοῦτο οὐδεμίαν· ἀλλ' ὅσον ἔξορθον· οὐ μὴν ἀλλὰ* repetita inseruntur. Scilicet in Aldina haec verba, versu uno contenta, initio folii 13 posita, casu in initio paginae ejusdem folii versi repetita sunt, scripto *ὅσο* pro *ὅλον*, unde operae Cam. *ὅσον* fecerunt.

τῆς φυσ.] *τὰς τῆς φ.* St.

Cap. XII.

τοὺς χ.] U, de conj. Sch; *τοὺς* om. Ald. Edd.

πλὴν ἢ τοσοῦτον ὅτι] corr. H. St. Sch.; *πλὴν τοσοῦτον ἢ ὅτι* UM Ald. Equidem conj. *πλὴν τοσοῦτόν γ' ὅτι.* — Interpretes cum Scalig. verum non esse animadverterunt, quod Th. pericarpia nec rectilinea nec angularia esse dicat. Sed Th., qui *περικάρπια* inprimis vocat carnosa ac succulenta seminum integumenta (cf. C. pl. 1, 16, 1) recte id dixit. Mecum sentit Spr. in adnot. ad vers. germ. Temere Bodaeus ac male conjecit *οὐδὲ πᾶν περικάρπιον,* quod dedit St.

περικάρπιον] Ald. St. Sch.syll.; *περικαρπίων* H. Sch.cont.

χυλῶν] *ξύλων* UMVP.

οἰνώδεις] mBas. H. St. Sch.; *ἰνώδεις* UP Ald.

ἐλαώδεις] cum interserto *ι* minuto U; *ἐλαιώδεις* Ald. Edd. o.

ἀμυγδαλῆς] Sch.; *ἀμυγδάλης* Ald. Edd.

σύκου] Ald. H.; *συκῆς* St. Sch. Cf. Salmas. Ex. p. 905.

διοςβαλάνου] e conj. Salmasii Ex. p. 905 mBod. St. Sch., qui distincte *διὸς βαλάνου* scripsere. *δρυὸς βαλάνου* Ald. H.; *roboris, glandis* G.

ἀψινθίου] *ἀψίνθου* H.; *apsynthi* G.

ἀννήσου] U Sch.syll.; *ἀνήσου* MV Ald., *anesi* G. ed. Tarv.; *ἀνήθου* H. St. Sch.cont.

κεδρίδος] *κέδριδος* U Ald. *cedrulae* G.

δόξαιεν] corr. Sch.; *δόξειεν* Ald. Edd.

κοκκυμηλέων] St. Sch.; *κοκκυμηλίων* Ald. H. Videtur *κοκκυμήλων* scribendum.

μήλων] Ald. H. St.; *μηλέων* Sch.

ἁπάντων — θετέον] H. et Ald., haec *ἰνώδεις; ἁπάντων δὲ τοὺς οἰνώδεις χυλοὺς ἐν τ. —* St.; *ἁπάντων δὲ καὶ τοὺς οἰνώδεις ἐν τ. —* Sch.; *sed omnes qui vel huic generi tribuuntur vinosos putandum* G. In lectione Aldinae offendit ordo praeposterus verborum: tamen non mutaverim. C. pl. 6, 6, 4 *τῆς γὰρ οἰνώδους γλυκύτητος ἐγγυτάτω κεῖται τὸ ὀξύ,* quibus docemur *τούτῳ τῷ γένει* intelligendum esse *τὸ ὀξύ.* Sensus igitur: Succi omnium ii, qui in acidorum genere sunt adnumerandi sunt vinosis. Spr.: *alle weinichten Früchte gehören (ursprünglich) zu diesen,* quem sensum scripturae a se receptae inesse voluit Sch.

χυλῶν] *λαχανῶν* P.

2. πρὸς ἀλλήλους διαφορὰς καὶ τίς ἡ ἑκάστου φύσις καὶ δύναμις. ἔχει δὲ καὶ
ἡ τῶν δένδρων αὐτῶν ὑγρότης ὥςπερ ἐλέχθη διάφορα εἴδη· ἡ μὲν γάρ ἐστιν
ὀπώδης ὥςπερ ἡ τῆς συκῆς καὶ τῆς μήκωνος· ἡ δὲ πιττώδης οἷον ἐλάτης πεύ-
κης τῶν κωνοφόρων· ἄλλη δ' ὑδαρὴς οἷον ἀμπέλου ἀπίου μηλέας, καὶ τῶν
λαχανωδῶν δὲ οἷον σικύου κολοκύντης θριδακίνης· αἱ δὲ ἤδη δριμύτητά τινα
ἔχουσι καθάπερ ἡ τοῦ θύμου καὶ θύμβρας· αἱ δὲ καὶ εὐωδίαν ὥςπερ αἱ τοῦ
σελίνου ἀνήθου μαράθου καὶ τῶν τοιούτων. ὡς δ' ἁπλῶς εἰπεῖν ἅπασαι κατὰ
τὴν ἰδίαν φύσιν ἑκάστου δένδρου καὶ ὡς καθ' ὅλου εἰπεῖν φυτοῦ· πᾶν γὰρ ἔχει
κρᾶσίν τινα καὶ μίξιν ἰδίαν ἥπερ οἰκεία δῆλον ὅτι τυγχάνει τοῖς ὑποκειμένοις
καρποῖς· ὧν τοῖς πλείστοις συνεμφαίνεταί τις ὁμοιότης οὐκ ἀκριβὴς οὐδὲ σα-
φής· ἀλλ' ἐν τοῖς περικαρπίοις γὰρ μᾶλλον κατεργασίαν λαμβάνει καὶ πέψιν
καθαρὰν καὶ εἰλικρινῆ ἡ τοῦ χυλοῦ φύσις· δεῖ γὰρ ὥςπερ τὸ μὲν ὕλην ὑπολαβεῖν
3. τὸ δὲ εἶδος καὶ μορφήν. ἔχει δὲ αὐτὰ τὰ σπέρματα καὶ οἱ χιτῶνες οἱ περὶ
αὐτὰ διαφορὰν τῶν χυλῶν. ὡς δ' ἁπλῶς εἰπεῖν ἅπαντα τὰ μόρια τῶν δένδρων
καὶ φυτῶν, οἷον ῥίζα καυλὸς ἀκρεμὼν φύλλον καρπὸς, ἔχει τινὰ οἰκειότητα πρὸς
τὴν ὅλην φύσιν, εἰ καὶ παραλλάττει κατά τε τὰς ὀσμὰς καὶ τοὺς χυλοὺς, ὡς τὰ
μὲν εὔοσμα καὶ εὐώδη τὰ δ' ἄοσμα καὶ ἄχυλα παντελῶς εἶναι τῶν τοῦ αὐτοῦ
4. 20 H. μορίων. ἐνίων γὰρ εὔοσμα τὰ ἄνθη μᾶλλον ἢ τὰ φύλλα, τῶν δὲ ἀνάπαλιν τὰ
φύλλα μᾶλλον καὶ οἱ κλῶνες ὥςπερ τῶν στεφανωματικῶν· τῶν δὲ οἱ καρποί·
τῶν δ' οὐδέτερον· ἐνίων δ' αἱ ῥίζαι· τῶν δέ τι μέρος. ὁμοίως δὲ καὶ κατὰ

2. *ἐλάτης*] P2 St.; *τῆς ἐλάτης* Sch.; *ἐλεῖᾶ* U; *ἐλαίας* Ald. H.; *ἐλαίης* mBas. sed voluit *ἐλάτης*; *abietis* G.

πεύκης] St.; *τῆς πεύκης* MV Ald. H. Sch. Cum mihi persuasissem ex *ἐλάτης* quod primitus fuit librarios primum fecisse *ἐλεια της* deinde *ἐλαίας τῆς*, omisi *τῆς* ante *πεύκης*. — *κονοφόρων* P2.

ὑδαρὴς] *ὑδαρίς* Ald. Cam.

μηλέας] *μηλείας* U.

αἱ δὲ καὶ] Ald. Edd. o.; *ἡ δὲ καὶ* UMV. Quapropter Sch. *ἡ δὲ ἤδη — ἔχουσα* ac dein *ἡ τοῦ σελ.* scribendum esse suspicatur. Locus sic excerptus in P2: *ἄλλα δὲ, καὶ δριμύτητα ἔχουσιν, ὡς κρόμμυον, θύμερα* (margo *θρύμβος*). *τινὰ δὲ εὐωδίαν, ὡς σέλινον ἄνηθον μάραθον.*

μαράθου] U; *μαράθρου* Ald. Edd. o.

ἥπερ] mBas. H. St. Sch.; *εἴπερ* M Ald.

ὧν — ὁμοιότης] Cf. C. pl. 6, 6, 6.

οὐδὲ σαφὴς] U Sch.syll.; *οὐδ' ἐπαφὴς* Ald. Edd. o.; *οὐδ' ἐπαφὶς* P. Post *ἀκριβὴς* Sch. inseruit *δὲ* propter sequentia quae sua ex mente correxit.

ἀλλ' ἐν — γὰρ μᾶλλον] dedi de conj.; *ἀλλ' ἐν τοῖς περικαρπίοις· διὸ μᾶλλον* Ald. H., nec aliud codices habere videntur; *δι' ὧν μᾶλλον* St.; *διότι ἐν τοῖς περικαρπίοις μᾶλλον* Sch. Facillime mihi emendari visum mutato *διὸ* in *γὰρ*; haec enim dicit: — *οὐδὲ σαφὴς· ἀλλ' ἀσαφεστέρα· ὠμότερος γὰρ ὁ χυλὸς ἐν τῷ φυτῷ διὰ τὸ τὴν τούτου φύσιν ἐν τοῖς περικαρπίοις πέττεσθαι καὶ κατεργασιάν λαμβάνειν.*

3. *δὲ αὐτὰ*] Ald. H. St.; *καὶ* interseruit Sch. cum G.

καὶ φυτῶν] U; *καὶ τῶν φυτῶν* Ald. Edd. o.

ἀκρεμὼν] *ἀκρέμών* U; *ἀκρέμων* Ald. Edd. o.

ἔχει — φύσιν] haec in U margini adscripta a manu sec.

εἰ καὶ] de conj. Sch.; *ἡ δὲ* U; *εἰ δὲ* MV Ald.; *εἰ δὲ καὶ* H. St.; *quanquam* G.

4. *εὐώδη*] Ald. H. St.; *εὔχυλα* de conj. Sch; *aliae odoratae et bene sapidae* G. Sed *εὐώδης* et *εὐωδία* de iis dici quae gustu suavia sunt recte animadvertit RConst.

μᾶλλον ἢ] Ald. Edd. o. G.; om. UMV. Unde conjecerit aliquis scriptum fuisse *εὐοσμότερα τὰ ἄνθη ἢ τὰ φύλλα.*

στεφανωματικῶν] Ald. Edd.; *στεφανωμάτων* UV.

τῶν δέ τι μέρος] subintellige *τῆς ῥίζας*. Scilicet si lectio recte habet. Sententia, inquit Sch., flagitat *ἄλλο τι μέρος*. Scire vellem quaenam restet pars plantae, quae

τοὺς χυλούς· τὰ μὲν γὰρ βρωτὰ τὰ δ' ἄβρωτα τυγχάνει καὶ ἐν φύλλοις καὶ περικαρπίοις. ἰδιώτατον δὲ τὸ ἐπὶ τῆς φιλύρας· ταύτης γὰρ τὰ μὲν φύλλα γλυκέα καὶ πολλὰ τῶν ζώων ἐσθίει ὁ δὲ καρπὸς οὐδενὶ βρωτός· ἐπεὶ τό γε ἀνάπαλιν οὐδὲν θαυμαστὸν ὥστε τὰ μὲν φύλλα μὴ ἐσθίεσθαι τοὺς δὲ καρποὺς οὐ μόνον ὑφ' ἡμῶν ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων ζώων. ἀλλὰ καὶ περὶ τούτου καὶ τῶν ἄλλων τῶν τοιούτων ὕστερον πειρατέον θεωρεῖν τὰς αἰτίας.

Cap. XIII. Νῦν δὲ τοσοῦτον ἔστω δῆλον ὅτι κατὰ πάντα τὰ μέρη πλείους 21 H.
εἰσὶ διαφοραὶ πολλαχῶς· ἐπεὶ καὶ τῶν ἀνθῶν τὰ μέν ἐστι χνοώδη καθάπερ 17 St.
τὸ τῆς ἀμπέλου καὶ συκαμίνου καὶ τοῦ κιττοῦ· τὰ δὲ φυλλώδη καθάπερ ἀμυγδαλῆς μηλέας ἀπίου κοκκυμηλέας. καὶ τὰ μὲν μέγεθος ἔχει τὸ δὲ τῆς ἐλάας φυλλῶδες ὂν ἀμέγεθες. ὁμοίως δὲ καὶ ἐν τοῖς ἐπετείοις καὶ ποιώδεσι τὰ μὲν φυλλώδη τὰ δὲ χνοώδη. πάντων δὲ τὰ μὲν δίχροα τὰ δὲ μονόχροα· τὰ μὲν τῶν δένδρων τά γε πολλὰ μονόχροα καὶ λευκανθῆ· μόνον γὰρ ὡς εἰπεῖν τὸ τῆς ῥόας φοινικοῦν καὶ ἀμυγδαλῶν τινων ὑπέρυθρον· ἄλλου δὲ οὐδενὸς τῶν ἡμέρων οὔτε ἀνθῶδες οὔτε δίχρουν, ἀλλ' εἴ τινος τῶν ἀγρίων οἷον τὸ τῆς ἐλάτης· κρόκινον γὰρ τὸ ταύτης ἄνθος· καὶ ὅσα δή φασιν ἐν τῇ ἔξω θαλάττῃ ῥόδων ἔχειν τὴν χρόαν.
2. ἐν δὲ τοῖς ἐπετείοις σχεδὸν τά γε πλείω τοιαῦτα καὶ δίχροα καὶ διανθῆ. λέγω δὲ διανθὲς ὅτι ἕτερον ἄνθος ἐν τῷ ἄνθει ἔχει κατὰ μέσον

quidem suaveolens esse dici possit, postquam nominavit flores, folia, ramulos, fructus, radicem. Sed vereor ne gravius vitium inhaereat. Quid enim sibi vult *τῶν δ' οὐδέτερον,* ubi jam quatuor sunt partes nominatae?

χυλοὺς] Ald. H. St.; *χυμοὺς* tacite dedit Sch. hic et saepius invitis libris absque idonea causa.

ἰδιώτατον] U Sch.syll.; *ἰδιαίτατον* Ald. Edd. o.

τὸ γε] *τόδε* P.

φιλύρας] P 2 H. St. Sch.; *φιλλύρας* Ald.

ζώων] *ζώιων* U.

τὰ μὲν φ.] *τῶν μὲν φ.* St.

Cap. XIII.

τοσοῦτον] *τοσούτων* Cam.

ἐπεὶ καὶ] *ἔτι δὲ καὶ* St.

ἀμυγδαλῆς] Sch.; *ἀμυγδάλης* Ald. H. St.; *ἀμυγδαλέας* P 2.

μηλέας] *μηλείας* U.

κοκκυμηλέας] *κοκκυμηλείας* U.

ἐλάας] U; *ἐλαίας* Ald. Edd. o.

πάντων δὲ] *τούτων μὲν δὲ* St. sic! *τούτων* probat Sch. quod non debebat.

τὰ μὲν — λευκανθῆ] Ald. H. Sch.; *τῶν δένδρων δὲ τά γε π. μον. ἢ καὶ λευκανθῆ* St. Verba *τὰ — μονόχροα* om. G. edd. Tarv. Bas. Par., ubi sic: *cunctorum alii bicolores: Alii unicolores iidemque candidi.* Scilicet in Gazae codice omissa ea erant repetitae vocis *μονόχροα* caussa.

ῥόας] Sch.; *ῥοᾶς* Ald.

ἀμυγδαλῶν τινων] Sch.; *ἀμυγδάλων τινῶν* Ald. Edd.

ἀνθῶδες] interpretantur *colore laeto*, sed G. *flore pleno*. Haud genuinum esse credo.

ἀγρίων] Ald. Edd. o.; *αἰτίων* U; *ἀντιῶν* MV; *οἶμαι γρ. ἀγρίων* margo M 1 et 2. Cum praemissum sit *ἡμέρων* recte quidem habere *ἀγρίων* videtur: alia tamen dubitationem faciunt. Nescio an minus aptum exemplum plantae sylvestris floribus laeti coloris instructae afferri potuerit quam *abies;* neque verum est quod ea flores croceos habere dicitur, neque ubi ea arbor describitur 3, 9 de flore ejus quidquam affertur. Deinde quae sequuntur, nec nisi de plantis quibusdam marinis, quae 4 c. 6 sqq. describuntur, intelligi possunt, jubent *ἐλάτην* non pro terrestri sed pro marina abiete accipere, quanquam nec in hujus descriptione ulla fit floris mentio. Venit igitur in mentem perpendenti librorum lectiones scribendum esse *ποντίων.* Tamen dubito, quoniam sic verba *ἀλλ' εἴ τινες, τῶν ποντίων* cum proximis non bene coire videntur.

θαλάττῃ] *θαλάττης γῇ* St.

2. *τὰ γε*] *γε* om. P.

ὅτι] Ald. Edd.; *ὅ, τι* Sch.

ὥσπερ τὸ ῥόδον καὶ τὸ κρίνον καὶ τὸ ἴον τὸ μέλαν. ἔνια δὲ καὶ μονόφυλλα φύεται διαγραφὴν ἔχοντα μόνον τῶν πλειόνων ὥσπερ τὸ τῆς ἰασιώνης· οὐ γὰρ κεχώρισται ταύτης ἐν τῷ ἄνθει τὸ φύλλον ἕκαστον· οὐδὲ δὴ τοῦ λειρίου τὸ κάτω μέρος ἀλλὰ ἐκ τῶν ἄκρων ἀποφύσεις γωνιώδεις. σχεδὸν δὲ καὶ τὸ τῆς ἐλάας τοιοῦτόν
3. 22 H. ἐστιν. διαφέρει δὲ καὶ κατὰ τὴν ἔκφυσιν καὶ θέσιν· τὰ μὲν γὰρ ἔχει περὶ αὐτὸν τὸν καρπὸν οἷον ἄμπελος ἐλάα· ἧς καὶ ἀποπίπτοντα διατετρημένα φαίνεται, καὶ τοῦτο σημεῖον λαμβάνουσιν εἰ καλῶς ἀπήνθηκεν· ἐὰν γὰρ συγκαυθῇ ἢ βρεχθῇ συναποβάλλει τὸν καρπὸν καὶ οὐ τετρημένον γίγνεται· σχεδὸν δὲ καὶ τὰ πολλὰ τῶν . . . ἐν μέσῳ τὸ περικάρπιον ἔχει, τινὰ δὲ καὶ ἐπ' αὐτοῦ τοῦ περικαρπίου καθάπερ ῥόα μηλέα ἄπιος κοκκυμηλέα μύρρινος, καὶ τῶν γε φρυγανικῶν ῥοδωνία καὶ τὰ πολλὰ τῶν στεφανωτικῶν· κάτω γὰρ ὑπὸ τὸ ἄνθος ἔχει τὰ σπέρματα· φανερώτατον δὲ ἐπὶ τοῦ ῥόδου διὰ τὸν ὄγκον. ἔνια δὲ καὶ ἐπ' αὐτῶν τῶν σπερμάτων ὥσπερ ὁ ἄκανος καὶ ὁ κνῆκος καὶ πάντα τὰ ἀκανώδη· καθ' ἕκαστον γὰρ ἔχει τὸ ἄνθος. ὁμοίως δὲ καὶ τῶν ποιωδῶν ἔνια καθάπερ

τὸ ῥόδον καὶ τὸ κρίνον] Ald. H. St. Sch. syll.; *τὸ ῥόδων καὶ τὸ κρίνου* M Sch. cont.; *ut rosa viola nigra lilium* G.

τὸ ἴον] UMVP St. Sch.; *τὸ* om. Ald. H.

ταύτης] UMV Sch.; *ταύτῃ* Ald. Cam.; *ταύτῃ* Bas. H. St.

λειρίου] dedi e conj. Schneideri in Comm. assentiente Spr.; *χειρίου* UM Ald. Sch.; *χωρίου* H. Bod. qui *spatium* interpretatur; *χωρισμοῦ* St.; *neque conceptaculo pars infima eget* G.

3. *δὲ καὶ*] UMVP Sch.; *καὶ* om. Ald. Edd.; *oleae quoque flos* G.

ἐλάας] *ἐλαίας* cum p. sub *ι* U; *ἐλαίας* Ald. Edd. o.

κατὰ] superscriptum in U.

ἐλάα] U; *ἐλαία* Ald. Edd. o.

ἀποπίπτοντα] U, Sch. syll.; *διαπίπτοντα* Ald. Edd. o.

διατετρημένα] P Ald. Edd. o.; *διατετρυσμένα* MV; *διατετρομένα* Cam.

οὐ τετρημένον] Ald. Edd. o.; *εὐτετρησμένον* M.

γίγνεται] U; *γίνεται* Ald. Edd. Locis nonnullis U *γίγνομαι*, longe plurimis *γίνομαι* exhibet. Quamvis vero Th. plerisque locis *γίνομαι* scripserit caussa idonea est nulla cur alteram formam nunquam ab eo adhibitam fuisse dicamus: codicem U igitur sequor. Cf. de simili re disputantem Schneider ad Plat. Civ. p. 472. A.

τῶν . . .] *τούτων* St. Sch. i. u. addidit *δένδρων*. Malui lacunam indicare. An *αὐτῶν* scribendum? *Maior fere pars fructum in medio floris tenet* G.

τινὰ] de conj. Schneideri in Comm.; *τάχα* Ald. Edd. o. *Sed non desunt quae* G.

ῥόα] Sch.; *ῥοὰ* Ald. H.

μηλέα] *μηλεία* cum p. sub *ι* U.

ἄπιος] de corr. Bodaei St. Sch.; *ἄγνος* Ald. H.; *amerina* G. *Vitex agnus* non pertinet ad genus eorum, quae flores superos habent. Neque *μηλέᾳ* potuit quidquam magis aptum jungi quam *ἄπιος*.

κοκκυμηλέα] *κοκκυμηλία* U. Immerito hoc in suspicionem traxit Sch.

ῥοδωνία] *ῥοδωνιὰ* Ald. Edd. o.; *ῥόδαϊα* sed correctum U.

κάτω] *κατὰ*, scripto *ω* super *α*, U.

ἐπ' αὐ.] Ald. Edd. o.; *μετ αὐ.* M. Transit ad id genus explicandum, quod flores superos habet non in pericarpio sed in seminibus singulis positos.

σπερμάτων] e corr. Dalec. Sch.; *στομάτων* Ald. Edd.; *nonnulla et cum seminibus ipsis flores edunt* G.

ὁ ἄκανος] dedi de conj.; *ὁ ἄκαρος* UV; *ὁ ἄκορος* Ald. H. St.; *venerie* G.; *ἡ ἄκορνα* de conj. Sprengelii in Hist. rei herb. I. p. 102 dedit Sch., quam ille *Centauream benedictam* interpretatur. Cf. 6, 4, 3 sq. Saepissime confundi *ν* et *ρ* docet Bast. Comm. Pal. p. 726. *Ἄκανοι· οὕτως αἱ ἄκανθαι λέγονται* Bekk. Anecd. p. 370.

κνῆκος] *κνήκος* U; *μνίκος* V; *κνίκος* Ald. Edd. o.

ἀκανώδη] dedi de conj., quam ab iis, quae 6, 4, 4 sq. dicuntur, satis confirmari credo. *ἀνθώδη* Ald. H. Sch., quod Sch. et Spr. interpretantur *flores flosculosos ordinis plantarum quem Linnaeus Composita vocavit proprios.* Quae refutare supersedebo. *ἀκανθώδη* e conj. Dalecampii St.; *quae flores folio numeroso producunt* G.

τὸ ἄνθεμον· ἐν δὲ τοῖς λαχανηροῖς ὅ τε σίκυος καὶ ἡ κολοκύντη καὶ ἡ σικύα·
πάντα γὰρ ἐπὶ τῶν καρπῶν ἔχει καὶ προςαυξανομένων ἐπιμένει τὰ ἄνθη πολὺν
χρόνον. ἄλλα δὲ ἰδιωτέρως οἷον ὁ κιττὸς καὶ ἡ συκάμινος· ἐν αὐτοῖς μὲν γὰρ 4.
ἔχει τοῖς ὅλοις περικαρπίοις οὐ μὴν οὔτε ἐπ᾽ ἄκροις οὔτε περιειληφόσι καθ᾽
ἕκαστον ἀλλ᾽ ἐν τοῖς ἀνὰ μέσον· εἰ μὴ ἄρα οὐ σύνδηλα διὰ τὸ χνοῶδες. ἔστι
δὲ καὶ ἄγονα τῶν ἀνθῶν ἔνια καθάπερ ἐπὶ τῶν σικύων ἃ ἐκ τῶν ἄκρων φύεται
τοῦ κλήματος δι᾽ ὃ καὶ ἀφαιροῦσιν αὐτά· κωλύει γὰρ τὴν τοῦ σικύου βλάστησιν.
φασὶ δὲ καὶ τῆς μηλέας τῆς μηδικῆς ὅσα μὲν ἔχει τῶν ἀνθῶν ὥςπερ ἠλακάτην
τινὰ πεφυκυῖαν ἐκ μέσου ταῦτ᾽ εἶναι γόνιμα, ὅσα δὲ μὴ ἔχει ταῦτ᾽ ἄγονα. εἰ
δὲ καὶ ἐπ᾽ ἄλλου τινὸς ταῦτα συμβαίνει τῶν ἀνθοφόρων ὥστε ἄγονον ἄνθος
φύειν εἴτε κεχωρισμένον εἴτε μὴ σκεπτέον. ἐπεὶ γένη γε ἔνια καὶ ἀμπέλου
καὶ ῥόας ἀδυνατεῖ τελεοκαρπεῖν, ἀλλὰ μέχρι τοῦ ἄνθους ἡ γένεσις. γίνεται 5.

ἄνθεμον] Sch.syll.; *ἀνθέμιον* Ald. Edd., quod praeter h. l. non occurrit.

ὅ τε σίκυος] dedi de conj.; *ὅπερ σίκυος* UM; *ὁ περσίκυος* Ald.; *ὥςπερ σίκυος* H. St.; *ὥςπερ ὁ σίκυος* Schn.

καρπῶν] de conj. St.; *ἄκρων* Ald. H.; *καρπῶν τῶν ἄκρων* Sch.

προςαυξανομένων] Ald. Edd. o.; *προαυξ.* UM.

4. *ἰδιωτέρως*] U Ald. H. St.; *ἰδιαιτέρως* Sch.

μὴν] M Ald. Sch.; *μὲν* H. St.

περιειληφόσι] Ald. H. St.; *περιειληφός* Sch. Magno cum acumine Schn. difficultates hujus loci explicare conatus est: sed frustra ut mihi videtur; insunt menda quaedam quae nunc nemo tollere possit. Cum ad *ἔχει* subjectum *ἄλλα* objectum *τὰ ἄνθη* subintelligenda sint: *περιειληφότα* scribendum esse videtur. Sed neque sic omnia expedio. Notum est *morum* flores in amento collectos fructumque baccatum habere, quocum calyces quadripartiti concrescunt. Sch. igitur putabat fructum tali modo compositum Theophrasto *ὅλα περικάρπια* audire; dein quod floris partes quasi dispertitae inter partes futuri fructus in eadem *moro* sint, id sic dixisse *τὴν συκάμινον ἔχειν τὰ ἄνθη ἐν τοῖς ἀνὰ μέσον τοῦ περικαρπίου*. Num ita liceat haec verba interpretari dijudicent alii. Deinde omnia ista non cadunt in *hederam;* conjecit igitur Schn. *βάτος* legendum esse pro *κιττὸς*: sed nec id aptum est. Etsi enim fructus *rubi* similis est fructui *mori*, floris tamen figura ac situs huic et illi multum diversus. *Etenim florem haec in totis fructibus habent. Sed neque postremis insidentem neque in singulas partes ambientem: in mediis inculcatum, nisi forte concerni nequeat propter lanuginem* G.

ἄγονα] dedi de conj.; *ἁπλᾶ* P2 Ald. Edd. o. G., quod Sch. *flores majusculi*, Spr. *conformes* interpretantur. Vellem Sch. docuisset quomodo flores masculi *ἁπλᾶ* vocari potuerint. Verum *ἄγονα* scribendum est: rustici enim defringunt illos, quod steriles sunt non quod simplices aut quod in surculis ultimis nascuntur. Neque ea quae affert de *malo medica* poterant verbis *φασὶ δὲ καὶ* adnecti, nisi floribus sterilibus jam nominatis.

ἐπὶ] *εἰσὶ* P2.

σικύων] H. St. Sch.; *σικυῶν* U Ald.; *συκυων* bis super *υ* scripto *ι* P2.

μηλέας] *μηλείας* U; *μαλέας* P2.

ἠλακάτην] P2 P Ald. Edd. o.; *ἡλακάτην* U.

ἐκ μέσου, ταῦτ᾽ εἶναι] UMPP2; *ἐκ μέσου εἶναι ταῦτ᾽ εἶναι* V; *ἐκ μέσου τοῦ εἶναι* Ald.; *ἐκ μέσου, εἶναι* H. St.; *ἐκ τοῦ μέσου ταῦτ᾽ εἶναι* Sch.

ὥστε ἄγονον] mBas. H. St. Sch.; *ὥςπερ ἄτονον* U; *ὥςπερ ἃ τὸν ἄνθος* V; *ὥστε ἄτονον* Ald.; *ut florem sterilem gignant* G.

κεχωρισμένον] P mBas. H. St. Sch.; *κεχωρισμένων* Ald. Scal. interpretatus est *separatum a natura floris;* Sch. *separatum loco;* hic recte. Nam in cucumere flores steriles in surculis extimis, in malo medica promiscue nasci dicuntur.

ῥόας] Sch.; *ῥοιᾶς* Ald.

ἀδυνατεῖ] dedi de conj. Schneideri in Comm.; *ἀδύνατον εἰ* UMV Ald.; *ἀδύνατα* cum Scalig. H. St. Sch.

τελεοκαρπεῖν] *τελεοκαρπεῖ* U Ald. Cam.; *τελειοκαρπεῖ* MV Bas.; *τελειοκαρπεῖν* cum Scalig. H. St. Sch. — Forma vocis *τέλειος* earumque quae ab ea descendunt in *εο* plurimis locis in cod. U exhibetur, altera in *ειο* perpaucis sic ut facile adducaris illam ubique restituere. Malui tamen codici obsequi. Cf. Schneider ad Plat. Civ. p. 498 B.

ἀλλὰ μέχρι] UMVP Sch.syll.; *ἀλλὰ μὴ μέχρι* Ald. H.; *ἀλλὰ μὴν μέχρι* e conj. Scalig. St. Sch.; *ἀλλὰ μόνον μ.* conj. Coraes.

δὲ καὶ τό γε τῆς ῥόας ἄνθος πολὺ καὶ πυκνὸν καὶ ὅλως ὁ ὄγκος πλατὺς ὥςπερ ὁ τῶν ῥόδων· κάτωθεν δ' ἕτεροι δι' ὧν ὡς μικρὸν ὥςπερ ἐκτετραμμένος κύτινος ἔχων τὰ χείλη μυχώδη. φασὶ δέ τινες καὶ τῶν ὁμογενῶν τὰ μὲν ἀνθεῖν τὰ δ' οὔ καθάπερ τῶν φοινίκων τὸν μὲν ἄρρενα ἀνθεῖν τὸν δὲ θῆλυν οὐκ ἀνθεῖν ἀλλ' εὐθὺ προφαίνειν τὸν καρπόν. τὰ μὲν οὖν τῷ γένει τοιαῦτα τὴν διαφορὰν ἔχει καθάπερ ὅλως ὅσα μὴ δύναται τελεοκαρπεῖν. ἡ δὲ τοῦ ἄνθους φύσις ὅτι πλείους ἔχει διαφορὰς φανερὸν ἐκ τῶν προειρημένων.

23 H. 18 St. Cap. XIV. Διαφέρει δὲ τὰ δένδρα καὶ τοῖς τοιούτοις κατὰ τὴν καρποτοκίαν· τὰ μὲν γὰρ ἐκ τῶν νέων βλαστῶν φέρει τὰ δ' ἐκ τῶν ἔνων τὰ δ' ἐξ ἀμφοτέρων. ἐκ μὲν τῶν νέων συκῆ ἄμπελος· ἐκ δὲ τῶν ἔνων ἐλάα ῥόα μηλέα ἀμυγδαλῆ ἄπιος μύρρινος καὶ σχεδὸν τὰ τοιαῦτα· πάντα γὰρ ἐκ τῶν ἔνων. ἐὰν δὲ ἄρα τι συμβῇ κυῆσαι καὶ ἀνθῆσαι, γίνεται γὰρ καὶ ταῦτ' ἐνίοις ὥσπερ καὶ τῷ μυρρίνῳ καὶ μάλισθ' ὡς εἰπεῖν περὶ τὰς βλαστήσεις τὰς μετ' ἀρκτοῦρον, οὐ δύνα-

5. *τό γε*] U; *τόδε* M Ald.; *τό τε* H. St. Sch.

ῥόας] U Sch.; *ῥοᾶς* Ald.

ὅλως] *ὅλος* sed in rasura *ὅλως* apparet U; *ὅλος* Ald. Edd. o.

ῥόδων] de conj. Bodaei Sch.; *ῥοδῶν* St.; *ῥοῶν* Ald., idemque G. habuisse videtur.

κάτωθεν — μυχώδη] Ut supra scripsi exhibent UMV, nisi quod omnes *κότινος*; praeterea in U *ὧν* in litura scriptum et in M *μυκώδη*. Ald.: *κάτωθεν — ἐκτετραμμένοι κότινος ἔχων τὰ ἄνω μυχώδη*; P dat *ἐκτετραμμένος*, cetera ut Ald. G.: *Flos quoque punicae copiosus creberque est, denique amplitudinem sui quodammodo pomi aemulatur. Parum se subtus attollens colligit et ambitu congruo sinuatim reddit.* H. *κάτωθεν δὲ στενώτερος δι' οὗ ὡς — ἐκτετραμμένος κύτινος ἔχων τὰ ἄνω χειλώδη*; sic etiam St. qui *δι' οὗ μικρὸν καὶ ὥςπερ* dedit. Scal. conj.: *κατ. δὲ οἱ ὄγκοι δι' ὧν — ἐκτετραμμένος κύτινος ἔχων τὰ ἄνω μυχώδη.* Sch. — *ῥόδων ἔχων τὰ ἄνω ἀμυχώδη. κάτωθεν δὲ ἕτερος μικρότερος δὲ ὥςπερ ἐκτετραμμένος κύτινος.* Hoc mihi certum esse videtur sermonem esse de flore *Punicae* pleno cujus descriptio hic apte adjungi potuisse videtur. Vitium haerere in verbis *ἕτεροι δι' ὧν ὡς μικρὸν* videtur.

ὁμογενῶν] corr. Sch.; *ὁμοιογενῶν* Ald. Edd. *quibus genus commune* G.

μὲν ἀρρ.] *μὲν* om. P.

εὐθὺ] UMV; *εὐθὺς* Ald. Edd. o.

τῷ γένει τοιαῦτα] UM; *τ. γ. τοιαύτην* P Ald. H.; *τ. γ. τούτῳ τοιαύτην* St.; *ὁμογενῆ τοιαύτην* Sch.; *quae genus idem sorciuntur id differentiae obtinent* G.

τὴν] *την* U.

ὅλως ὅσα] Ald.; *ὅσα ὅλως* Sch.

δύναται] *δύναμαι* U.

τελεοκαρπεῖν] UV; *τελειοκαρπεῖν* Ald. Edd. o.

Cap. XIV.

βλαστῶν] mBas. H. St. Sch.; *βλαστὸν* U P2 Ald.

νέων] *νέω* Cam.

ἐκ τῶν ἔνων] P Ald. Edd. o.; *ἐκ τῶν νέων ἔνων* P2.

ἄμπελος] *ἄπελος* Ald. sol.

ἐλάα] *ἐλαία* cum p. U; *ἐλαία* Ald. Edd. o. P2.

ῥόα] P2 Sch.; *ῥοὰ* Ald.

μηλέα] *μηλεῖα* U; om. P2.

ἀμυγδαλῆ] hic cum Ald. Edd. o.; *ἀμυγδάλη* P2.

σχεδὸν — ἔνων] Interpunctionem et *γὰρ* delevit St. Locus non integer est. Quae enim sunt *τὰ τοιαῦτα?* non enim genus nominavit sed singula arborum exempla diversorum generum. Dein verba *πάντα γὰρ ἐκ τῶν ἔνων* prorsus abundant. Tum ad verba *ἐὰν δὲ — ἀνθῆσαι* subintelligendum *ἐκ τῶν νέων* quod quomodo juste fieri possit non assequor. Verba *καὶ σχ. — ἔνων* om. P2, qui post *μύρρινος* pergit *ἂν δ' ἄρα τι.*

ταῦτ' ἐνίοις] P. Idem videtur Sch. dare voluisse in syll., cum *ταῦτ' ἐν τοῖς* scriberet; *ταῦτα ἐνίοις* Ald. Edd. o. Ceterum totum locum a vitio sic liberari posse existimo ut scribatur *τοιαῦτα πάντα· ἐκ δὲ τῶν νέων ἐὰν ἄρα τι — καὶ τοῦτ' ἐνίοις κ. τ. λ.*

τὰς μετ' ἀ] H. St. Sch.; *τὰ μετ' ἀ* M Ald.

ται τελεοῦν ἀλλ' ἡμιγενῆ φθείρεται· ἐξ ἀμφοτέρων δὲ καὶ τῶν ἕνων καὶ τῶν
νέων εἴ τινες ἄρα μηλέαι τῶν διφόρων ἢ εἴ τι ἄλλο κάρπιμον· ἔτι δὲ ὁ ὄλυν-
θος ἐκπέττων καὶ σῦκα φέρων ἐκ τῶν νέων. ἰδιωτάτη δὲ ἡ ἐκ τοῦ στελέχους 2.
ἔκφυσις ὥσπερ τῆς ἐν Αἰγύπτῳ συκαμίνου· ταύτην γάρ φασι φέρειν ἐκ τοῦ
στελέχους· οἱ δὲ ταύτῃ τε καὶ ἐκ τῶν ἀκρεμόνων ὥσπερ τὴν κερωνίαν· αὕτη
γὰρ καὶ ἐκ τούτων φέρει πλὴν οὐ πολύν· καλοῦσι δὲ κερωνίαν ἀφ' ἧς τὰ σῦκα
τὰ αἰγύπτια καλούμενα. ἔστι δὲ καὶ τὰ μὲν ἀκρόκαρπα τῶν δένδρων καὶ ὅλως
τῶν φυτῶν τὰ δὲ πλαγιόκαρπα τὰ δ' ἀμφοτέρως. πλείω δ' ἀκρόκαρπα τῶν
ἄλλων ἢ τῶν δένδρων οἷον τῶν τε σιτηρῶν τὰ σταχυώδη καὶ τῶν θαμνωδῶν
ἐρείκη καὶ σπειραία καὶ ἄγνος καὶ ἄλλ' ἄττα καὶ τῶν λαχανωδῶν τὰ κεφα-
λόρριζα. ἐξ ἀμφοτέρων δὲ καὶ τῶν δένδρων ἔνια καὶ τῶν λαχανωδῶν οἷον
βλίτον ἀδράφαξυς ῥάφανος· ἐπεὶ καὶ ἐλάα ποιεῖ πως τοῦτο, καί φασιν ὅταν
ἄκρον ἐνέγκῃ σημεῖον εὐφορίας εἶναι. ἀκρόκαρπος δέ πως καὶ ὁ φοῖνιξ· πλὴν
τούτου γε καὶ ἀκρόφυλλον καὶ ἀκρόβλαστον· ὅλως γὰρ ἐν τῷ ἄνω πᾶν τὸ ζωτι-
κόν. τὰς μὲν οὖν κατὰ τὰ μέρη διαφορὰς πειρατέον ἐκ τούτων θεωρεῖν. αἱ 3. 19 St.
δὲ τοιαῦται τῆς ὅλης οὐσίας φαίνονται δῆλον ὅτι τὰ μὲν ἥμερα τὰ δ' ἄγρια καὶ
τὰ μὲν κάρπιμα τὰ δ' ἄκαρπα καὶ ἀείφυλλα καὶ φυλλοβόλα καθάπερ ἐλέχθη
τὰ δ' ὅλως ἄφυλλα· καὶ τὰ μὲν ἀνθητικὰ τὰ δ' ἀνανθῆ καὶ πρωϊβλαστῆ δὲ καὶ
πρωΐκαρπα τὰ δὲ ὀψιβλαστῆ καὶ ὀψίκαρπα· ὡσαύτως δὲ καὶ ὅσα παραπλήσια
τούτοις. καί πως τά γε τοιαῦτα ἐν τοῖς μέρεσιν ἢ οὐκ ἄνευ τῶν μερῶν ἐστιν.
ἀλλ' ἐκείνη ἰδιωτάτη καὶ τροπόν τινα μεγίστη διάστασις ἥπερ καὶ ἐπὶ τῶν

δύναται] P2; δύνανται Ald. Edd. o.
τελεοῦν] UM; τελειοῦν P2 Ald. Edd.
ἕνων κ. τ. νέων] UM Sch.syll.; νέων κ. τ. ἕνων Ald. Edd. o.
εἴ τινες] Ald. Edd. o.; οἵ τινες UM.
διφόρων] corr. Scal. e vers. G. H. St. Sch.; διαφόρων U Ald.
κάρπιμον] Ald. Edd. o.; καρπὸν UMV.
δὲ ὁ] UMVP; δὲ καὶ ὁ Ald. Edd. o. — Sed notant interpretes ὄλυνθον hic vocari arborem, quum vocabulum id omnibus aliis locis et Theophrasti et ceterorum scriptorum nonnisi *grossos* s. *fructus fici* significet.
ἐκπέττων] ἐκπέττον M.
ἐκ τῶν νέων] UMV Ald. Sch.; ἐξ ἕνων H. St.
2. ἰδιωτάτη] ἰδιώτατον P2.
ταύτην γὰρ] καὶ ταύτην γὰρ Ald. Edd. Sch. καὶ seclusit, equidem ut importunum omisi. καὶ ταύτην γε U.
ταύτῃ τε καὶ ἐκ — ὥσπερ τὴν κερωνίαν] dedi de conj. Hoc enim dici debebat: *alii ajunt sycomorum et e trunco et e ramis flores proferre ut ceratoniam.* Alia enim ratione sycomorus non poterat comparari cum ceratonia, quae fructus e trunco et ramis ferre 4, 2, 4 dicitur. ταύτης μὲν ἐκ — UMV Ald. Sch.; ταύτης om. H. St. Dein ὥσπερ τῆς κερωνίας U; ὥσπερ καὶ τῆς κερωνίας Ald. H. Sch.; ὥσπερ ἡ κερωνία St.
καὶ ἐκ] UMP Sch.; καὶ om. Ald. Edd. Dein πολὺ U.
καλοῦσι δὲ] κ. γὰρ M.
σιτηρῶν] σιδηρῶν U.
σπειραία] Ald. Edd. o. et U sed scriptura inter η et ε et ι dubia.
βλίτον] βλοίτον M.
ἀδράφαξυς] ἀνδράφαξυς U; ἀνδράφαξις Schn.; ἀνδραφράξυς M; ἀναδράφραξις Ald.; ἀνδράφραξις P H. St.; *atriplex* G. Cf. ad 7, 1, 2.
ἐλάα] ἐλάα interserto ι minuto U; ἐλαία Ald. H.; ἡ ἐλαία St. Sch.
ἄκρον] Ald. Edd.; ἄκρων U; ἐπ' ἄκρον St.
τουτου γε] U Ald.; τοῦτόν γε M; τοῦτό γε Vo. H. St. Sch. Vellem τὸ additum post καὶ.
καὶ ἀκρόφυλλον] om. U.
κατὰ τὰ μέρη] τὰ addidi de conj.; om. Ald. Edd. o.
3. καὶ πρω. δὲ] Ald. H.; καὶ τὰ μὲν πρω. δὲ St. et Sch. sed hic omisso δέ.
καί πως τὰ γε τοιαῦτα] Sch.syll.; καὶ πῶν τά γε ταῦτα U; καὶ τὰ γε τοιαῦτα Ald. Edd. o. Olim καίτοι maluit Sch.

ζώων ὅτι τὰ μὲν ἔνυδρα τὰ δὲ χερσαῖα· καὶ γὰρ τῶν φυτῶν ἔστι τι τοιοῦτον γένος ὃ οὐ δύναται φύεσθαι μὴ ἐν ὑγρῷ· τὰ δὲ φύεται μὲν οὐχ ὅμοια δὲ ἀλλὰ χείρω. πάντων δὲ τῶν δένδρων ὡς ἁπλῶς εἰπεῖν καὶ τῶν φυτῶν εἴδη πλείω
24 H. τυγχάνει καθ' ἕκαστον γένος· σχεδὸν γὰρ οὐδέν ἐστιν ἁπλοῦν· ἀλλ' ὅσα μὲν ἥμερα καὶ ἄγρια λέγεται ταύτην ἐμφανεστάτην καὶ μεγίστην ἔχει διαφοράν, οἷον συκῆ ἐρινεὸς ἐλάα κότινος ἄπιος ἀχράς· ὅσα δ' ἐν ἑκατέρῳ τούτων τοῖς καρποῖς τε καὶ φύλλοις καὶ ταῖς ἄλλαις μορφαῖς τε καὶ τοῖς μορίοις. ἀλλὰ τῶν μὲν ἀγρίων ἀνώνυμα τὰ πλεῖστα καὶ ἔμπειροι ὀλίγοι· τῶν δὲ ἡμέρων καὶ ὠνομασμένα τὰ πλείω καὶ ἡ αἴσθησις κοινοτέρα· λέγω δ' οἷον ἀμπέλου συκῆς ῥόας μηλέας ἀπίου δάφνης μυρρίνης τῶν ἄλλων· ἡ γὰρ χρῆσις οὖσα κοινὴ συνθεωρεῖν ποιεῖ τὰς διαφοράς. ἴδιον δὲ καὶ τοῦτ' ἐφ' ἑκατέρων· τὰ μὲν γὰρ ἄγρια τῷ ἄρρενι καὶ τῷ θήλει ἢ μόνοις ἢ μάλιστα διαιροῦσι τὰ δὲ ἥμερα πλείοσιν ἰδέαις. ἔστι δὲ τῶν μὲν ῥᾷον λαβεῖν καὶ διαριθμῆσαι τὰ εἴδη, τῶν δὲ χαλεπώτερον διὰ τὴν πολυχοΐαν. ἀλλὰ δὴ τὰς μὲν τῶν μορίων διαφορὰς καὶ τῶν ἄλλων οὐσιῶν ἐκ τούτων πειρατέον θεωρεῖν. περὶ δὲ τῶν γενέσεων μετὰ ταῦτα λεκτέον· τοῦτο γὰρ ὥσπερ ἐφεξῆς τοῖς εἰρημένοις ἐστίν.

ἔστι τι τοι.] *ἐστι τὸ τοι.* Ald. Edd. o. Amati in collatione sua Urbinatis: „Verba *ἐστὶ τὸ τοιοῦτον* articulum in codice ita erasum gerunt ut antea etiam *τι* fuisse scriptum credere vestigiis liceat." Unde *τι* scripsi. — *τοιοῦτο* P.

μὴ] addidi de conj. sensu flagitante. Cf. cap. 4, 2. Sch. cum Stack. *εἰ μὴ* iterum dedere.

πάντων δὲ] *πάντων γὰρ* P.

ὡς ἁπλῶς εἰπεῖν καὶ τῶν] Ald. H. St.; *καὶ ὡς ἁ. ἐ. τῶν* Sch. cum G.

4. *ἀχράς*] Gaza addit *pinus pinaster*.

ὅσα δ' ἐν ἑκατέρῳ] U Ald. H. St. Sch. syll.; *ὅσα δὲ ἢ ἑκατέρω* MV; *ὅσα δὴ ἑκατέρων* Sch. cont.

μορίοις] *διαφέρει* addit Sch. i. u.

ὠνομασμένα τὰ πλ.] de conj. Sch.; *ὠνομασμένων πλ.* Ald. Edd.

ῥόας] Sch.; *ῥοᾶς* Ald.

μυρρίνης] Ald. Edd.; *μυρρίνου* Sch.

τῶν ἀ.] UMVP Ald. Sch.; *καὶ τῶν ἀ.* H. St.

μόνοις] Ald. H. Sch.; *μόνως* St.; *μόνον* maluit Sch.

ῥᾷον λαβεῖν] UMV; *ῥᾷόν τι λαβ.* Ald. H.; *ῥᾷόν τε λαβ.* St. Sch.

πολυχοΐαν] Sch.; *πολυχοίαν* Ald.; *πολυχροίαν* St. in Indice Errat.

λεκτέον τοῦτο] *λεκτέον· τοῦ . . τοῦτο* U.



ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Β.

Cap. I. Αἱ γενέσεις τῶν δένδρων καὶ ὅλως τῶν φυτῶν ἢ αὐτόμαται ἢ ἀπὸ σπέρματος ἢ ἀπὸ ῥίζης ἢ ἀπὸ παρασπάδος ἢ ἀπὸ ἀκρεμόνος ἢ ἀπὸ κλωνὸς ἢ ἀπ' αὐτοῦ τοῦ στελέχους εἰσὶν ἢ ἔτι τοῦ ξύλου κατακοπέντος εἰς μικρά· καὶ γὰρ οὕτως ἔνια φύεται. τούτων δὲ ἡ μὲν αὐτόματος πρώτη τις, αἱ δὲ ἀπὸ σπέρματος καὶ ῥίζης φυσικώταται δόξαιεν ἄν· ὥσπερ γὰρ αὐτόμαται καὶ αὐταί· δι' ὃ καὶ τοῖς ἀγρίοις ὑπάρχουσιν· αἱ δὲ ἄλλαι τέχνης ἢ δὴ προαιρέσεως. ἅπαντα 2.
δὲ βλαστάνει κατά τινα τῶν τρόπων τούτων, τὰ δὲ πολλὰ κατὰ πλείους· ἐλάα μὲν γὰρ πάντως φύεται πλὴν ἀπὸ τοῦ κλωνός· οὐ γὰρ δύναται καταπηγνυμένη, καθάπερ ἡ συκῆ τῆς κράδης καὶ ἡ ῥόα τῆς ῥάβδου. καίτοι φασί γέ τινες ἤδη καὶ χάρακος παγείσης καὶ πρὸς τὸν κιττὸν συμβιῶσαι καὶ γενέσθαι δένδρον· ἀλλὰ σπάνιόν τι τὸ τοιοῦτον· θάτερα δὲ τὰ πολλὰ τῆς φύσεως. συκῆ δὲ τοὺς μὲν ἄλλους τρόπους φύεται πάντας, ἀπὸ δὲ τῶν πρέμνων καὶ τῶν ξύλων οὐ φύεται· μηλέα δὲ καὶ ἄπιος καὶ ἀπὸ τῶν ἀκρεμόνων σπανίως. οὐ μὴν ἀλλὰ τά γε

Cap. I.

αὐτόμαται] UMVP; *αὐτόματοι* Edd. Codices sequor, quanquam mox *ἡ μὲν αὐτόματος* est. Cf. etiam cap. 4, 4.

εἰσὶν] M, Schn. cum Dal.; *ἐστίν* Ald. H. St.

ἔνια φύεται] Sch. de conj.; *ἀναφύεται* Ald. Edd.

αἱ δὲ] M Schn.; *ἡ δὲ* Ald. H. St.

αὐτόμαται] M; *αὐτόματοι* Edd. o.

ἢ δὴ προαι.] P; *ἤδη πρ.* U; *ἤδη πρ.* MV; *ἢ πρ.* Ald. Sch.; *ἢ ἀπὸ πρ.* Heins. St.; *ἤδη καὶ πρ.* conj. Sch.

2. *ἀπὸ τοῦ*] U Sch. syll.; *τοῦ* om. Ald. Edd.

οὐ γὰρ δύν.] P H. St. Sch.; *γάρ· οὐ δύν.* Ald.

καταπηγνυμένη] *καταπηγνυμένης ὥσπερ ἡ* St.; *καταπηγνυμένου* maluit Sch. Nihil mutandum. Participium refertur ad *ἐλάα*, etsi non tota arbor sed ramulus *καταπήγνυται*; ad *κράδης* et *ῥάβδου* repetendum est idem participium casu secundo.

ῥόα] Sch.; *ῥοὰ* Ald. H.: *ῥοιὰ* St.

καὶ πρὸς τὸν κιττὸν] om. St.

δὲ] *ἢ* St.

ἄπιος καὶ ἀπὸ] U; cett. om. *καί*.

τά γε πολλὰ πάνθ'] sic correxit Sch.; *τά τε πολλὰ πάνθ'* Ald. H.; *τά τε πολλὰ ἢ πάνθ'* corr. St.; *τά τε πολλὰ καὶ πάνθ'* conj. Dalec.; *Ceterum cuncta magna ex parte his quoque enasci contingit* G.; *Ceterum pleraque omnia fere his quoque enasci posse videntur* vertit Sch., ubi hoc maxime reprehendendum esse videtur, quod *pleraque omnia* scripsit. Nam ut verba *τά γε πολλὰ πάνθ'* genuina fuerint, *τὰ πολλὰ* habet adverbii potestatem, significans *plerumque.* Sed nec ea hic obtinet, cum *ἐνδέχεσθαι, fieri potest*, sequatur. Alterum igitur, aut *τὰ πολλὰ* aut *ἐνδέχεσθαι* delendum. Equidem vitium majus hic haerere puto.

πολλὰ πάνθ' ὡς εἰπεῖν ἐνδέχεσθαι δοκεῖ καὶ ἀπὸ τούτων ἐὰν λεῖοι καὶ νέοι καὶ
εὐαυξεῖς ὦσιν. ἀλλὰ φυσικώτεραί πως ἐκεῖναι· τὸ δὲ ἐνδεχόμενον ὡς δυνατὸν
3. ληπτέον. ὅλως γὰρ ὀλίγα τὰ ἀπὸ τῶν ἄνω μᾶλλον βλαστάνοντα καὶ γεννώμενα,
καθάπερ ἄμπελος ἀπὸ τῶν κλημάτων· αὕτη γὰρ οὐδ' ἀπὸ τῆς πρώρας ἀλλ'
ἀπὸ τοῦ κλήματος φύεται, καὶ εἰ δή τι τοιοῦτον ἕτερον ἢ δένδρον ἢ φρυγανῶ-
δες, ὥςπερ δοκεῖ τό τε πήγανον καὶ ἡ ἰωνία καὶ τὸ σισύμβριον καὶ ὁ ἕρπυλλος
καὶ τὸ ἑλένιον. κοινοτάτη μὲν οὖν ἐστὶ πᾶσιν ἥ τε ἀπὸ τῆς παρασπάδος καὶ
ἀπὸ σπέρματος. ἅπαντα γὰρ ὅσα ἔχει σπέρματα καὶ ἀπὸ σπέρματος γίνεται·
ἀπὸ δὲ παρασπάδος καὶ τὴν δάφνην φασὶν, ἐάν τις τὰ ἔρνη παρελὼν φυτεύσῃ.
δεῖ δὲ ὑπόρριζον εἶναι μάλιστά γε τὸ παρασπώμενον ἢ ὑπόπρεμνον. οὐ μὴν
ἀλλὰ καὶ ἄνευ τούτου θέλει βλαστάνειν καὶ ῥόα καὶ μηλέα ἐαρινή· βλαστάνει
4. δὲ καὶ ἀμυγδαλῆ φυτευομένη. κατὰ πλείστους δὲ τρόπους ὡς εἰπεῖν ἡ ἐλάα
βλαστάνει· καὶ γὰρ ἀπὸ τοῦ στελέχους καὶ ἀπὸ τοῦ πρέμνου κατακοπτομένου
καὶ ἀπὸ τῆς ῥίζης καὶ ἀπὸ τοῦ ξύλου καὶ ἀπὸ ῥάβδου καὶ χάρακος ὥςπερ εἴρη-
ται. τῶν δ' ἄλλων ὁ μύρρινος· καὶ γὰρ οὗτος ἀπὸ τῶν ξύλων καὶ τῶν πρέμνων
φύεται. δεῖ δὲ καὶ τούτου καὶ τῆς ἐλάας τὰ ξύλα διαιρεῖν μὴ ἐλάττω σπιθα-
μιαίων καὶ τὸν φλοιὸν μὴ περιαιρεῖν. τὰ μὲν οὖν δένδρα βλαστάνει καὶ γίνε-
ται κατὰ τοὺς εἰρημένους τρόπους· αἱ γὰρ ἐμφυτεῖαι καὶ οἱ ἐνοφθαλμισμοὶ
καθάπερ μίξεις τινές εἰσιν ἢ κατ' ἄλλον τρόπον γενέσεις, περὶ ὧν ὕστερον
λεκτέον.

Cap. II. Τῶν δὲ φρυγανωδῶν καὶ ποιωδῶν τὰ μὲν πλεῖστα ἀπὸ σπέρματος ἢ ῥίζης τὰ δὲ καὶ ἀμφοτέρως· ἔνια δὲ καὶ ἀπὸ τῶν βλαστῶν ὥςπερ εἴρηται.

εὐαυξεῖς] corr. H. St. Sch.; *αὔξεις* UMV Ald.; *facile auctiles* G.

τὸ δὲ — ληπτέον] i. e. id vero quod fieri contingit, in earum rerum genere ponendum est, quae fieri possunt. Vetat enim ne ea, quae interdum accidunt et observantur, putemus ipsam naturae normam indicare. Quod enim fieri potest *τὸ δύνατον,* non est ipsa semper naturae norma, *τὸ φυσικώτατον.*

3. *πρώρας*] *πρώιρας* U; *ἀκρωμίας* conj. Dalec. Sed *πρώρας* dedit Sch. loco *πρώτας* C. pl. 3, 14, 8. Locus vitiis laborat, quae exposuit Sch. Neque particula *οὐδὲ* satis apta est, et verba *οὐδ' ἀπὸ τῆς πρώρας* atque *ἀλλ' ἀπὸ τοῦ κλήματος* inter se pugnant. Neque e loco parallelo laudato medela proba peti posse videtur.

ἰωνία] U St.; *ἰωνιὰ* Bas. Sch. cum Bod.; *ὠνία* Ald. H.

ἕρπυλλος] Ald. H. St.; *ἕρπυλος* Sch.

ἑλένιον] H. St.; *helenium* G.; *ἐλένιον* Ald. Schn. Cf. ad 6, 1, 1.

ἅπαντα γὰρ] U Sch.syll. *ἅπ. δὲ* cett. — *ἔχει* Ald. Bas.

τὰ ἔρνη] U P2; Schn. de conj.; *τὸ ἔργον* Ald.; *τὸ περίεργον* H. St.; *ἐὰν τοῦ τὰ ἔργη* V et M, sed in M2 *τοῦ* est in corr.; *si quis sublatis surculis ferat* G. — Deinceps *περιελὼν* P2.

εἶναι] UP2; om. Ald. M. Post *ὑπόπρεμνον* addidit illud H. Sch. et St., qui h. vv. transposuit.

ῥόα] P2 Sch.; *ῥοὰ* Ald. H.; *ῥοιὰ* St.

ἀμυγδαλῆ] U Sch.; *ἀμυγδάλη* P2 Ald. H. St. *ἡ* cum St. anteponit Schn. syll. P2.

4. *καὶ ἀπὸ τοῦ ξύλου*] Haec verba ut spuria removenda esse censuit Jul. Pontedera ad Varron. 1, 39, 3, quo auctore Schn. uncis seclusit.

καὶ χάρακος] UP2; *καὶ ἀπὸ χάρ.* Ald. Edd. o. Explico hanc vocem cum Spreng. et Scalig.; ille: *Setzpfähle.* Errat Sch. *ramum* interpretatus.

ἐμφυτεῖαι] corr. RConst. H. St. Sch; *ἐμφυλίαι* U, sed rasura gemina, ut vestigia *ἐμφυτλείαι* indicare videantur; *ἐμφυλείαι* V; *ἐμφυλεῖαι* M Ald.

Cap. II.

ἢ ῥίζης] U Sch. syll. *καὶ ῥίζης* Ald. et Edd

ἀμφοτέρως] U, St. e conj., Sch.; *ἀμφότερα* V; *ἀμφοτέρας* Ald.; *ἀμφοτέρου* H.

ῥοδωνία δὲ καὶ κρινωνία κατακοπέντων τῶν καυλῶν ὥςπερ καὶ ἡ ἄγρωστις. φύεται δὲ ἡ κρινωνία καὶ ἡ ῥοδωνία καὶ ὅλου τοῦ καυλοῦ τεθέντος. ἰδιωτάτη δὲ ἡ ἀπὸ δακρύου· καὶ γὰρ οὕτω δοκεῖ τὸ κρίνον φύεσθαι ὅταν ξηρανθῇ τὸ ἀπορρυέν. φασὶ δὲ καὶ ἐπὶ τοῦ ἱπποσελίνου· καὶ γὰρ τοῦτο ἀφίησι δάκρυον. φύεται δὲ καὶ κάλαμος ἐάν τις διατέμνων τὰς ἠλακάτας πλαγίας τιθῇ καὶ κατακρύψῃ κόπρῳ καὶ γῇ. ἰδίως δὲ ἀπὸ ῥίζης τῷ φύεσθαι καὶ τὰ κεφαλόρριζα. τοσαυ- 2.
ταχῶς δὲ οὔσης τῆς δυνάμεως τὰ μὲν πολλὰ τῶν δένδρων, ὥςπερ ἐλέχθη πρότερον, ἐν πλείοσι τρόποις παραγίνεται· ἔνια δὲ ἀπὸ σπέρματος φύεται μόνον, οἷον ἐλάτη πεύκη πίτυς ὅλως πᾶν τὸ κωνοφόρον· ἔτι δὲ καὶ φοῖνιξ, πλὴν εἰ ἄρα ἐν Βαβυλῶνι καὶ ἀπὸ τῶν ῥάβδων, ὥς φασί τινες μωλύειν. κυπάριττος δὲ παρὰ μὲν τοῖς ἄλλοις ἀπὸ σπέρματος, ἐν Κρήτῃ δὲ καὶ ἀπὸ τοῦ στελέχους, οἷον ἐπὶ τῆς ὀρείας ἐν Τάρρᾳ· παρὰ τούτοις γάρ ἐστιν ἡ κουριζομένη κυπάριττος· αὕτη δὲ ἀπὸ τῆς τομῆς βλαστάνει πάντα τρόπον τεμνομένη καὶ ἀπὸ γῆς καὶ ἀπὸ τοῦ μέσου καὶ ἀπὸ τοῦ ἀνωτέρω· βλαστάνει δὲ ἐνιαχοῦ καὶ ἀπὸ τῶν ῥιζῶν σπανίως δέ. περὶ δὲ δρυὸς ἀμφισ- 3.
βητοῦσιν· οἱ μὲν γὰρ ἀπὸ σπέρματός φασι μόνον, οἱ δὲ καὶ ἀπὸ ῥίζης γλίσχρως· οἱ δὲ καὶ ἀπ' αὐτοῦ τοῦ στελέχους κοπέντος. ἀπὸ παρασπάδος δὲ καὶ

ῥοδωνία δὲ καὶ κρινωνία] Sch.; *ῥοδωνιά — ιὰ* P2 P Ald. Edd. Cf. I, 9, 4.
καὶ ἡ ῥοδ.] UMVP Sch.; *ῥοδωνία* U; articulum om. Ald. Edd.
ἰδιωτάτη] *ἰδιώτατον* P2.
δακρύου] UP2, Sch.syll.; *δακρύων* Ald Edd. o.
κρίνον] *κρῖνον* P2. — *ἀπορρυθὲν* P2.
καὶ ἐπὶ τοῦ ἱππ.] dedi de conj.: supple *ταὐτὸ γίνεσθαι, τὸ φύεσθαι ἐκ δακρύου*; *καὶ ἀπὸ τοῦ ἱππ.* Ald. Edd. ac P2, ubi *φασὶ δὲ* omissa, quam lectionem non aptam esse demonstravit Sch., qui e vers. Gazae *lacrimam quoque equapii vim eandem sortiri volunt* *καὶ τὸ ἀπὸ τοῦ* vel *καὶ τὸ τοῦ* fuisse suspicatur. Utrumque minus aptum. *καὶ περὶ τοῦ ἱππ.* St.
δὲ καὶ καλ.] Schn.; *δέ τις καὶ καλ.* Ald. Edd. *τὶς* minime ferendum, unde profectum sit mox dicetur.
διατέμνων] UMV Sch.; *διατέμνῃ* Ald. H. St.
τιθῇ] Schn. de conj.; *ᾖ* Ald. H. St. Sic mihi explico: literae *τιθ* migraverunt in versum superiorem, sic ut hic *η* solum relinqueretur, illae vero in *τις* mutarentur.
κατακρύψῃ] H. St.; *κατακρύψη* Ald.; *κατακρύψει* UMP; *κατακρύπτῃ* Schn.
ἰδίως — κεφαλόρριζα] U, praeter *κεφαλόριζα*. Pro *τῷ* in PMV est *τὸ*, in Ald. H. *καὶ*; *ῥίζης φύεται* St. cet. cum Ald.; *ἴδιον δὲ καὶ ἀπὸ ῥίζης τὸ φύεσθαι τὰ κεφ.* Sch. Malim *ἰδίως δὲ ἀπὸ ῥίζης ἐκφύεται.*
2. *παραγίνεται*] dedi de conj.; *φησίν ἐστιν* UM1V; *φασίν ἐστιν* M2; *ὥς φασίν ἐστιν* Ald. Edd. o.
κωνοφόρον] P2; tacite dederat Sch.; *κωνοφοροῦν* Ald. H. St.
καὶ φοῖνιξ] P2; *καὶ* om. Ald. Edd. o. *φοίνιξ* P.
ὥς φασι — μωλύειν] Ald. Sch.; *μοσχεύειν* auctore R Const. H. St.; Sch. in Comm. *ὡς* ejicere iubet. Quid autem hoc est *ἀπὸ τῶν ῥάβδων μωλύειν*? Subaudiendum vero *φύεται* post *ῥάβδων*. G.: *ni forte apud Babylonem e virgis quoque proveniat sicut nonnulli asseverant.* — *μολεύειν* e Poll. Onom. 7, sect. 146 substitui mavult Schn. *μολούειν, ἐγκόπτειν τὰς παραφυάδας* Hesych. Equidem collato C. pl. 1, 2, 1 vix dubito quin scribendum sit *πλὴν εἰ ἄρα ἐν Βαβυλῶνι καὶ ἀπὸ τῶν ῥάβδων φασί τινες μοσχεύειν.* P2 dat: *Βαβυλῶνι, ὥς φασί τινες καὶ ἐκ ῥάβδων· κυπ—.*
ἀπὸ σπ.] *ἐκ σπ.* P2.
ἐν κρήτῃ] *ἡ κρήτη* M.
ἐπὶ τῆς ὀρ.] dedi de conj.; *τὸ τῆς ὀρ.* UMV Ald. Sch.; *τὸ ἀπὸ τῆς κουρᾶς* H. de conj. pessima; *καὶ ἀπὸ τῆς κουρᾶς* St. G. Tarv. *ut montuosa vel in tarra*; ed. Par. et Bas. *ut montosa in Tarra.* Cf. ad. C. 1, 2, 2.
ἀπὸ γῆς] *ἐπὶ γῆς* St.
ἀνωτέρω] tacite corr. Sch., confirm. U. *ἀνωτέρου* Ald. H.
δὲ ἐνιαχοῦ καὶ] U, Sch. conj.; *δὲ καὶ ἐνιαχοῦ* Ald. H.; *καὶ* om. St.
3. *καὶ ἀπὸ ῥ.*] *καὶ* superscriptum in P.
γλίσχρως] *γλίσχως* H.
ἀπ αὐτοῦ τοῦ στ.] Ald. H.; *ἀπὸ τοῦ στελ.* St. Sch.; *ipso caudice.* G.

4. ῥίζης οὐδὲν φύεται τῶν μὴ παραβλαστανόντων. ἁπάντων δὲ ὅσων πλείους αἱ
γενέσεις, ἡ ἀπὸ παρασπάδος καὶ ἔτι μᾶλλον ἡ ἀπὸ παραφυάδος ταχίστη καὶ
εὐαυξής, ἐὰν ἀπὸ ῥίζης ἡ παραφυὰς ᾖ. καὶ τὰ μὲν οὕτως ἢ ὅλως ἀπὸ φυτευ-
3 St. H. τηρίων πεφυτευμένα πάντα δοκεῖ τοὺς καρποὺς ἐξομοιοῦν. ὅσα δ' ἀπὸ τοῦ
καρποῦ τῶν δυναμένων καὶ οὕτως βλαστάνειν, ἅπανθ' ὡς εἰπεῖν χείρω, τὰ δὲ
καὶ ὅλως ἐξίσταται τοῦ γένους, οἷον ἄμπελος μηλέα συκῆ ῥοιὰ ἄπιος· ἔκ τε
γὰρ τῆς κεγχραμίδος οὐδὲν γίνεται γένος ὅλως ἥμερον, ἀλλ' ἢ ἐρινεὸς ἢ ἀγρία
συκῆ, διαφέρουσα πολλάκις καὶ τῇ χροίᾳ· καὶ γὰρ ἐκ μελαίνης λευκὴ καὶ ἐκ
λευκῆς μέλαινα γίνεται· ἔκ τε τῆς ἀμπέλου τῆς γενναίας ἀγεννής· καὶ πολλά-
κις ἕτερον γένος· ὁτὲ δὲ ὅλως οὐδὲν ἥμερον ἀλλ' ἄγριον ἐνίοτε καὶ τοσοῦτον
ὥστε μὴ ἐκπέττειν τὸν καρπόν· αἱ δ' ὥστε μηδὲ ἁδρύνειν ἀλλὰ μέχρι τοῦ ἀν-
5. θῆσαι μόνον ἀφικνεῖσθαι. φύονται δὲ καὶ ἐκ τῶν τῆς ἐλάας πυρήνων ἀγριέ-
λαιος, καὶ ἐκ τῶν τῆς ῥόας κόκκων τῶν γλυκέων ἀγεννεῖς, καὶ ἐκ τῶν ἀπυρή-
νων σκληραί, πολλάκις δὲ καὶ ὀξεῖαι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐκ τῶν ἀπίων
καὶ ἐκ τῶν μηλέων· ἐκ μὲν ἀρ τῶν ἀπίων μοχθηρὰ ἢ ἀχράς, ἐκ δὲ τῶν μη-
λέων χείρων τε τῷ γένει καὶ ἐκ γλυκείας ὀξεῖα, καὶ ἐκ στρουθίου κυδώνιος.
χείρων δὲ καὶ ἡ ἀμυγδαλῆ καὶ τῷ χυλῷ καὶ τῷ σκληρὰ ἐκ μαλακῆς· δι' ὃ καὶ
αὐξηθεῖσαν ἐγκεντρίζειν κελεύουσιν, εἰ δὲ μὴ τὸ μόσχευμα μεταφυτεύειν πολ-
6. λάκις. χείρων δὲ καὶ ἡ δρῦς· ἀπὸ γοῦν τῆς ἐν Πύρρᾳ πολλοὶ φυτεύσαντες οὐκ

φύεται] corr. St. Sch.; *φύεσθαι* Ald. H.

4. *αἱ γενέσεις*] UMV Ald. Sch.; *εἰσι γεν.* Heins. St.

ἡ ἀπὸ παρασπ.] P H. St. Sch.; *ἢ ἀπὸ π.* Ald. Haud persuasit nobis Sch. disputans de his verbis atque conjiciens *ἡ ἀπὸ παρασπάδος ταχίστη τε καὶ εὐαυξὴς καὶ ἔτι μᾶλλον ἐὰν ἀπὸ ῥίζης ἡ παρασπὰς ᾖ.*

ταχ. καὶ] UM Sch.; *ταχ. δὲ καὶ* Ald. Edd.

εὐαυξὴς] *εὐάλξης* Ald.

ἀπὸ φυτ.] *τὰ ἀπὸ φυτ.* St.

οὕτως] U; *οὕτω* Ald. Edd.

ῥοιὰ] Ald.; *ῥόα* Sch.

ἀλλ' ἢ ἐρινεὸς] Haec corrupta esse suspicatur Schn., cum *ἐρινεὸς* ab *ἀγρία συκῇ* nullo modo differat. Facillimum foret prius *ἢ* delere.

χροίᾳ] *χροιᾷ* Ald. et Edd. ante Sch.

ἀγεννής] *φύεται* i. u. add. St.

ἐνίοτε] Ald.; *ἐνιότε* Sch. ut semper.

μηδὲ ἁδρ.] Sch. syll.; *μὴ δὲ ἁδρ.* U; *μὴ δὲ αδρ.* Ald.; *μὴ ἁδρ.* Sch.; *ἀδύνειν* P.

ἀνθῆσαι] Ald. Cam. H. St. Sch.; *εὐθῆσαι* Bas. sol.

5. *φύονται*] sic correxi; *φυτεύονται* Ald. H. St.; *φύεται* Vo. cod. Cas. Sch.; *nascitur* G.

ῥόας] Sch.; *ῥοᾶς* Ald. H.; *ῥοιᾶς* St.

κόκκων] *κοκκύων* P.

μόνον τοῖς] H. St. Sch.; *μόνον ἐν τοῖς* Ald.

ἐν γὰρ τοῖς ὄρεσι μικραὶ καὶ ὀζώδεις καὶ ἀκανθώδεις γίνονται· πάντα δὲ καὶ
ἐν τοῖς ὄρεσιν ὅταν ἐπιλάβωνται τῶν οἰκείων τόπων καὶ καλλίω φύεται καὶ
εὐθενεῖ μᾶλλον· ὡς δὲ ἁπλῶς εἰπεῖν τὰ ἐν τοῖς ὁμαλέσι τῶν ὀρῶν καὶ μάλιστα,
τῶν δὲ ἄλλων τὰ ἐν τοῖς κάτω καὶ κοίλοις· τὰ δ᾽ ἐπὶ τῶν ἄκρων χείριστα, πλὴν
εἴ τι τῇ φύσει φιλόψυχρον· ἔχει δὲ καὶ ταῦτ᾽ αὖ τινα διαφορὰν ἐν τοῖς ἀνο- 3.
μοίοις τῶν τόπων ὑπὲρ ὧν ὕστερον λεκτέον· νῦν δὲ διαιρετέον ἕκαστον κατὰ
τὰς διαφορὰς τὰς εἰρημένας. ἀείφυλλα μὲν οὖν ἐστι τῶν ἀγρίων ἃ καὶ πρό-
τερον ἐλέχθη ἐλάτη πεύκη πίτυς ἀγρία πύξος ἀνδράχλη μίλος ἄρκευθος τέρ-
μινθος φιλύκη ἀφάρκη δάφνη φελλόδρυς κήλαστρον ὀξυάκανθος πρῖνος μυρίκη·
τὰ δὲ ἄλλα πάντα φυλλοβολεῖ· πλὴν εἴ τι περιττὸν ἐνιαχοῦ, καθάπερ ἐλέχθη
περὶ τῆς ἐν τῇ Κρήτῃ πλατάνου καὶ δρυὸς καὶ εἴ που τόπος τις ὅλως εὔτροφος.
κάρπιμα δὲ τὰ μὲν ἄλλα πάντα· περὶ δὲ ἰτέας καὶ αἰγείρου καὶ πτελέας ὥςπερ 4.
ἐλέχθη διαμφισβητοῦσιν. ἔνιοι δὲ τὴν αἴγειρον μόνην ἀκαρπεῖν φασιν ὥςπερ καὶ 5. H.
οἱ ἐν Ἀρκαδίᾳ, τὰ δὲ ἄλλα πάντα τὰ ἐν τοῖς ὄρεσι καρποφορεῖν. ἐν Κρήτῃ δὲ καὶ
αἴγειροι κάρπιμοι πλείους εἰσί· μία μὲν ἐν τῷ στομίῳ τοῦ ἄντρου τοῦ ἐν τῇ
Ἴδῃ, ἐν ᾧ τὰ ἀναθήματα ἀνάκειται, ἄλλη δὲ μικρὰ πλησίον· ἀπωτέρω δὲ μά-
λιστα δώδεκα σταδίους περί τινα κρήνην Σαύρου καλουμένην πολλαί. εἰσὶ δὲ
καὶ ἐν τῷ πλησίον ὄρει τῆς Ἴδης ἐν τῷ Κινδρίῳ καλουμένῳ καὶ περὶ Πραισίαν
δὲ ἐν τοῖς ὄρεσιν. οἱ δὲ μόνον τῶν τοιούτων τὴν πτελέαν κάρπιμον εἶναί φασι,
καθάπερ οἱ περὶ Μακεδονίαν. μεγάλη δὲ διαφορὰ πρὸς καρπὸν καὶ ἀκαρπίαν 5.
καὶ ἡ τῶν τόπων φύσις, ὥςπερ ἐπί τε τῆς περσέας ἔχει καὶ τῶν φοινίκων· ἡ
μὲν ἐν Αἰγύπτῳ καρποφορεῖ καὶ εἴ που τῶν πλησίον τόπων, ἐν Ῥόδῳ δὲ μέχρι

καὶ ὀζ.] U Sch.syll.; *καὶ* om. Ald. Edd.
ἐν τοῖς] *καὶ τὰ ἐν τ.* conj. Schn.
εὐθενεῖ] U, superscripto *εὐθηνεῖ,* quod Ald. Edd. exhibent.
τὰ ἐν τοῖς — κοίλοις] inter *τὰ* et *ἐν* bis i. u. inseruit *μὲν* Sch.
τῶν] ante *ἄκρων* om. St.
3. *ταῦτ᾽ αὖ τινα*] dedi de conj.; *ταῦτα αὐτῶν* Ald. H. Sch; *ταῦτα τοιαύτην* St. Schn. malebat *τὰ τοιαῦτα* vel *ταῦτα τὴν αὐτήν*. Cf. 4, 1, 3.
ὑπὲρ ὧν] U Sch.; *ὑ. ὧ* M; *ὑ. οὗ* Ald. Edd.
ἐλάτη] UMVP St. Sch.; om. Ald. H.
ἀνδράχλη] U scripto *ν̄* super *λ̄*; *ἀνδράχνη* Ald. Edd. o.
φελλόδρυς] corr. Bod. ex 1, 9, 3 St. Sch.; *φελλὸς δρὺς* U (MV?) Ald.; *φελλὸς δρῦς* H.
κήλαστρον] Ald. H. Sch.; *κήλαστρος* UP St.; *κύλαστρος* M.
ὀξυάκανθος] *ὀξυάκανθα* St.
πρῖνος] *πρίνος* Ald. H.
τῇ Κρ.] UMV Sch.syll.; *τῇ* om. Ald. Edd.
δρυὸς] Ex 1, 9, 3 RConst. et Meurs. Theophr. p. 87 addi volunt *ἐν Συβάρει,* quod Sch. i. u. inseruit. Sed debebat *τῆς ἐν Συβάρει δρυὸς* scribere.
ὅλως] UP Ald.; *ὅλος* Cam. Sch.cont.
4. *ἔνιοι δὲ*] UMV Sch.; *δὲ* om. Ald. Edd.
οἱ ἐν Ἀ.] *αἱ ἐν Ἀ.* St.
τοῦ ἐν τῇ Ἴδῃ] Sch.; *τοῦ ἐν τῷ Ἴδῃ* U; *τοῦ ἐν τῷ Ἴδης* MV; *ἐν τῇ Ἴδῃ,* omisso *τοῦ,* Ald. H. St.
Κινδρίῳ] UMV Sch.syll.; *κεδρίῳ* Ald. Edd.
Πραισίαν] corr. Meurs. Creta p. 107; *τιρασίαν* UMV Ald.; *Τιρεσίαν* H. St.; *Τειρεσίαν* Sch. Sed in Syll. ex Urb. *Ταρασίαν* jubet reponere.
μόνον] UMVP; *μόνην* Ald. Edd.
οἱ περὶ Μ.] *αἱ περὶ Μ.* St.
5. *περσέας*] de conj. RConst. St.; *περσείας* U; *περσίας* Ald. Sch.; *persica* G. Videtur eadem esse haec arbor et illa, quae 4, 2, 5 describitur, ubi omnes *περσέα* habent. *πέρσιον,* quod est 2, 2, 10, fortasse fructum vocari, interpretes animadverterunt.
καὶ τῶν] *καὶ ἐπὶ τῶν* St.
πλησίον] UP Sch.; *πλησίων* Ald. Edd.

τοῦ ἀνθεῖν μόνον ἀφικνεῖται. ὁ δὲ φοῖνιξ περὶ μὲν Βαβυλῶνα θαυμαστὸς, ἐν
τῇ Ἑλλάδι δὲ οὐδὲ πεπαίνει, παρ' ἐνίοις δὲ ὅλως οὐδὲ προφαίνει καρπόν.
6. ὁμοίως δὲ καὶ ἕτερα πλείω τοιαῦτ' ἐστίν· ἐπεὶ καὶ τῶν ἐλαττόνων ποαρίων
καὶ ὑλημάτων ἐν τῇ αὐτῇ χώρᾳ καὶ συνόρῳ χώρᾳ τὰ μὲν κάρπιμα τὰ δ' ἄκαρπα
γίνεται· καθάπερ καὶ τὸ κενταύριον ἐν τῇ Ἠλείᾳ, τὸ μὲν ἐν τῇ ὀρεινῇ κάρπι-
μον τὸ δ' ἐν τῷ πεδίῳ ἄκαρπον ἀλλὰ μόνον ἀνθεῖ, τὸ δ' ἐν τοῖς κοίλοις τόποις
οὐδ' ἀνθεῖ πλὴν κακῶς. δοκεῖ δ' οὖν καὶ τῶν ἄλλων τῶν ὁμογενῶν καὶ ἐν μιᾷ
προσηγορίᾳ τὸ μὲν ἄκαρπον εἶναι τὸ δὲ κάρπιμον, οἷον πρῖνος ὁ μὲν κάρπιμος
7. 6H. 4St. ὁ δ' ἄκαρπος· καὶ κλῆθρα δὲ ὡσαύτως· ἀνθεῖ δ' ἄμφω. σχεδὸν δὲ ὅσα καλοῦ-
σιν ἄρρενα τῶν ὁμογενῶν ἄκαρπα· τούτων τὰ πολλὰ τὰ μὲν ἀνθεῖν φασι τὰ δ'
ὀλίγον τὰ δ' ὅλως οὐδ' ἀνθεῖν· τὰ δὲ ἀνάπαλιν, τὰ μὲν ἄρρενα μόνα καρποφο-
ρεῖν, οὐ μὴν ἀλλ' ἀπό γε τῶν ἀνθῶν φύεσθαι τὰ δένδρα, καθάπερ καὶ ἀπὸ τῶν
καρπῶν ὅσα κάρπιμα· καὶ ἐν ἀμφοῖν οὕτως ἐνίοτε πυκνὴν εἶναι τὴν ἔκφυσιν
8. ὥστε τοὺς ὀρεοτύπους οὐ δύνασθαι διϊέναι μὴ ὁδοποιησαμένους. ἀμφισβη-
τεῖται δὲ καὶ περὶ τῶν ἀνθῶν ἐνίων ὥσπερ εἴπομεν. οἱ μὲν γὰρ καὶ δρῦν ἀν-
θεῖν οἴονται καὶ τὴν ἡρακλεῶτιν καρύαν καὶ διοσβάλανον ἔτι δὲ πεύκην καὶ πί-
τυν· οἱ δ' οὐδὲν τούτων ἀλλὰ τὸν ἴουλον τὸν ἐν ταῖς καρύαις καὶ τὸ βρύον τὸ
δρύϊνον καὶ τὸν κύτταρον τὸν πιτύϊνον ὅμοιον καὶ ἀνάλογον εἶναι τοῖς προαπο-
πτώτοις ἐρινοῖς. οἱ δὲ περὶ Μακεδονίαν οὐδὲ ταῦτά φασιν ἀνθεῖν ἄρκευθον
ὀξύην ἀρίαν σφένδαμνον. ἔνιοι δὲ τὰς ἀρκεύθους δύο εἶναι καὶ τὴν μὲν ἑτέ-
ραν ἀνθεῖν μὲν ἄκαρπον δ' εἶναι, τὴν δὲ ἑτέραν οὐκ ἀνθεῖν μὲν καρπὸν δὲ φέ-

Ῥόδῳ] RConst. H. St. Sch.; „in Rhodo Gaza" mBas.; *ῥόα* Ald.

φοῖνιξ] *φοίνιξ* Ald.

θαυμαστὸς] U Ald. Sch.; *θαυμαστῶς* H. St.

οὐδὲ προφ.] *οὐδένα προφ.* St.

6. *ἐπεὶ καὶ*] corr. Sch.; *ἐπεὶ δὲ καὶ* Ald. H.; *ἔτι δὲ καὶ* St.; *nam et inter minora* G.

ποαρίων] H. St. Sch.; *minora herbarum* G.; *παρίων* UMV Ald.; *ποωδῶν* conj. Scal.

ἐν τῇ — συνόρῳ χώρᾳ] Ald. H. Sch.; *ἐν τῇ αὐ. ἢ καὶ συν. χ.* St.

κενταύριον] P2 Ald. Edd.; *κενταύρειον* P.

τὸ δ' ἐν τοῖς] MV Sch.; *τὰ δ' ἐν τοῖς* Ald. H. St.

πρῖνος] St. Sch.; *πρῖνος* U; *πρίνος* Ald. H.

7. *σχεδὸν δὲ — ἀνάπαλιν*] ita dedi cum Ald., sed *οὐδ'* pro *οὐκ* ex U scripsi; *δὲ* superscr. in M; mutato ordine *ἄκαρπα τὰ πολλά· τούτων τὰ μὲν* — dein *οἱ δ' ἀναπ.* scripsit Sch.; *ὁμογενῶν τούτων τὰ πολλὰ ἄκαρπά ἐστι· καὶ τὰ μὲν* St.; *fere autem omnes quas — masculas vocant, steriles magna ex parte videntur, earumque alias abunde florere — affirmant. Contra inter alias mares tantum fructificare putantur* G. Vitium quod hic subest nondum tollere contigit.

ἐνίοτε] U Ald.; *ἐνιότε* Sch.

οὐ δυν.] UMV Sch.syll.; *μὴ δυν.* Ald. Edd.

8. *ἀμφισβητεῖται*] U H. St. Sch.; *ἀμφισβητεῖ* Ald.

ἡρακλεῶτιν] *ἡρακλεωτικὴν* St.

δρύϊνον] P Edd. post H.; *δρύϊον* Ald.

ὅμοιον] sic correxi; *ὁμοίαν* U Ald. H.; *ὅμοια καὶ ἀνάλογα* St.; *ὅμοια καὶ ἀνάλογον* Sch.

προαποπτώτοις] corr. Sch.syll. ex U, etsi in Auctar. et Append. nihil de hac scriptura monuit; *προαπτώτοις* MV Ald.; *προπτώτοις* H. St. Sch.

ἐρινοῖς] St.; *ἐρινεοῖς* Ald.; *ἐρίνοις* Sch.

ὀξύην] H. St. Sch.; *ὀξύνην* MV Ald.

ἀρίαν] dedi de conj. Schneideri. *ὀξύην ἀγρίαν* H. Sch. quae discernenda esse ut duarum arborum nomina praecepit Palmer. Ex. p. 588. *ὀξύνην· ἀγρίαν σφ.* Ald. St. Cf. c. 10 in. — *σφέδαμνον* Ald., corr. a Bas.

τὰς ἀρκ.] *τὰς σαρκεύθους* U.

τὴν μὲν ἑτέραν] UMV Ald. Sch.; *μὲν* om. H. St.

ρειν εὐθὺς προφαινόμενον, ὥςπερ καὶ τὰς συκᾶς τὰ ἐρινά. συμβαίνει δ' οὖν
ὥστε ἐπὶ δύο ἔτη τὸν καρπὸν ἔχειν μόνον τοῦτο τῶν δένδρων. ταῦτα μὲν οὖν
ἐπισκεπτέον.
Cap. IV. Ἡ δὲ βλάστησις τῶν μὲν ἅμα γίνεται καὶ τῶν ἡμέρων τῶν δὲ
μικρὸν ἐπιλειπομένη τῶν δ' ἤδη πλέον, ἁπάντων δὲ κατὰ τὴν ἠρινὴν ὥραν.
ἀλλὰ τῶν καρπῶν ἡ παραλλαγὴ πλείων· ὥςπερ δὲ καὶ πρότερον εἴπομεν, οὐ
κατὰ τὰς βλαστήσεις αἱ πεπάνσεις ἀλλὰ πολὺ διαφέρουσιν· ἐπεὶ καὶ τῶν ὀψι-
καρποτέρων, ἅ δή τινές φασιν ἐνιαυτοφορεῖν, οἷον ἄρκευθον καὶ πρῖνον, ὅμως αἱ
βλαστήσεις τοῦ ἦρος. αὐτὰ δ' αὐτῶν τὰ ὁμογενῆ τῷ πρότερον καὶ ὕστερον
διαφέρει κατὰ τοὺς τόπους· πρῶτα μὲν γὰρ βλαστάνει τὰ ἐν τοῖς ἕλεσιν, ὡς
οἱ περὶ Μακεδονίαν λέγουσι, δεύτερα δὲ τὰ ἐν τοῖς πεδίοις, ἔσχατα δὲ τὰ ἐν
τοῖς ὄρεσιν. αὐτῶν δὲ τῶν καθ' ἕκαστα δένδρων τὰ μὲν συναναβλαστάνει τοῖς 2.
ἡμέροις οἷον ἀνδράχλη ἀφάρκη· ἀχρὰς δὲ μικρῷ ὕστερον τῆς ἀπίου. τὰ δὲ
καὶ πρὸ ζεφύρου καὶ μετὰ πνοὰς εὐθὺ ζεφύρου. καὶ πρὸ ζεφύρου μὲν κρανεία
καὶ θηλυκρανεία, μετὰ ζέφυρον δὲ δάφνη κλήθρα, πρὸ ἰσημερίας δὲ μικρὸν
φίλυρα ζυγία φηγὸς συκῆ· πρωΐβλαστα δὲ καὶ καρύα καὶ δρῦς καὶ ἀκτέος·
ἔτι δὲ μᾶλλον τὰ ἄκαρπα δοκοῦντα καὶ ἀλσώδη, λεύκη πτελέα ἰτέα αἴγειρος·
πλάτανος δὲ μικρῷ ὀψιαίτερον τούτων. τὰ δὲ ἄλλα ὥςπερ ἐνισταμένου τοῦ
ἦρος, οἷον ἐρινεὸς φιλύκη ὀξυάκανθος παλίουρος τέρμινθος καρύα διοςβάλα-
νος· μηλέα δ' ὀψίβλαστος· ὀψιβλαστότατον δὲ σχεδὸν ἴψος ἀρία τετραγωνία θύεια
μίλος. αἱ μὲν οὖν βλαστήσεις οὕτως ἔχουσιν. αἱ δὲ ἀνθήσεις ἀκολουθοῦσι μὲν ὡς 3.
εἰπεῖν κατὰ λόγον, οὐ μὴν ἀλλὰ παραλλάττουσι, μᾶλλον δὲ καὶ ἐπὶ πλέον ἡ

[1] *τὰ ἐρινά*] P; *τὰ ἐρινεὰ* Ald.; *τὰ ἔρινα* Sch.syll.; *καὶ τοὺς ἐρινέους* St.

συμβαίνει δ' οὖν] dedi de conj.; *συμβαίνει σχεδὸν* UMV Ald.; *συμβαίνειν δὲ σχεδὸν* H. St. Sch.; *itaque pene fieri, ut* G.

τῶν δένδρων] UMV Sch.; *τὸ δένδρον* Ald. H. St.

Cap. IV.

γίνεται] *τῶν ἀγρίων* inepte add. St.

ὥςπερ δὲ — οὐ κατὰ] Ald. Edd.; *δὲ* om. UMV. Quare Schn. in Comm. scribi voluit *ὥςπερ καὶ — οὐδὲ κατὰ*, in Syll. vero *ὥςπερ καὶ — οὐ γὰρ κατὰ*; *quod et antea diximus. non enim* G.

πρῖνον] Ald. St. Sch.; *πρίνον* H.

2. *ἀνδράχλη*] *ἀνδράχνη* Ald. Edd. o.

ἀφάρκη] UMVPmBas. Sch.; *apharca* G.; *ἀβάρκη* Ald. H. St. quod correxerat Palmer. Ex. p. 588.

καὶ πρὸ ζεφ.] *καὶ πρὸς ζεφ.* U. Post *ζεφύρου* additur *μὲν* in Ald. Edd., quod om. UMVP Sch.

εὐθὺ] U; *εὐθὺς* Ald. Edd. o.

κρανεία καὶ θηλυκρανεία] MVP St. Sch.; *καὶ* om. Ald. H.; *κρανεια καὶ θηλυκρανεια*, bis ϊ supra ει scripto U.

δάφνη] *καὶ* add. St.

κλήθρα] *κληθρα* scripto ει super η U.

φηγὸς] *φυγὸς* Cam.

ἀκτέος] MV Ald.; *κτεος* cum α superscr. U; *sambucus* G., unde *ἄκτη* H. St.; *ἀκτῆ* Schn. Servavi librorum scripturam; forsan aliud subest: conjeci olim *κότινος*.

τὰ ἄκαρπα δοκοῦντα καὶ ἀλσώδη] dedi de conj.; *τὰ ἀκ. τὰ δοκ. καὶ ἀλσ.* UMP; *τὰ ἄκ. τὰ δοκ. ἀλσώδη* Ald. H. St.; *τὰ ἀλσώδη τὰ ἄκαρπα δοκοῦντα* Schn.

ὀψιαίτερον] M Ald. Sch.; *ὀψαίτερον* H.

τὰ δὲ ἄλλα ὥςπερ ἐνισταμένου] dedi de conj.; *τὰ δὲ ἄλλως περ' ἐνιστ.* U; *τὰ δὲ ἄλλως περιενισταμένου* M Ald. H.; *τὰ δὲ ἄλλα περιενισταμένου* Sch.

ὀξυάκανθος] *— άνθη* St.

ὀψιβλαστότατον] *— τατα* St.

θύεια] *θυία* St. Cf. Lobeck ad Phryn. p. 165.

3. *μὲν ὡς εἰπ.*] UMV Sch.; *μὲν* om. Ald. Edd.

δὲ καὶ ἐπὶ] U Sch.syll.; *καὶ* om. Ald. Edd.

τῶν καρπῶν τελείωσις. κρανεία μὲν γὰρ ἀποδίδωσι περὶ τροπὰς θερινὰς ἡ
πρώϊος σχεδὸν ὥσπερ πρῶτον· ἡ δ' ὄψιος, ἣν δή τινες καλοῦσι θηλυκρανείαν,
μετ' αὐτὸ τὸ μετόπωρον· ἔστι δὲ ὁ ταύτης καρπὸς ἄβρωτος καὶ τὸ ξύλον ἀσ-
4. θενὲς καὶ χαῦνον· τοσαύτη δὴ διαφορὰ περὶ ἄμφω. τέρμινθος δὲ περὶ πυροῦ
ἀμητὸν ἢ μικρῷ ὀψιαίτερον ἀποδίδωσι καὶ μελία καὶ σφένδαμνος τοῦ θέρους
τὸν καρπόν· κλήθρα δὲ καὶ καρύα καὶ ἀχράδων τι γένος μετοπώρου· δρῦς δὲ
καὶ διοσβάλανος ὀψιαίτερον ἔτι περὶ Πλειάδος δύσιν. ὡσαύτως δὲ καὶ φιλύκη καὶ
πρῖνος καὶ παλίουρος καὶ ὀξυάκανθος μετὰ Πλειάδος δύσιν· ἡ δ' ἀρία χειμῶ-
νος ἀρχομένου· καὶ ἡ μηλέα μὲν τοῖς πρώτοις ψύχεσιν, ἀχρὰς δὲ ὀψία χει-
μῶνος· ἀνδράχλη δὲ καὶ ἀφάρκη τὸ μὲν πρῶτον πεπαίνουσιν ἅμα τῷ βότρυϊ
περκάζοντι, τὸ δὲ ὕστερον, δοκεῖ γὰρ ταῦτα δίκαρπα, ἀρχομένου τοῦ χειμῶ-
5. νος, ἐλάτη δὲ καὶ μίλος ἀνθοῦσι μικρὸν πρὸ ἡλίου τροπῶν· καὶ τῆς γε ἐλά-
της τὸ ἄνθος κρόκινον καὶ ἄλλως καλόν· τὸν δὲ καρπὸν ἀφιᾶσι μετὰ δύσιν
Πλειάδος. πεύκη δὲ καὶ πίτυς προτεροῦσι τῇ βλαστήσει μικρὸν, ὅσον πεντε-
καίδεκα ἡμέραις, τοὺς δὲ καρποὺς ἀποδιδόασι μετὰ Πλειάδα κατὰ λόγον.
ταῦτα μὲν οὖν μετριωτέραν μὲν ἔχει παραλλαγήν· πάντων δὲ πλείστην ἡ ἄρ-
κευθος καὶ ἡ κήλαστρος καὶ ἡ πρῖνος· ἡ μὲν γὰρ ἄρκευθος ἐνιαύσιον ἔχειν δοκεῖ·
περικαταλαμβάνει γὰρ ὁ νέος τὸν περυσινόν. ὡς δέ τινές φασιν οὐδὲ πεπαίνει, δι' ὃ
καὶ προαφαιροῦσι καὶ χρόνον τινὰ τηροῦσιν· ἐὰν δὲ ἐᾷ ἐπὶ τοῦ δένδρου τις ἀποξη-

κρανεία] Ald.; κρανεια cum superscripto ί U; κράνεια Sch. — Dein περὶ om. MP.
σχεδὸν ὥσπερ πρῶτον] Ald. H. et Sch. cum lacunae signo. „Manifesto vitiosa et sensu cassa" Sch.; σχεδὸν οὕτως ἢ πρωϊώτερον St. G. haec omisit. Plinius, 16, 26: *Cornus enim circa solstitia reddit primo candidum postea sanguineum.*
ἡ δ' ὄψιος] δ' cum St. Schn. interserui.
ἣν δή τινες] U sed δὴ in rasura, Ald. Edd. — θηλυκράνειαν Sch., paroxyton. Ald.; θηλυκρανειαν cum superscripto ί U.
χαῦνον] Post ἄμφω e vers. G. *cum mari firmissimum sit* ἄρρενι δὴ σκληρότατον add. H. St.; τῷ δ' ἄρρενι σκληρότατον i. u. add. post χαῦνον Sch.
δὴ διαφ.] U, Sch. invitus, voluit enim δὴ ἡ διαφ. dare; δ' ἡ διαφ. Ald. H; δὲ ἡ δ. St.
4. ἢ μικρῷ] U Sch.syll.; ἢ καὶ μ. Ald. Edd. o.
ἀποδίδωσι καὶ μ.] U Sch.syll.; ἀποδίδωσι· μελία Ald. H. Sch.; ὀψιαίτερον· μελία δὲ καὶ σφένδαμνος τοῦ θέρους ἀποδίδωσι τ. κ. St. Ceterum structura verborum haud concinna est.
σφένδαμνος] St. Sch.; σφέδαμνος Ald. Bas. H.; σφέδαμνον P.
καὶ] post καρύα om. H.
ἔτι] Ald. Edd.; ὅτι UMV.
πρῖνος] Ald. St. Sch.; πρίνος H.
ὀξυάκανθος] — ανθη St.
ἡ μηλέα] U; ἡ om. cett.
ὀψία] ὄψιον St. Malim ἡ ὀψία. *pirus serotina est: quippe quae hyeme sua perficit poma* G.
ἀνδράχλη] ἀνδράχνη Ald. Edd. o.
τὸ μὲν πρῶτον] τὸν μὲν πρ. et τὸν δὲ ὕστερον Sch.
ὕστερον] ἀνθοῦντι add. Ald. H. et G.; Schn. lunulis seclusit; St. praeeunte Salmasio cum Bodaeo περκάζοντι ἢ ἀνθοῦντι· τὸ δ' ὕστερον, δοκεῖ etc. Plinius 13, 22 verbum illud non expressit.
5. ἐλάτη δὲ] scripsi de conj.; ἐλάτη γὰρ Ald. Edd. o.; *abies et taxus* G. Ceterum quae sequuntur καὶ τῆς — καλὸν a glossatore profecta esse videntur.
δίκαρπα] δικαρπεῖν St.
ἀρχομένου] ἐρχομένη M.
κρόκινον] corr. e vers. G. et 1, 13, 1 H. St. Sch.; κόκινον M; κόκκινον Ald.
ἀποδιδόασι] corr. Sch.; ἀποδίδωσι Ald. Edd.
μὲν ἔχει παραλλαγὴν] U Sch.syll.; μὲν et παραλλαγὴν om. Ald. Edd., ἔ. διαφορὰν Sch. conj. — μετριώτερον· πάντων δὲ ὀψιαίτατα ἡ ἄρ. St.
ἡ πρῖνος] UMVP Sch.; ἡ om. Ald. Edd.; πρίνος H.
ἐᾷ] om. Bas.

ραίνεται. φασὶ δὲ καὶ τὴν πρῖνον οἱ περὶ Ἀρκαδίαν ἐνιαυτῷ τελειοῦν· ἅμα 6. γὰρ τὸν ἔνον πεπαίνει καὶ τὸν νέον ὑποφαίνει· ὥςτε τοῖς τοιούτοις συμβαίνει συνεχῶς τὸν καρπὸν ἔχειν. φασὶ δέ γε καὶ τὴν κήλαστρον ὑπὸ τοῦ χειμῶνος ἀποβάλλειν. ὀψίκαρπα δὲ σφόδρα καὶ φίλυρα καὶ πύξος. τὸν δὲ καρπὸν ἄβρωτον ἔχει παντὶ ζώῳ φίλυρα θηλυκρανεία πύξος. ὀψίκαρπα δὲ καὶ κιττὸς καὶ ἄρκευθος καὶ πεύκη καὶ ἀνδράχλη. ὡς δὲ οἱ περὶ Ἀρκαδίαν φασὶν, ἔτι τούτων ὀψικαρπότερα σχεδὸν δὲ πάντων ὀψιαίτερα τετραγωνία θύεια μίλος. αἱ μὲν οὖν τῶν καρπῶν ἀποβολαὶ καὶ πεπάνσεις τῶν ἀγρίων τοιαύτας ἔχουσι διαφορὰς οὐ μόνον πρὸς τὰ ἥμερα ἀλλὰ καὶ πρὸς ἑαυτά.

Cap. V. Συμβαίνει δ' ὅταν ἄρξωνται βλαστάνειν τὰ μὲν ἄλλα συνεχῆ τήν τε βλάστησιν καὶ τὴν αὔξησιν ποιεῖσθαι, πεύκην δὲ καὶ ἐλάτην καὶ δρῦν διαλείπειν καὶ τρεῖς ὁρμὰς εἶναι καὶ τρεῖς ἀφιέναι βλαστοὺς, δι' ὃ καὶ τρίςλοποι· πᾶν γὰρ δὴ δένδρον ὅταν βλαστάνῃ λοπᾷ· πρῶτον μὲν ἄκρου ἔαρος εὐθὺς ἱσταμένου τοῦ Θαργηλιῶνος, ἐν δὲ τῇ Ἴδῃ περὶ πεντεκαίδεκα μάλιστα ἡμέρας· μετὰ δὲ ταῦτα διαλιπόντα περὶ τριάκοντα ἢ μικρῷ πλείους ἐπιβάλλεται πάλιν ἄλλους βλαστοὺς ἀπ' ἄκρας τῆς κορυνήσεως τῆς ἐπὶ τῷ προτέρῳ βλαστῷ· καὶ τὰ μὲν ἄνω τὰ δ' εἰς τὰ πλάγια κύκλῳ ποιεῖται τὴν βλάστησιν, οἷον γόνυ ποιησάμενα τὴν τοῦ πρώτου βλαστοῦ κορύνην ὥςπερ καὶ ἡ πρώτη βλάστησις ἔχει.

6. *φασὶ δέ γε*] U; cett. om. *γε*.

τὴν κήλαστρον] UP Edd. post H.; *κήλαστον* Ald.

ὑπὸ τοῦ χειμῶνος] MV Ald. Sch.; *ὑπὸ τὸν χειμῶνα* H. St.

ὀψίκαρπα] U; *ὀψίκαρπον* Ald. Edd.

φίλυρα] Ald. Edd. *καὶ πύξος καὶ φίλυρα* St. Sch. *φιλυρέα* conj.

τὸν δὲ κ.] Haec ita scr. St. (*τὸν δὲ κ. — ζώῳ ἡ φίλυρα) καὶ θηλύκρανεία' ὀψίκ. — θηλυκρανεία* cum superscripto ϊ U.

ὀψίκαρπα] U St. et Sch.; praeeuntibus Scalig. et Palmer. Ex. p. 588. *ὀξύκαρπα* Ald. H.

καὶ ἄρκ. — ἀνδράχλη] uncis seclusit Sch.; — *ἀνδράχλη* U; *ἀνδράχνη* Ald. Edd. o. Cum verba *τὸν δὲ καρπὸν — πύξος* rem ad hunc locum non pertinentem explicent, atque in proximis recoquantur quae supra jam allata sunt, vix dubitari potest, quin haec particula contextui male assuta sit, quae ab interpretatore sciolo vel compilatore profecta quocunque modo in textum irrepsit. Quamobrem verba *τὸν δὲ καρπὸν — καὶ ἀνδράχλη* resecanda esse videntur.

ὀψιαίτερα τετραγωνία] Schn. corr. in Syll., in cont. habuit *ὀψιέστερα τετραγ.* *ὀψίστερα γωνιεια* U; *ὀψίτερα γωνία* MV; *ὀψιαίστερα γ.* P; *ὀψιέστερα γωνία* Ald. H. *τετραγωνία* conj. Scal., mBod. St. Vides literas *τετρα* excidisse propter similem verbi praecedentis clausulam. Sed in Append. Schn. inter scripturas Urbinatis ab Amatio adnotatas refert *τετραγωνίεια*.

πεπάνσεις τῶν ἀγρίων] Verba *τῶν ἀγρίων* huc transposuit Sch., in Ald. Edd. male post *ἥμερα* posita.

Cap. V.

ἄρξωνται] *ἄρξονται* H. cum Cam.

τήν τε] em. Sch.; *τηνγε* U; *τήν γε* Ald. Edd.

δρῦν] *δρῦν* U.

τρίςλοποι] corr. Sch.; *τρίςλοιποι* UM2V; *τρίςλιποι* M1 Ald. Edd.; *τριςλοιπει καὶ λοιπᾷ* margo U ex relat. Amati.

λοπᾷ] Sch.; *λοιπᾷ* M1 et 2 V; *λοιπαῖ* U; *λιπᾷ* Ald. Edd. Cf. 4, 15, 3. Bod. probabat *τρίςλιποι* et *λιπᾶν* a pingui genitalique humore subeunte.

ἄκρου ἔαρος] corr. RConst. H. St. Sch.; *ἄκρου ἀέρος* V Ald.

ἡμέρας] *ἡμέραις* P.

διαλιπόντα] UV Sch.; *διαλείποντα* Ald. Edd.

ἄλλους βλ.] *ἄλλα βλ.* MV.

κορυνήσεως] emend. Schn.; *κορύνης ἕως* UMV; *κορυφῆς ἕως* Ald. H.; *κορυφῆς ἕως τῆς [ἀγχῆς] ἐπὶ* St.

τὰ πλάγια] Sch.; *τὰ* om. Ald. Edd.

ποιησάμενα] U St. Schn.; *ποιησάμεναι* Ald. H. — Post h. v. *κατὰ* add. St.

2. γίνεται δὲ τοῦτο περὶ τὸν Σκιρροφοριῶνα λήγοντα. κατὰ δὲ ταύτην τὴν βλά-
στησιν καὶ ἡ κηκὶς φύεται πᾶσα, καὶ ἡ λευκὴ καὶ ἡ μέλαινα· φύεται δὲ ὡς
ἐπὶ τὸ πολὺ νυκτὸς ἀθρόος· ἐφ᾽ ἡμέραν δὲ μίαν αὐξηθεῖσα, πλὴν τῆς πιττοει-
δοῦς, ἐὰν ὑπὸ τοῦ καύματος ληφθῇ ξηραίνεται, καὶ ἀναυξὴς ἐπὶ τὸ μεῖζον,
ἐγίνετο γὰρ ἂν μείζων τῷ μεγέθει. διόπερ τινὲς αὐτῶν οὐ μεῖζον ἔχουσι κυά-
μου τὸ μέγεθος. ἡ δὲ μέλαινα καὶ ἐπὶ πλείους ἡμέρας ἔγχλωρός ἐστι, καὶ
αὐξάνονται καὶ λαμβάνουσιν ἔνιαι μέγεθος μήλου. διαλείποντα δὲ μετὰ τοῦτο
περὶ πεντεκαίδεκα ἡμέρας πάλιν τὸ τρίτον ἐπιβάλλεται βλαστοὺς Ἑκατομβαιῶ-
νος, ἐλαχίστας ἡμέρας τῶν πρότερον· ἴσως γὰρ ἓξ ἢ ἑπτὰ τὸ πλεῖστον· ἡ δὲ
βλάστησις ὁμοία καὶ τὸν αὐτὸν τρόπον. παρελθουσῶν δὲ τούτων οὐκέτι εἰς
3. μῆκος ἀλλ᾽ εἰς πάχος ἡ αὔξησις τρέπεται. πᾶσι μὲν οὖν τοῖς δένδροις αἱ
βλαστήσεις φαναραί, μάλιστα δὲ τῇ ἐλάτῃ καὶ τῇ πεύκῃ διὰ τὸ στοιχεῖν τὰ
γόνατα καὶ ἐξ ἴσου τοὺς ὄζους ἔχειν. ὥρα δὲ καὶ πρὸς τὸ τέμνεσθαι τὰ ξύλα
τότε διὰ τὸ λοπᾶν· ἐν γὰρ τοῖς ἄλλοις καιροῖς οὐκ εὐπεριαίρετος ὁ φλοιός,
ἀλλὰ καὶ περιαιρεθέντος μέλαν τὸ ξύλον γίνεται καὶ τῇ ὄψει χεῖρον· ἐπεὶ καὶ
πρός γε τὴν χρείαν οὐδέν, ἀλλὰ καὶ ἰσχυρότερον ἐὰν μετὰ τὴν πέπανσιν τῶν
4. 7 H. 5 St. καρπῶν τμηθῇ. ταῦτα μὲν οὖν ἴδια τῶν προειρημένων δένδρων. αἱ δὲ βλα-
στήσεις αἱ ἐπὶ κυνὶ καὶ ἀρκτούρῳ γινόμεναι μετὰ τὴν ἐαρινὴν σχεδὸν κοιναὶ
πάντων· ἔνδηλοι δὲ μᾶλλον ἐν τοῖς ἡμέροις καὶ τούτων μάλιστα συκῇ καὶ ἀμ-
πέλῳ καὶ ῥοιᾷ καὶ ὅλως ὅσα εὐτραφῆ καὶ ὅπου χώρα τοιαύτη· δι᾽ ὃ καὶ τὴν ἐπ᾽
ἀρκτούρῳ πλείστην φασὶ γίνεσθαι περὶ Θετταλίαν καὶ Μακεδονίαν· ἅμα γὰρ

Σκιρροφοριῶνα] Ald. Edd.; *σιφορίωνα* U.

2. *κηκὶς*] Sch.; *κηκὶς* in rasura U; *κικὶς* Ald. Edd.

ἀθρόος] U; *ἀθρόως* Ald. Edd. o.

πιττοειδοῦς] UMV Ald. Sch.syll.; *πιττώδους* H. St. Schn. — Post h. v. *ἡ* inser. St.

ἐπὶ τὸ μ.] *ἐστὶ τὸ μ.* St.

μείζων τὸ μ.] *μείζω* scripto *ν* super *ω* U.

ἔγχλωρος] de conj. Coraii dedit Schn. syll.; *εὔχλωρος* Ald. Edd.

αὐξάνονται] UMVP Sch.syll.; *αὐξάνεται* Ald. Edd.

ἔνιαι] om. St. Sch.; *ἔνια* Ald. H.

διαλείποντα] em. St. Schn.; *διαλείπουσαι* Ald. H.

τὸ τρίτον] *τὸν τρίτον* Bod.

ἐλαχίστας — πρότερον] Vitium subesse videtur. G.: *multo paucioribus quam prius.*

ἴσως] UMV Ald. St. Sch.; *ἴσους* H.

βλάστησις] *ταύτης* add. i. u. St.

παρελθουσῶν] U Sch.syll.; *ἐλθουσῶν* Ald. Edd. o.

3. *πᾶσι*] *πᾶσαι* H.

εὐπεριαίρετος] *εὐπεριαίρετως* Cam.

λοπᾶν] Schn.; *λοιπᾶν* UMV; *λιπᾶν* Ald.

πρός γε] Sch.; *πρός τε* Ald. Edd. Sch. seclusit *καὶ* et post *οὐδὲν* add. *διαφέρει. nam ad usum quidem non refert* G.

4. *ταῦτα μὲν οὖν*] U; *οὖν* om. Ald. Edd.

δένδρων] ex em. RConst. St. Sch.; *καρπῶν* Ald. H.

αἱ δὲ βλαστήσεις αἱ] U Sch. e conj.; *αἱ δὲ* cum lacuna Ald.; *αἱ δὲ* sine lacuna MV; *αἱ δὲ βλαστήσεις* Cam. H. St.

ἐπὶ κυνὶ] Cam.; e corr. Scal. H. St. Sch.; *ἐπὶ νυνὶ* Ald. Bas.; om. G.

ἀρκτούρῳ] St. Schn.; *αρκτούρωι* U; *ἀρκτούρων* MV Ald.

ἔνδηλοι] MV; *εὔδηλοι* Ald. Edd. o.; *ἔνδηλα* U.

ἀμπέλῳ] UMV St. Sch. de corr. RConst.; *ἄμπελος* Ald. H.

ῥοιᾷ] M; *ῥοιαῖ* U; *ῥοίᾳ* St.; *ῥόᾳ* Sch.; *ῥοιά* Ald. H.; *καὶ ῥοιᾷ* om. P.

καὶ ὅλως] *καὶ τοῖς ὅλως* voluit RConst., male. — *εὐτρεφῆ* V.

χώρα] RConst. maluit *ὥρα*, temere. Potius *ἡ χώρα* scriberes.

φ. γίνεσθαι] UV m Bod. St. Sch.; *φ. γενέσθαι* Ald. H.

συμβαίνει καὶ τὸ μετόπωρον καλὸν γίνεσθαι καὶ μακρὸν, ὥστε καὶ τὴν μαλακότητα συμβάλλεσθαι τοῦ ἀέρος. ἐπεὶ καὶ ἐν Αἰγύπτῳ διὰ τοῦθ' ὡς εἰπεῖν
αἰεὶ βλαστάνει τὰ δένδρα ἢ καὶ μικρόν τινα διαλείπει χρόνον. ἀλλὰ τὰ μὲν περὶ 5.
τὰς ἐκβλαστήσεις ὥςπερ εἴρηται κοινὰ, τὰ δὲ περὶ τὰς διαλείψεις ἀπὸ τῆς πρώτης ἴδια τῶν λεχθέντων. ἴδιον δ' ἐνίοις ὑπάρχει καὶ τὸ τῆς καλουμένης κάχρυος, οἷον τοῖς τε προειρημένοις· ἔχει γὰρ καὶ ἐλάτη καὶ πεύκη καὶ δρῦς καὶ ἔτι φίλυρα καὶ καρύα καὶ διοςβάλανος καὶ πίτυς. αὗται δὲ γίνονται δρυῒ μὲν πρὸ τῆς βλαστήσεως ὑποφαινούσης τῆς ἠρινῆς ὥρας. ἔστι δ' ὡςπερεὶ κύησις φυλλικὴ μεταξὺ πίπτουσα τῆς ἐξ ἀρχῆς ἐποιδήσεως καὶ τῆς φυλλικῆς βλαστήσεως· τῇ δ' ὄῃ ἐστὶ τοῦ μετοπώρου μετὰ τὴν φυλλοβολίαν εὐθὺς λιπαρά τις καὶ ὥςπερ ἐπῳδηκυῖα, καθαπερανεὶ μέλλουσα βλαστάνειν, καὶ διαμένει τὸν χειμῶνα μέχρι τοῦ ἦρος. ἡ δὲ ἡρακλεωτικὴ μετὰ τὴν ἀποβολὴν τοῦ καρποῦ φύει τὸ βοτρυῶδες ἡλίκον σκώληξ εὐμεγέθης, ἐξ ἑνὸς μίσχου πλείω δὴ, ἃ καλοῦσί
τινες ἰούλους. τούτων ἕκαστον ἐκ μικρῶν σύγκειται μορίων φολιδωτῶν τῇ τάξει 6.
καθάπερ οἱ στρόβιλοι τῆς πεύκης, ὥστε μὴ ἀνομοίαν εἶναι τὴν ὄψιν στροβίλῳ νέῳ καὶ χλωρῷ πλὴν προμηκέστερον καὶ σχεδὸν ἰσόπαχες διόλου. τοῦτο δὲ

μετόπωρον] *ἐκεῖ* add. St.

καὶ μακρὸν] *καὶ* om. H.

συμβάλλεσθαι] *συμβάλεσθαι* M.

αἰεὶ] UM; *ἀεὶ* Ald. Edd. o.

διαλείπει χρόνον] *διαλει χρόνον*, syllaba *πει* superscripta, U.

5. *διαλείψεις*] *διαλήψεις* P.

ἴδια] U; de corr. RConst. St. Sch.; *εἴδη* V Ald. H; *τῶν πρώτης εἴδι* M.

φίλυρα] Ald. Cam.; *φίλλυρα* Bas.

καὶ πίτυς] Ald. Edd.; *καὶ* om. UM.

αὗται δὲ γίνονται] U Ald.; *αὕτη δὲ γίνεται* e conj. RConst. St. Sch.

ἔστι—φυλλικὴ] Sch.; *ἔστι* corr. RConst., *ὡςπερεὶ* Schn., *φυλλικὴ* mBas. Scal. Vo.; *ἔτι δὲ ὥςπερ ἡ κύησις φυλακὴ* U Ald. H.; *ἔστι δ' ὥςπερ κύησις φυλλικὴ* St.

ἐποιδήσεως] U, ut conjecerat Sch.; *ἐπιδήσεως* Ald. H.; *ἐπιδηλήσεως* Scal.; *ἐπιφύσεως* RConst. Dalec. Hist. pl. p. 10 St.; *ἐπιδόσεως* Palmer. Exerc. p. 589.

καὶ τῆς—βλαστήσεως] om. St. — *καὶ τοῦ* Cam.

τῇ δ' ὄῃ—λιπαρά τις] dedi de conj. Schneideri optima, mutato tantum *γίνεται* in *ἐστὶ*, et addito *τις* post *λιπαρά*. Ab initio est *τῇ δ' ἰδιότητι* in Ald., *at ex proprietate* G., quod e literarum vestigiis in *τῇ δ' ὄῃ ἐστὶ* mutavi. *τῇ ἰδιότ. δὲ* dedit St., qui deinde *εὐθὺς — ὥςπερ* om. Dein *εὐθὺς αἱ παρ' αὐτῆς* Ald.; *εὐθὺς ὁ παρ' αὐτῆς* H. Sch.cont.; *εὐθὺς αἱ παρὰ τῆς* U, unde Schn. in Auct. emendavit *ἐ. λιπαρά*, quibus ipse addidi *τις*.

διαμένει] corr. St. Schn.; *διαμένειν* Ald.

ἡ δὲ ἡρακλεωτικὴ] UMV Ald.; *τῇ δὲ ἡρακλεωτικῇ* H. St. Schn.

φύει] dedi de conj.; *φύεται* Ald. Edd. o. Haec facilior visa correctio quam mutatio casus.

βοτρυῶδες] UMV Ald. Sch.syll.; *βρυῶδες* correxerunt RConst. Palmer. Ex. p. 589 et Salmas. Ex. p. 422 Sch.cont.; *ῥυῶδες* H.; *τι βρυῶδες* St.; *racematum quiddam* G.

ἡλίκον] UMVP Sch.syll.; *ἡλίκος* Ald. Edd. o.

πλείω δὴ] em. Schn.; *πιώδη* UMV Ald.; *πιώδης* H.; *πλείω* St. Forsan *πλείονα* scribendum; particula *δὴ* enim parum commoda.

6. *ἕκαστον*] *ἕκαστος* Sch.

οἱ στρόβιλοι] Bas. H. St. Sch.; *ὡς στρόβιλοι* V; *ὡς στρόβηλοι* M; *οἱ στρόβηλοι* Ald. Cam.

στροβίλῳ] Bas. Edd.; *στροβήλῳ* M Ald. Cam.

αὔξεται τὸν χειμῶνα· καὶ ἅμα τῷ ἦρι χάσκει τὰ φολιδωτὰ καὶ ξανθὰ γίνεται καὶ τὸ μῆκος λαμβάνει καὶ τριδάκτυλον· ὅταν δὲ τοῦ ἦρος τὸ φύλλον βλαστάνῃ ταῦτ' ἀποπίπτει καὶ τὰ τοῦ καρύου καλυκώδη περικάρπια γίνεται συμμεμυκότα κατὰ τοῦ μίσχου, τοσαῦτα ὅσα καὶ ἦν τὰ ἄνθη· τούτων δ' ἐν ἑκάστῳ κάρυον ἕν. περὶ δὲ τῆς φιλύρας ἐπισκεπτέον, καὶ εἴ τι ἄλλο καχρυοφόρον.

Cap. VI. Ἔστι δὲ καὶ τὰ μὲν εὐαυξῆ τὰ δὲ δυσαυξῆ. εὐαυξῆ μὲν τά τε πάρυδρα, οἷον πτελέα πλάτανος λεύκη αἴγειρος ἰτέα· καί τοι περὶ ταύτης ἀμφισβητοῦσί τινες ὡς δυσαυξοῦς· καὶ τῶν καρπορόρων δὲ ἐλάτη πεύκη δρῦς. εὐαυξέστατον δὲ . . . μίλος καὶ λάκαρα φηγὸς ἄρκευθος σφένδαμνος ὀστρύα ζυγία μελία κλήθρα πίτυς ἀνδράχλη κρανεία πύξος ἀχράς. καρποφορεῖ δ' εὐθὺς
2. ἐλάτη πεύκη πίτυς, κἂν ὁπηλικονοῦν μέγεθος λάβωσιν. ἡ δὲ αὔξησις καὶ ἡ βλάστησις τῶν μὲν ἄλλων ἄτακτος κατὰ τοὺς τόπους τῶν βλαστῶν, τῆς δ' ἐλάτης ὡρισμένη καὶ συνεχὴς καὶ ὕστερον. ὅταν γὰρ ἐκ τοῦ στελέχους τὰ πρῶτα

καὶ ἅμα — τριδάκτυλον] Haec sic transposuit Sch. *χειμῶνα καὶ τὸ μῆκος λαμβάνει καὶ τριδάκτυλον καὶ ἅμα τῷ ἦρι χάσκει· τὰ δὲ φολιδωτὰ καὶ ξανθὰ γίνεται.* At si *χάσκειν* de toto amento dixerat, etiam *ξανθὸν γίνεσθαι* de eodem dicendum erat, neque hoc de squameolis praedicavisset. Imo squameolae, antea imbricatae vel marginibus contiguae, vere novo hiant. Quare facillima emendatione *δὲ* quod in Ald. Edd. ante *φολιδωτὰ* legitur sustuli ac interpunctionem correxi. Sensus: *hoc vero per hiemem augetur; atque ineunte vere squameolae hiant et flavescunt; atque longitudinem assequuntur vel trium digitorum.* *λαμβάνει* item ad *τοῦτο* referendum, verba enim *καὶ ἅμα — γίνεται* tanquam in parenthesi dicta sunt. Genus hoc dictionis, commatis brevibus diversae structurae procedentis, satis usitatum Theophrasto. — St. dedit lectionem Aldinae, sed post *φολίδωτα* pro *καὶ* substituit *μόρια* i. u., dein post *λαμβάνει* omisit *καὶ*.

ταῦτ' ἀποπ.] Schn. maluit *τοῦτ' ἀποπ.*

κατὰ τοῦ μ.] Vitium subesse videtur. G. vertit: *super pediculum contracta gignuntur*, quod esset *ἀθρόα* vel *συμπεφυκότα*.

ὅσα καὶ ἦν τὰ ἄνθη] scripsi de conjectura; *ὅσα καὶ κατὰ ἄνθη* Ald. Edd.; *ὅσα καὶ τὰ ἄνθη* Sch. Gazam secutus *totidem quot flores* vertentem.

φιλύρας] *φιλλύρας* Bas.

καχρυοφόρον] U Ald. Edd.; *καχρυφόρον* Schn. cont. operarum errore.

Cap. VI.

τά τε πάρυδρα] Copulae *τε* respondet *καὶ — δὲ*. — *εὐαξῆ* U. Ceterum *εὐαυξῆ* sunt ea quae facile ac cito crescunt, non vero ea quae ad magnam altitudinem vel ambitum perveniunt, quod contra Schneiderum moneo.

εὐαυξέστατον δὲ] Schn. post h. v. signum lacunae posuerat, recte! Desunt enim, quae *δυσαυξῆ* sint; dein inter arbores deinceps nominatas et tarde et cito crescentes sunt, eaeque ita sine ordine mixtae, ut de turbis huic loco illatis dubitare nequeas.

μίλος] *μῆλος* V; *μηλέα* conj. Bo.

λάκαρα] UMV mBas. St. Sch.syll., *lacara* G. Bas., *lacarta* ed. Tarv.; *λεύκαρα* Ald. H.; *λακάρη* Sch.

σφένδαμνος] UMV St. Sch.; *σφένδαμνον* Ald. H.

ὀστρύα] U H. St. Sch.; *ὄστρεια* MV; *ὀστρία* Ald.; *ostria* G. Tarv.

ζυγία] om. Bod. St.

κλήθρα] U Sch.; *κλῆθρος* Ald. H.; *κλήθρη* Bo. in marg.; *κλῆθρα* St.

ἀνδράχλη] *ἀνδράχνη* Ald. Edd. o.

κρανεία] *κρανεΐα* cum ϊ superposito U.

2. *κατὰ τοὺς τόπους τῶν βλαστῶν*] dedi de conj.; *κατὰ τοὺς τρόπους καὶ βλαστοὺς* U, sed *τρόπους* correctum in *τόπους*; *κατὰ τοὺς τρόπους καὶ τοὺς βλαστοὺς* MVP; *tum modo tum germine* G.; *κατὰ τοὺς καρποὺς καὶ τοὺς βλαστοὺς* Ald. H. St. Sch. Insipida est dictio *ἡ βλάστησις ἄτακτος κατὰ τοὺς βλαστούς*, neque conjungi poterat *κατὰ τοὺς βλαστοὺς* et *κατὰ τοὺς τόπους* cum de locis (*τόποι*) i. e. situ ac dispositione ramulorum sermo sit, atque *κατὰ τόπους* nude positum de terrae regionibus dici soleat. Quare *τῶν βλαστῶν* scribendum est.

καὶ ὕστερον] *praepostera* G.; *non solum prima novellae sed etiam subinde aequalis atque respondens* Sch.; *auch in der Folge* Spr. Quam quidem interpretationem qui comprobent paucos fore credo. Vox *ὕστερον* spuria esse videtur. *ὡρισμένη καὶ συνεχὴς* U, Schn. de conj.; *ὡρισμένοι καὶ συνεχεῖς* Ald. Edd.; *certa et continua* G.

σχισθῇ πάλιν ἐξ ἐκείνου ἡ ἑτέρα σχίσις γίνεται κατὰ τὸν αὐτὸν τρόπον, καὶ τοῦτ' ἀεὶ ποιεῖ κατὰ πάσας τὰς ἐπιβλαστήσεις. ἐν δὲ τοῖς ἄλλοις οὐδ' οἱ ὄζοι κατ' ἀλλήλους πλὴν ἐπί τινων ὀλίγων οἷον κοτίνου καὶ ἄλλων· ἔχει δὲ καὶ τῇδε διαφορὰν ἡ αὔξησις κοινῇ πάντων ὁμοίως ἡμέρων τε καὶ ἀγρίων· τὰ μὲν γὰρ καὶ ἐκ τοῦ ἄκρου τῶν βλαστῶν καὶ ἐκ τῶν πλαγίων φύεται, καθάπερ ἄπιος ῥόα συκῆ μύρρινος σχεδὸν τὰ πλεῖστα· τὰ δ' ἐκ τοῦ ἄκρου μὲν οὐκ ἀνίησιν ἐκ δὲ τῶν πλαγίων, καὶ αὐτὸ προωθεῖται τὸ ὑπάρχον ὥσπερ καὶ τὸ ὅλον στέλεχος καὶ οἱ ἀκρεμόνες. συμβαίνει δὲ τοῦτο ἐπὶ τῆς περσικῆς καρύας καὶ τῆς ἡρακλεωτικῆς καὶ ἄλλων. ἁπάντων δὲ τῶν τοιούτων εἰς ἓν φύλλον ἀποτελευ- 3.
τῶσιν οἱ βλαστοί, δι' ὃ καὶ εὐλόγως οὐκ ἐπιβλαστάνει καὶ αὐξάνεται μὴ ἔχοντα ἀρχήν. ὁμοία δὲ τρόπον τινὰ ἡ αὔξησις καὶ τοῦ σίτου· καὶ γὰρ οὗτος ἀεὶ τῇ προώσει τοῦ ὑπάρχοντος αὐξάνεται, κἂν κολοβωθῇ τὰ φύλλα καθάπερ ἐν τοῖς ἐπιβοσκομένοις· πλὴν οὗτός γε οὐδ' ἐκ τοῦ πλαγίου παραφύει καθάπερ ἔνια τῶν χεδροπῶν. αὕτη μὲν οὖν διαφορά τις ἂν εἴη βλαστήσεως ἅμα καὶ αὐξήσεως. βαθύρριζα δὲ οὔ φασί τινες εἶναι τὰ ἄγρια διὰ τὸ φύεσθαι πάντα ἀπὸ 4.
σπέρματος, οὐκ ἄγαν ὀρθῶς λέγοντες. ἐνδέχεται γὰρ ὅταν ἐμβιώσῃ πόρρω καθιέναι τὰς ῥίζας· ἐπεὶ καὶ τῶν λαχάνων τὰ πολλὰ τοῦτο ποιεῖ, καίπερ ἀσθενέστερα ὄντα καὶ ἐναργῶς φυόμενα ἐν τῇ γῇ. βαθυρριζότατον δ' οὖν δοκεῖ τῶν ἀγρίων εἶναι ἡ πρῖνος· ἐλάτη δὲ καὶ πεύκη μετρίως, ἐπιπολαιότατον δὲ θραύ-

ἐκείνου ἡ ἑτέρα σχίσις γίνεται κατὰ] dedi de conj. *ἐκείνου ἡ ἑτέρα σχίζεται τὰ ἴσα καὶ* U et Ald. quae *ἴσα* habet; *σχίζεται καὶ ἴσα* scr. St.; *ἐκείνου ἕτερα σχίζεται ἴσα καὶ τ. α. τρ.* ex emend. RConst. Schn., quae bene haberent si verba *ἕτερα σχίζεται*, quae significare putant *nova vel altera fit divisio*, graece dicta essent. Dein haeremus in v. *ἴσα;* neque enim *ἕτερα σχίζεται ἴσα* dici poterat sed *ἐξ ἴσου*, neque ullo modo *ἴσα* et *τὸν αὐτὸν τρόπον* inter se differunt G. *Cum enim primum scissum de caudice fuerit: rursus de eo alterum finditur idque assidue factitatur* etc.

κατὰ π.] U Sch.syll.; *μετὰ π.* Ald. Edd.; *post* G.

ὀλίγων] om. Cam. H. St.

οἷον κοτίνου καὶ ἄλλων] U Sch.syll.; *οἷον* ceteris omissis MV; om. Ald. Edd. o. Ceterum *ἄλλων* genuinum esse nequit; dictio enim insipida est. Suspicor scribendum esse *κοτίνου καὶ ἐλάας;* nam arboris nomen in *ἄλλων* latere manifestum.

κοινῇ πάντων ὁμοίως] Schn. *κοινὴ π. ὁ.* UMV; *πάντων κοινῇ* Ald. H. St.

τὰ μὲν γὰρ καὶ ἐκ] U Sch.syll.; *καὶ τὰ μὲν γὰρ ἐκ* MVP; *τὰ μὲν γὰρ ἐκ* Ald. Edd. o.

ῥόα] *ῥοὰ* Ald.; *ῥοιὰ* St.

καὶ αὐτὸ] *κ. οὕτω* St.; *αὐτῷ* conj. RConst.

συμβαίνει — καρύας] UMV Sch.; *συμβ. δὲ ἐπὶ τῆς περσικῆς τοῦτο καρύας* Ald. Edd.

3. *ἓν φύλλον*] An vitiatum? Conjeci olim *τυφλόν*. Tota disputatio subobscura.

ὁμοία] *ὁποία* H.

ἡ αὐξ.] St. Sch.; *ἡ* om. Ald. H.

προώσει τοῦ ὑπάρχοντος] de conj. Schn.; *πρ. τῇ ὑπαρχούσῃ* Ald. Edd.; *protrusu corporis sui praesentis* G.

οὐδ' ἐκ τ.] Scribendum esse *οὐκ* suspicor.

χεδροπῶν] Ald.; *χεδρόπων* Sch.

οὖν] UMV Ald. Sch.; *οἷον* H. St.

4. *ἐναργῶς φυόμενα ἐν τῇ γῇ*] sic scripsi cum libris, addito *ἐν* de meo.; *ἐν ἀργῷ φυόμενα τῇ γῇ* dedit Schn. e conj. comprobata a Spr.; *ἐναργῶς φυόμενα τῇ γῇ* UMV Ald.; *ἐναργῶς φυτευόμενα τῇ γῇ* H. et St., qui ante *τῇ* inseruit *ἐν* i. u., e conj. RConst., qui explicat *quae in terrae superficiei nec profunde sata*. Schneideri conjectura vix probari potest, cum olera non in terra inculta crescant. Librorum scriptura, cui *ἐν* addere opus erat, vera esse videtur, eo sensu quem G. expressit: *atque indubie semine terrae summissa* (l. summisso) *oriantur*. *φύεσθαι* de primo proventu accipiendum.

δ' οὖν] UMV; *δὲ* Ald. Edd.

ἡ πρῖνος] Ald. Edd.; *καὶ ἡ τρῖνος* cum *π* superscripto U; *καὶ ὁ πρῖνος* P2.

ἐλάτη] *ἐλατι* cum *η* superscripto U.

θραύπαλος] *θράπαλος* cum *υ* snperscripto U. — Dein *κοκυμηλέα* P2.

παλος καὶ κοκκυμηλέα καὶ σποδιάς· αὕτη δ' ἐστὶν ὥςπερ ἀγρία κοκκυμηλέα. ταῦτα μὲν οὖν καὶ ὀλιγόρριζα· ὁ δὲ θραύπαλος πολύρριζον. συμβαίνει δὲ τοῖς ἄλλοις τοῖς μὴ κατὰ βάθους ἔχουσι, καὶ οὐχ ἥκιστα ἐλάτῃ καὶ πεύκῃ, προρρίζοις ὑπὸ τῶν πνευμάτων ἐκπίπτειν. οἱ μὲν οὖν περὶ Ἀρκαδίαν οὕτω λέγουσιν. οἱ δ' ἐκ τῆς Ἴδης βαθυρριζότερον ἐλάτην δρυὸς ἀλλ' ἐλάττους ἔχειν καὶ εὐθυρριζοτέραν εἶναι· βαθυρριζότατον δὲ καὶ τὴν κοκκυμηλέαν καὶ τὴν ἡρακλεωτικήν, τὰς δὲ ῥίζας λεπτὰς καὶ ἰσχυρὰς τὴν ἡρακλεωτικὴν, τὴν δὲ κοκκυμηλέαν πολύρριζον, ἄμφω δ' ἐμβιῶναι δεῖν· δυςώλεθρον δὲ τὴν κοκκυμηλέαν. ἐπιπολῆς δὲ σφένδαμνον καὶ ὀλίγας· τὴν δὲ μελίαν πλείους καὶ εἶναι πυκνόρριζον καὶ βαθύρριζον. ἐπιπολῆς δὲ καὶ ἄρκευθον καὶ κέδρον· καὶ κλήθρας λεπτὰς καὶ ὁμαλεῖς· ἔτι δ' ὀξύην· καὶ γὰρ τοῦτ' ἐπιπολαιόρριζον καὶ ὀλι-
8 H. γόρριζον. τὴν δὲ οὔαν ἐπιπολαίους μὲν ἰσχυρὰς δὲ καὶ παχείας καὶ δυςωλέθρους πλήθει δὲ μετρίας. βαθύρριζα μὲν οὖν καὶ οὐ βαθύρριζα τὰ τοιαῦτ' ἐστίν.

6. St. Cap. VII. Ἀποκοπέντος δὲ τοῦ στελέχους τὰ μὲν ἄλλα πάνθ' ὡς εἰπεῖν παραβλαστάνει, πλὴν ἐὰν αἱ ῥίζαι πρότερον τύχωσι πεπονηκυῖαι· πεύκη δὲ καὶ ἐλάτη τελέως ἐκ ῥιζῶν αὐτοετεῖς αὐαίνονται καὶ ἐὰν τὸ ἄκρον ἐπικοπῇ. συμβαίνει δὲ ἴδιόν τι περὶ τὴν ἐλάτην· ὅταν γὰρ κοπῇ ἢ κολουσθῇ ὑπὸ πνεύματος ἢ καὶ ἄλλου τινὸς περὶ τὸ λεῖον τοῦ στελέχους — ἔχει γὰρ μέχρι τινὸς λεῖον καὶ ἄοζον καὶ ὁμαλὸν ἱκανὸν ἱστῷ πλοίου — περιφύεται μικρὸν, ὑποδεέστερον εἰς

συμβαίνει δὲ] *τοῦτο* i. u. add. St.

βάθους] corr. Sch. syll.; *βάθος* Ald. Edd. o.

ἐλάτῃ καὶ πεύκῃ προρρίζοις] U Sch.; *ἐ. κ. π. προρίζοις* M2 V; *ἐ. κ. π. προρίζους* M1; *ἐ. κ. π. καὶ προρρίζοις* Ald.; *ἐλάτη καὶ προρρίζους* H. St.; *abieti pinoque* G.

5. *Ἀρκαδίαν*] *κανδίαν* M.

βαθυρριζότερον] correxi; *βαθυρριζότατον* UMV Ald.; *βαθυρριζοτέραν* corr. Scal. H. St. Sch. — Deinceps *ἐλάτη* P.

κοκκυμηλέαν] *κοκκυμηλίαν* U.

ἡρακλεωτικὴν] *ἔχειν* add. St.

ἄμφω δ'] *δ'* abest ab UMV Ald.; add. H. St. Sch.

δυςώλεθρον] Sch; *δυσώλεθρον* sed *ω* in ras. ut sit *δυσολ.* U; *δυσόλεθρον* Ald. Edd. Cf. Lobeck Phryn. p. 705.

σφένδαμνον καὶ ὀλίγας] ita correxi.; *σφ. κατ' ὀλίγον* UMV Ald.; *καὶ ἔτι ὀλίγους* de conj. RConst. H.; *καὶ ἔτι ὀλίγας* Sch.; *καὶ κατ' ὀλίγον* St.

καὶ κλήθρας λέπτας καὶ ὁμαλεῖς] *καὶ κλήθρας λεπτὰς καὶ μαλιας* UMV; *κλήθρας λεπτὰς καὶ μελίας* Ald. H. Sch.; *κλήθραν δὲ λεπτὰς καὶ μελίαν* St.; *καὶ* ab initio etiam P. In comm. Sch. conj. *καὶ κλήθραν λεπτὰς καὶ ὁμαλεῖς*, quod recepi servato tamen genitivo *κλήθρας*, quum hic, structura iterum iterumque variata, nunc *ἔχειν* nunc *εἶναι* subaudiendum sit.

οὔαν] U; *οὐαν* Ald. H.; *ὄαν* mBo. Sch.

δυςωλέθρους] U Sch.; *δυσολ.* Ald.

οὐ βαθύρριζα] UMVP Ald.; *οὐκ ἐπιπόλαια* Cam. H.; *ἐπιπόλαια* St. Ceterum *βαθύριζα* U.

Cap. VII.

καὶ ἐὰν — ἐπικοπῇ] Haec vitiosa esse Scaliger ratus corr. *ἄκρον μόνον*, quod dedit St.; Sch. mavult *ἀποκοπῇ*.

κολουσθῇ] mBas Scal. H. St. Sch.; *κυλουσθῇ* M Ald.

περὶ τὸ λεῖον] U mBas. St. Sch.; *π. τ. πλεῖον* Ald. H. Palmer. malebat *ὑπὲρ τὸ λεῖον* aut *περὶ τὸ ὀλεινὸν*.

ὁμαλὸν] dedi cum Scalig. a me quoque inventum; *ὅμοιον* Ald. Edd.

ἱκανὸν ἱστῷ πλοίου] dedi de conj.; *ἢ καὶ ἡλίκον πλεῖον* Ald.; — *πλοῖον* U H.; *ἡλίκον ἱστῷ πλοίῳ* conj. RConst.; *ἡλίκον ὅσον* conj. Scal.; *ἡλίκον πλοίου ἱστον* St.; *ἡλ. πλοίου ἱστόν* Sch.; *aequiperandam naviculae* G.

ὑποδεέστερον] Schn. conj. *ὑπερφερέστερον*, comprobatum a Spreng. Corruptio gravis hunc locum occupavit. — Ante *μικρὸν* inseruit *τι* St.

ὕψος, καὶ καλοῦσιν οἱ μὲν ἄμφαυξιν οἱ δὲ ἀμφίφυαν, τῷ μὲν χρώματι μέλαν
τῇ δὲ σκληρότητι ὑπερβάλλον ἐξ οὗ τοὺς κρατῆρας ποιοῦσιν οἱ περὶ Ἀρκαδίαν·
τὸ δὲ πάχος οἷον ἂν τύχῃ τὸ δένδρον ὅσωπερ ἂν ἰσχυρότερον καὶ ἐγχυλότερον 2.
ἢ παχύτερον. συμβαίνει δὲ κἀκεῖνο ἴδιον ἐν ταὐτῷ τούτῳ περὶ τὴν ἐλάτην·
ὅταν μὲν γάρ τις τοὺς ὄζους ἅπαντας ἀφελὼν ἀποκόψῃ τὸ ἄκρον, ἀποθνήσκει
ταχέως· ὅταν δὲ τὰ κατωτέρω τὰ κατὰ τὸ λεῖον ἀφέλῃ, ζῇ τὸ κατάλοιπον περὶ
ὃ δὴ καὶ ἡ ἄμφαυξις φύεται. ζῇ δὲ δῆλον ὅτι τῷ ἔγχυλον εἶναι καὶ χλωρόν,
εἴπερ ἀπαράβλαστον. ἀλλὰ γὰρ τοῦτο μὲν ἴδιον τῆς ἐλάτης. φέρει δὲ τὰ μὲν 3.
ἄλλα τόν τε καρπὸν τὸν ἑαυτῶν καὶ τὰ κατ' ἐνιαυτὸν ἐπιγινόμενα ταῦτα, φύλ-
λον ἄνθος βλαστόν· τὰ δὲ καὶ βρύον ἢ ἕλικα· τὰ δὲ πλείω, καθάπερ ἥ τε πτε-
λέα τόν τε βότρυν καὶ τὸ θυλακῶδες τοῦτο, καὶ συκῆ καὶ τὰ ἐρινὰ τὰ προαπο-
πίπτοντα καὶ εἴ τινες ἄρα τῶν συκῶν ὀλυνθοφοροῦσιν· ἴσως δὲ τρόπον τινὰ
καρπὸς οὗτος. ἀλλ' ἡ ἡρακλεωτικὴ καρύα τὸν ἴουλον καὶ ἡ πρῖνος τὸν φοινικοῦν
κόκκον ἡ δὲ δάφνη τὸ βότρυον. φέρει μὲν καὶ ἡ καρποφόρος, εἰ μὴ καὶ πᾶσα
ἀλλά τοι γένος τι αὐτῆς, οὐ μὴν ἀλλὰ πλέον ἡ ἄκαρπος ἣν δὴ καὶ ἄρρενά τινες
καλοῦσιν. ἀλλ' ἡ πεύκη τὸν προαποπίπτοντα κύτταρον. πλεῖστα δὲ πάντων 4.

ἄμφαυξιν] Ald. Edd.; *ἀμφαύξην* M; *ἄμφαυξον* P.

2. *οἷον ἂν*] dedi de conj.; *οἷον ἐὰν* Ald. Edd.; *ὅσον ἂν* conj. Scal., quod probat Schn. sed non recepit.

καὶ ἐγχυλ.] *ἢ ἐγχυλ.* P.

ἢ παχύτερον] sic UM Ald. Sch.syll.; *καὶ παχ.* H. St.; *ἢ* deleri vult RConst. *quo scilicet robustior vegetiorque vel plenior, eo crassior* G. Neque haec mendo carere videntur.

ταὐτῷ] U Sch.syll.; *αὐτῷ* Ald. Edd. o.; *hac eadem in re* G., i. e. in praecisione trunci vel ramorum.

τὰ κατὰ τὸ λεῖον] corr. Scal. Sch. *τὸ κατὰ τὸ λεῖον* U St.; *τὸ καταλεῖον* MV; *τὸ περὶ τὸ λεῖον* P2; *τὸ κατα λύον* Ald. H. Ceterum quin pluralis recte habeat dubito; etenim et verba ipsa et Gazae ac Plinii (16, 30 s. 52) interpretationes indicant, hic de praecisione trunci infra exsertionem ramorum sermonem esse. Malim igitur *ὅταν δέ τις κατωτέρω τὸ κατὰ τὸ λεῖον ἀφέλῃ* scribi, quanquam pro *ἀφέλῃ* melius *ἀποκόψῃ* vel *ἀποτέμῃ* haberet.

κατάλοιπον] P P2, e conj. H. St. Sch.; *κατάλειπον* M Ald.; *κατάλιπον* V.

ἄμφαυξις] *ἀμφαύξης* in correctione U, *ἄμφαξις* P2.

ζῇ δὲ δηλονότι τῷ] corr. Sch.syll.; *ζῇ δὲ δηλονότι τὸ* U (in Auctar. Sch. per errorem scriptum dedit *τῇ*); *ζῇ δὲ καὶ δῆλον ὅτι τὸ* Ald.; *ζῇ δὲ καὶ δῆλον ὅτι διὰ τὸ* H. Sch.cont.

εἴπερ ἀπαράβλ.] Ald. H. St.; *καίπερ ἀπαρ.* e conj. Sch. Sed veterem tenendam credo, hoc sensu; *vivere pergit propter copiam succi et virentis materiei, siquidem soboles laterales non emittit.* Per has enim aliae vitam propagant.

3. *ἑαυτῶν*] corr. Schn.; *αὐτὸν* Ald. Edd.; *sui generis fructum* G.

τὰ δὲ καὶ βρύον] UMVP Sch.; *καὶ* om. Ald. H.; *καὶ τὰ μὲν* St.

θυλακῶδες τοῦτο] Cf. ad 2, 8, 3. — *τὸν βότρυν* sed *τε* superscriptum in U. — *οὕτω* conj. RConst.

καὶ συκῆ καὶ τὰ ἐρινὰ] Alterum *καὶ* seclusit Sch., minus recte. Cum enim ficus h. l. inter eas nominetur, quae praeter fructus normales corpuscula alia, flori fructuive similia, ferunt, debent *τὰ ἐρινὰ* et *οἱ ὄλυνθοι* diversa esse. Hoc enim dicit: *atque ficus et grossos praeciduos et caprificos, si quae tales proferunt.*

τινὰ καρπός] corr. Schn. *Ni forte pro genere fructuum haec cepisse oporteat* G.; *τινὰ ἄκαρπος* U Ald.

τὸν ἴουλον] corr. Sch.; *τὸ ἴουλον* U Ald. H. — *πρίνος* U.

βότρυον] UMV Ald. *uvam* G. et Plin. 16, 29, s. 52, quae mutare non ausus sum, etsi cap. 11, 4 *βρύα δάφνης* et C. pl. 2, 11, 4 *δάφνη ἡ βρυοφόρος* nominetur. *βοτρύδιον* H. St.; *βρύον* Sch.

καὶ ἡ καρπ.] *ἡ* om. H. St. Deinceps *ἐστι* posuit St.

ἀλλά τοι] scripsi e conj.; *ἀλλὰ καὶ* Ald. Edd.; *καὶ* uncis seclusit Sch.

ἡ ἄκ.] *ἡ* mBas. Sch.; *ἢ* Ald. H. St.

ἀλλ.] om. G. ut paulo ante. Utroque loco *ἔτι δ'* recte haberet.

ἡ δρῦς παρὰ τὸν καρπὸν, οἷον τήν τε κηκίδα τὴν μικρὰν καὶ τὴν ἑτέραν τὴν
πιττώδη μέλαιναν. ἔτι δὲ συκαμινῶδες ἄλλο τῇ μορφῇ πλὴν σκληρὸν καὶ
δυςκάτακτον, σπάνιον δὲ τοῦτο· καὶ ἕτερον αἰδοιώδη σχέσιν ἔχον, τελειούμενον
δ' ἔτι σκληρὸν κατὰ τὴν ἐπανάστασιν καὶ τετρυπημένον· προςεμφερὲς τρόπον
τινὰ τοῦτ' ἐστὶ καὶ ταύρου κεφαλῇ, περικαταγνύμενον δὲ ἔνδοθεν ἔχει πυρῆνος
ἐλάας ἰσοφυές. φύει δὲ καὶ τὸν ὑπ' ἐνίων καλούμενον πῖλον· τοῦτο δ' ἐστὶ
σφαιρίον ἐριῶδες μαλακὸν περὶ πυρηνίου σκληρότητα πεφυκὸς, ᾧ χρῶνται πρὸς
τοὺς λύχνους· καίεται γὰρ καλῶς ὥςπερ καὶ ἡ μέλαινα κηκίς. φύει δὲ καὶ
ἕτερον σφαιρίον κόμην ἔχον, τὰ μὲν ἄλλα ἀχρεῖον, κατὰ δὲ τὴν ἐαρινὴν ὥραν
5. ἐπίβαπτον χυλῷ μελιτηρῷ καὶ κατὰ τὴν ἁφὴν καὶ κατὰ τὴν γεῦσιν. παραφύει δ'
ἐνδοτέρω τῆς τῶν ῥαβδῶν μασχαλίδος ἕτερον σφαιρίον ἄμισχον καὶ κοιλόμισχον

4. *δρῦς*] *δρῦς* U.

παρὰ] correxi; *φέρει* Ald.; *φέρει παρὰ* ex corr. RConst. St. Sch.; *robur . . praeter fructum alia gignit.* Mihi *φέρει* ex antecedentibus subaudiri posse videtur.

κηκίδα] corr. Schn.; *κικίδα* in rasura U; *κικίδα* Ald. Edd.

πιττώδη μέλαιναν] U; *π. καὶ μ.* cett.

ἔτι δὲ συκ.] U Sch.syll.; *ἔτι δὲ καὶ συκ.* Ald. Edd. — Post *συκαμ.* inseruit *τι* St.

πλὴν σκληρὸν] Casu nescio quo haec in edit. Schneideri transposita et perturbata sunt. Sic habet: *πλὴν σκληρὸν κατὰ τὴν ἐπανάστασιν, καὶ τετρυπημένον, καὶ προςεμφερὲς τρόπον τινὰ καὶ δυςκάτακτον· σπάνιον δὲ τοῦτο· καὶ ἕτερον αἰδοιώδη σχέσιν ἔχον, τελειούμενον δὲ (τι) σκληρὸν τοῦτ' ἐστὶ καὶ ταύρου κεφαλῇ.* Correxit quidem in Syllabo sed non accurate. Ceterum h. l. sermonem esse de protuberantiis et tumescentiis gallaceis, quae figura et habitu valde diversae nascuntur in pluribus Quercus speciebus in terris australibus, vix moneri opus esset, nisi viri docti de Sphaeriis, Hysteriis et similibus fungorum quisquiliis cogitassent.

αἰδοιώδη] Ald. Edd.; *effigiem colis repraesentans* G.; *αἰ δοιώχη* U. — Antea *δυςκάταντον* H.

σχέσιν] Ald. Edd.; *σχίσιν* sed in rasura U. At melius profecto *αἰδοίου* vel *αἰδοιῶδες σχῆμα* dixisset. Quid in sequentibus *τελειούμενον* et *ἐπανάστασις* significent, nemo adhuc expedivit, neque haec verba a vitii suspicione libera sunt.

τελειούμενον δ' ἔτι] *quamdiu perficitur, crescit* G. *τελειούμενον* corr. Schn., *τελειουμένης* U Ald.; *δ' ἔτι* U, *δέτι* Ald., *δ' ἐστὶ* Schn.syll.

προςεμφερὲς] U; *καὶ* anteponunt Ald. Edd. — St. *δὲ, τὶ σκληρὸν.*

τοῦτ' ἐστὶ] *τοῦτ' ἔστι* Ald.

ταύρου] *σαύρου* St., quae nobis conjectura valde placet.

πυρῆνος ἐλάας ἰσοφυές] scripsi e conj. ut loco ab omnibus tentato meo Marte succurrerem. *πυρῆνος ἐλαίᾳ εἰρουφυην* UMV; *πυρῆνα ἐλαία εἰρουφυήν* Ald.; *ὁμοφυῆ* RConst. et Bo.; *ἐλαιηροφύη* Palmer. Ex. p. 590.; *ἔχει τι πυρῆνι ἐλαίας ὅμοιον εἰροφυήν* St.; *πυρῆνα ἐλαίᾳ ἐμφερῆ* Schn.; *nuclei oleae speciem intus ostendit* G. In Auctar. Schn. hanc protulit conj. *πυρῆνος ἐλαίας σκληροῦ φύσιν,* quae parum placet. Quod dedi, proxime abest a librorum scriptura, hoc sensu: *intus continet, quod figura nucleum olivae aequat.*

πῖλον] *πίλον* Ald.

περὶ πυρηνίου σκληρότητα] U Sch.syll.; *περὶ πυρηνίου σκληρότερον* M: *περιπυρηνίου σκληρότερον* V Ald.; *περιπυρηνίῳ σκληρότερον* H.; *περιπυρηνίῳ σκληροτέρῳ* St. e corr. RConst.; *περὶ πυρηνίῳ σκληροτέρῳ* Sch.

λύχνους] *λύχνας* MV.

καίεται] *καΐετ* post *τ* rasura superposito *αι* U. — Dein *καὶ* om. P.

κηκὶς] Schn.; *κικὶς* Ald. Edd. et U in ras.

ἐπίβαπτον] Schn. i. e.; *infectum, tinctum*; *ἐπιβάπτον* Ald. Edd.

μελιτηρῷ] corr. Sch.; *μελιτηρίῳ* Ald. Edd.

5. *παραφύει*] U Sch.syll.; *φύει* ceteri.

ἐνδοτέρω τῆς τῶν ῥαβδῶν μασχαλίδος] de conj. RConst.; *δ' ἐντεριώνης τῶν ῥοπῶν μασχαλίδας* U Ald. et Schn., qui *μασχαλίδος* dedit; *δ' ἐνδοτέρω τῆς ῥοπῆς μασχαλίδων* mBod.; *φύει δ' ἐκ μασχαλίδος τῶν ῥοπῶν* St. Sprengel vertit: *Ein anderes ungestieltes Kügelchen wächst aus dem in den Zweigwinkeln angehäuften Mark.*

καὶ κοιλόμισχον] U Ald. H.; *ἢ καὶ κοιλόμισχον* St.; *καὶ κοιλόμυχον* Scalig. Sch. Videtur *ἢ κοιλ.* scribendum esse.

ἴδιον καὶ ποικίλον· τοὺς μὲν γὰρ ἐπανεστηκότας ὀμφαλοὺς ἐπιλεύκους ἢ ἐπεστιγμένους ἔχει μέλανας τὸ δ' ἀνὰ μέσον κοκκοβαφὲς καὶ λαμπρόν· ἀνοιγόμενον δ' ἐστὶ μέλαν καὶ ἐπίσαπρον. σπάνιον δὲ παραφύει καὶ λιθάριον κισσηροειδὲς ἐπὶ πλεῖον. ἔτι δ' ἄλλο τούτου σπανιαίτερον φυλλικὸν συμπεπιλημένον πρόμηκες σφαιρίον. ἐπὶ δὲ τοῦ φύλλου φύει κατὰ τὴν ῥάχιν σφαιρίον λευκὸν διαυγὲς ὑδατῶδες ὅταν ἁπαλὸν ᾖ· τοῦτο δὲ καὶ μύας ἐνίοτε ἐνδὸν ἴσχει. 6. 9 H.
τελειούμενον δὲ σκληρύνεται κηκίδος μικρᾶς λείας τρόπον. ἡ μὲν οὖν δρῦς τοσαῦτα φέρει παρὰ τὸν καρπόν. οἱ γὰρ μύκητες ἀπὸ τῶν ῥιζῶν καὶ παρὰ τὰς ῥίζας φυόμενοι κοινοὶ καὶ ἑτέρων εἰσίν. ὡςαύτως δὲ καὶ ἡ ἰξία· καὶ γὰρ αὕτη φύεται καὶ ἐν ἄλλοις· ἀλλ' οὐδὲν ἧττον ὥσπερ ἐλέχθη πλειστοφόρον ἐστίν· εἰ δέ γε δὴ καθ' Ἡσίοδον φέρει μέλι καὶ μελίττας ἔτι μᾶλλον· φαίνεται δ' οὖν καὶ ὁ μελιτώδης οὗτος χυλὸς ἐκ τοῦ ἀέρος ἐπὶ ταύτῃ μάλιστα προςίζειν. φασὶ δὲ καὶ ὅταν κατακαυθῇ γίνεσθαι λίτρον ἐξ αὐτῆς. ταῦτα μὲν οὖν ἴδια τῆς δρυός.

Cap. VIII. Πάντων δ' ὥςπερ ἐλέχθη τῶν δένδρων ὡς καθ' ἕκαστον γένος 7 St.
λαβεῖν διαφοραὶ πλείους εἰσίν· ἡ μὲν κοινὴ πᾶσιν ᾗ διαιροῦσι τὸ θῆλυ καὶ τὸ ἄρρεν, ὧν τὸ μὲν καρποφόρον τὸ δὲ ἄκαρπον ἐπί τινων. ἐν οἷς δὲ ἄμφω καρποφόρα τὸ θῆλυ καλλικαρπότερον καὶ πολυκαρπότερον· πλὴν ὅσοι ταῦτα καλοῦσιν ἄρρενα, καλοῦσι γάρ τινες. παραπλησία δ' ἡ τοιαύτη διαφορὰ καὶ ὡς τὸ ἥμερον διῄρηται πρὸς τὸ ἄγριον. ἑτέρα δὲ κατ' εἶδος αὐτῶν τῶν ὁμογενῶν·

ἐπανεστηκότας] U cod.Cas. Vo. H. St. Sch.; *ἐσπανηκότας* Ald. MV; *eminentes umbilicos* H.

μέλανας] *μέλανι* St., quod probat Schn.; Gaza *vel passim variantes nigris maculis* secutus Plinium. Dalecamp. Hist. Pl. p. 10 *ἢ μέλανας* scribi vult.

ἐπίσαπρον] Plinium, qui 16, 10 habet *apertis amara inanitas est*, *ἐπίπικρον* legisse suspicatur Sch.

κισσηροειδὲς] U Sch.syll.; *κισηροειδὲς* Ald. H. Sch.; *λιθάριόν τι κισηρῶδες* St.

σπανιαίτερον] MV; *σπανιαίστερον* Ald. Bas. Cam.; *σπανιώτερον* H. St. Sch.

ῥάχιν] *ῥᾶχιν* Ald., corr. a Heinsio.

μύας] UMV Ald.; *μυίας* H. St. Schn. Cf. Phot. L. p. 279.

ἴσχει] U; *ἔχει* Ald. Edd.

κηκίδος] *καὶ*, quod Ald. Edd. anteponunt, omisi. *κικίδος* Ald. Edd. o. et U in ras.

6. *δρῦς*] *δρὺς* U cum gravi.

παρὰ] mBas. St. Schn.; *περὶ* U Ald. *robur tot praeter fructum producit* G.

ἀπὸ τῶν ῥι.] U Ald. St. Schn.; *πρὸ τ. ῥ.* H.

πλειστοφόρον ἐστίν] *ἡ δρῦς* t. u. add. St.

φαίνεται] U Sch.syll. oblitus vero deinceps veterem scripturam restituere; *φύεται* Ald. Edd. o.

μελιτώδης] corr. Schn.; *μελιττώδης* Ald. Edd.

ἐπὶ ταύτῃ μάλιστα προςίζειν] MV Ald., quam scripturam nunc propter *φαίνεται* ab U suppeditatum restitui; *-προςίζον* H.; *-προςίζων* mBod. St.; *ἐπὶ ταύτῃ δὲ μάλιστα προςίζει* e cod.Cas. Schn.; *δὲ* etiam est in Vo.

κατακαυθῇ] Vo., conj. RConst. H. St. Schn.; *κατακλυσθῇ* U; *κατακολουθῇ* M Ald.; *cremati* G.

γίνεσθαι] U H. St. Schn.; *γίνεται* M Ald.

λίτρον] *νίτρον* St.

Cap. VIII.

πάντων δ'] *δ'* om. U.

καὶ πολυκαρπότερον] U Sch.syll., om. cett.

δ' ἡ τοιαύτη διαφορὰ καὶ ὡς] U; *φορὰ* habent MV Ald.; *διαφορὰ* mBas.; *παραπλησίᾳ τοιαύτῃ διαφορᾷ* Scal.; *παραπλησία δὲ ταύτῃ τῇ διαφορᾷ καὶ ἡ* RConst. Schn.; *παραπλησία δὲ τῇ τοιαύτῃ διαφορᾷ καὶ ὡς* H.; *παρ. ἢ καὶ τοιαύτη διαφορὰ καὶ ὡς* St. In Syll. Schn. Urbinatis scripturam amplexus est, relicto tamen *καὶ ἡ*.

ἥμερον] U sed correctum, antea fuit *ἡμέρων*. — *διείρηται* M.

εἶδος] *διαφορὰ* add. St.

ὑπὲρ ὧν λεκτέον ἅμα συνεμφαίνοντας καὶ τὰς ἰδίας μορφὰς τῶν μὴ φανερῶν
2. καὶ γνωρίμων. δρυὸς δὴ γένη — ταύτην γὰρ μάλιστα διαιροῦσι· καὶ ἔνιοί γε
εὐθὺς τὴν μὲν ἥμερον καλοῦσι τὴν δ' ἀγρίαν οὐ τῇ γλυκύτητι τοῦ καρποῦ δι-
αιροῦντες· ἐπεὶ γλυκύτατός γε ὁ τῆς φηγοῦ, ταύτην δ' ἀγρίαν ποιοῦσιν· ἀλλὰ
τῷ μᾶλλον ἐν τοῖς ἐργασίμοις φύεσθαι καὶ τὸ ξύλον ἔχειν λειότερον, τὴν δὲ
φηγὸν τραχὺ καὶ ἐν τοῖς ὀρεινοῖς — γένη μὲν οὖν οἱ μὲν τέτταρα ποιοῦσιν οἱ
δὲ πέντε. διαλλάττουσι δ' ἔνια τοῖς ὀνόμασιν, οἷον τὴν τὰς γλυκείας φέρουσαν
οἱ μὲν ἡμερίδα καλοῦντες οἱ δ' ἐτυμόδρυν. ὁμοίως δὲ καὶ ἐπ' ἄλλων. ὡς δ'
οὖν οἱ περὶ τὴν Ἴδην διαιροῦσι τάδ' ἐστὶ τὰ εἴδη· ἡμερὶς αἰγίλωψ πλατύφυλλος
φηγὸς ἁλίφλοιος· οἱ δὲ εὐθύφλοιον καλοῦσιν. κάρπιμα μὲν πάντα· γλυκύτατα
δὲ τὰ τῆς φηγοῦ καθάπερ εἴρηται, καὶ δεύτερον τὰ τῆς ἡμερίδος, ἔπειτα τῆς
πλατυφύλλου, καὶ τέταρτον ἡ ἁλίφλοιος, ἔσχατον δὲ καὶ πικρότατον ἡ αἰγίλωψ.
3. οὐχ ἅπασαι δὲ γλυκεῖαι ἐν τοῖς γένεσιν ἀλλ' ἔνιαι καὶ πικραὶ καθάπερ ἡ φηγός.
διαφέρουσι δὲ καὶ τοῖς μεγέθεσι καὶ τοῖς σχήμασι καὶ τοῖς χρώμασι τῶν βαλά-
νων. ἴδιον δὲ ἔχουσιν ἥ τε φηγὸς καὶ ἡ ἁλίφλοιος· ἀμφότεραι γὰρ παραλιθά-
ζουσιν ἐν τοῖς ἄρρεσι καλουμένοις ἐξ ἄκρων τῶν βαλάνων ἑκατέρωθεν αἱ μὲν
πρὸς τῷ κελύφει αἱ δὲ πρὸς αὐτῇ τῇ σαρκί. δι' ὃ καὶ ἀφαιρεθέντων ὅμοια γί-
4. νεται κοιλώματα τοῖς ἐπὶ τῶν ζώων. διαφέρουσι δὲ καὶ τοῖς φύλλοις καὶ τοῖς

λεκτέον] add. Sch. de conj.; om. UMV Ald. Contra H. et St. *συνεμφαίνοντες* — *γνωρίμων λέξομεν* dederunt minus bene.— Verba *καὶ τὰς* — *φανερῶν* omisit prima manus in U. — *καὶ τῶν γν.* St.

μὴ] dedi cum St.; *μήτε* Ald. H. Sch.

2. *δρυὸς δὴ*] UP; *δὲ* Ald. Edd. — *δρυὸς δὲ γένη δ' ἐστὶ* (*ταύτῃ γὰρ μαλ. δι.*) St.

τὸ ξύλον] *τῷ ξ.* St.

γλυκείας φερ.] UMV Ald.; *γλ. βαλάνους φερ.* H. St. Sch. *φερουσαν* U.

ἐτυμόδρυν] e corr. Dalec. et Bod. St. Schn. *τομυδιον* U, *τὸ μύδιον* Ald. H. Schol. ad Theocrit. Id. 9 v. 20. *εἰσὶ δὲ δρυὸς γένη πέντε· φηγὸς κιμερὶς ἐτυμόδρυς ἅλυφλος καὶ ἄμυλος*, quae e Theophrasto emendanda sunt.

αἰγίλωψ] *αἰγίλοψ* P2 U in ras.

φηγὸς] *φυγὸς*, *η* superscr., P2.

ἁλίφλοιος] *ἁλείφλοιος* U, quae forma ferri potest, derivanda ab *ἅλειος* i. e. *ἠθροισμένον, ἀθρόον* Galen. in Lex. Hippocr. Sed paullo infra et 5, 1, 2 omnes libri *ἁλίφλοιος* habere videntur, quod Schn. ab *ἅλις* derivandum esse monet, notato vitioso *ἁλίφαλος* Hesychii.; *ἀλείφλοιος* P2.

εὐθύφλοιον] UMVPP2 Ald. Sch.syll.; *εὔφλοιον* H. St. Sch. In Syll. et Ind. Schn. *εὐθὺ φλοιὸν* scribi jubet; vocasse enim illos quercum crascicorticem simpliciter corticem et comparat quod supra legitur *εὐθὺς ἥμερον*.

γλυκύτατα] P2 U cum rasura in *α* extr., Ald.; *γλυκυτάτη* M.

δεύτερον τὰ] Ald.; *δεύτερον τὸ* UMV; *δεύτερα δὲ τά*, omisso *καὶ* P2; *καὶ δεύτερα τὰ* P. Dedi haec ut in Aldina scripta sunt, etsi sint minus accurate dicta; primum enim fructus genere neutro (*τὰ τῆς . .*) indicantur, deinde articulo etiam omisso qualitatem fructus ad arborem ipsam transfert: ita ut verba a vitii suspicione haud sint libera. Neque vero Schn. mutando orationem concinnam reddidit: *γλυκυτάτη δὲ ἡ τῆς φ.* — *δεύτερον ἡ τῆς ἡ., ἔπ.* [*ἡ*] *τῆς πλ.* In Syll. *δεύτ. τὸ τῆς ἡ., ἔπ.* [*τὸ*] *τῆς πλ.*

ἡ ἁλίφλοιος] *ὁ ἁλείφλοιος* P2.

αἰγίλωψ] *αἰγίλωψ* (o superscr.) U, *αἰγίλοψ* P2.

3. *οὐκ* — *ἐνίοτε*] dedi de conj.; — *δὲ γλυκ . . . ἀλλ' ἔνιαι* Ald. H. St. qui post *γλυκ.* add. *αἱ βάλανοι; οὐχ ἅπασαι δὲ γλυκεῖαι ἐν τοῖς γένεσιν ἀλλ' ἔνιαι* Sch.

χρώμασι] *χρώμασιν* U.

ἴδιον δὲ] *τι* add. St.

ἀμφότεραι] UMV Ald. Sch.; *ἀμφότερα* H. St. — Quae sequuntur scripta sunt ut extant in Ald. In interpretanda re discrepant viri docti.

τῷ κελύφει] H. St. Sch.; *τῇ κελύφει* V; *τῇ κελύφῃ* Ald.

ζώων] *ᾠῶν* scribi vult Palmer. Ex. p. 591.

4. *τοῖς φύλλ.*] U Sch.syll.; *ἐν τ. φ.* Ald. Edd. o. — *στελέχεσιν* U.

στελέχεσι καὶ τοῖς ξύλοις καὶ τῇ ὅλῃ μορφῇ. ἡ μὲν γὰρ ἡμερὶς οὐκ ὀρθοφυὴς
οὐδὲ λεῖα οὐδὲ μακρά· περίκομος γὰρ ἡ φυτεία καὶ ἐπεστραμμένη καὶ πολυ-
μάσχαλος ὥστε ὀζώδη καὶ βραχεῖαν γίνεσθαι· τὸ δὲ ξύλον ἰσχυρὸν μὲν ἀσθε-
νέστερον δὲ τῆς φηγοῦ· τοῦτο γὰρ ἰσχυρότατον καὶ ἀσαπέστατον. οὐκ ὀρθο-
φυὴς δὲ οὐδ' αὐτὴ ἀλλ' ἧττον ἔτι τῆς ἡμερίδος, τὸ δὲ στέλεχος παχύτατον,
ὥστε καὶ τὴν ὅλην μορφὴν βραχεῖαν εἶναι· καὶ γὰρ ἡ φυτεία περίκομος καὶ
ταύτῃ καὶ οὐκ εἰς ὀρθόν. ἡ δὲ αἰγίλωψ ὀρθοφυέστατον καὶ ὑψηλότατον καὶ
λειότατον καὶ τὸ ξύλον εἰς μῆκος ἰσχυρότατον. οὐ φύεται δὲ ἐν τοῖς ἐργασί-
μοις ἢ σπανίως. ἡ δὲ πλατύφυλλος δεύτερον ὀρθοφυΐᾳ καὶ μήκει πρὸς δὲ τὴν 5.
χρείαν τὴν οἰκοδομικὴν χείριστον μετὰ τὴν ἁλίφλοιον, φαῦλον δὲ καὶ εἰς τὸ
καίειν καὶ ἀνθρακεύειν ὥςπερ καὶ τὸ τῆς ἁλιφλοίου, καὶ θριπηδέστατον μετ'
ἐκείνην· ἡ γὰρ ἁλίφλοιος παχὺ μὲν ἔχει τὸ στέλεχος χαῦνον δὲ καὶ κοῖλον ἐὰν
ἔχῃ πάχος ὡς ἐπὶ τὸ πολὺ, δι' ὃ καὶ ἀχρεῖον εἰς τὰς οἰκοδομάς· ἔτι δὲ σήπεται
τάχιστα· καὶ γὰρ πεφυκός ἐστι τοῦ δένδρου· δι' ὃ καὶ κοίλη γίνεται. φασὶ δέ
τινες οὐδ' ἐγκάρδιον εἶναι μόνῃ. λέγουσιν ὡς καὶ κεραυνοβλῆτες αὗται μόναι
γίνονται καίπερ ὕψος οὐκ ἔχουσαι τῶν Αἰολέων τινὲς, οὐδὲ πρὸς τὰ ἱερὰ χρῶν-
ται τοῖς ξύλοις. κατὰ μὲν οὖν τὰ ξύλα καὶ τὰς ὅλας μορφὰς ἐν τούτοις αἱ δια- 6.
φοραί. κηκῖδας δὲ πάντα φέρει τὰ γένη, μόνη δὲ εἰς τὰ δέρματα χρησίμην ἡ
ἡμερίς. ἡ δὲ τῆς αἰγίλωπος καὶ τῆς πλατυφύλλου τῇ μὲν ὄψει παρομοία τῇ

οὐδὲ λεία] UMVP Ald.; om. H. Schn.cont.

ἐπεστραμμένη] corr. Schn. e v. G. *contorto*; *ἀπεστρ.* Ald. Edd.

πολυμάσχαλος] UMV Ald. Sch.syll.; *κοιλομάσχαλος* e corr. RConst. St.; *καλομάσχαλος* H. Schn. — *ὥστε καὶ ὀζ.* St.

βραχεῖαν] U Sch.syll.; *πολυμάσχαλον* Ald. Edd. o.; *ut nodosa calosaque assurgat* G.

ἀσαπέστατον] *ἀσατέστατον* sed primum *τ* correctum in *π* U.

οὐδ' αὐτὴ] U Ald. Sch.syll. et H. St., qui elisione, ut semper fere, neglecta *οὐδὲ αὐτὴ*; *οὐδὲ αὕτη* Schn.cont.

ἧττον ἔτι] U, de conj. St.; *ἧ. ἐστι* Ald. H.; *ἧ. ἐπεστραμμένη* Schn. e v. Gazae *minus torta quam quercus.*

μορφὴν] UMVP St. i. u., Sch.; om. Ald. H.

καὶ ταύτῃ] *καὶ* om. St.

αἰγίλωψ] *αἰγίλωψ* U cum *ο* superscr.

οὐ φύεται] U et cum G. mBas. St. Sch.; *οὐ* om. MV Ald. H.

ἢ σπανίως] UMV Ald. St. Sch.; *σπανίως* omisso *ἢ* H. — *ἐργάσιμος* V.

5. *τὸ τῆς*] corr. St. Sch.; *τὰ τῆς* Ald. H.

θριπηδέστατον] U mBas. St. Sch.; *θριπέδεστατον* M; *θριπωδέστατον* Ald. H.

μετ' ἐκείνην] U Ald. Sch.syll.; *μετὰ ἐκείνην* H. St. Sch. cont.

ἁλίφλοιος] *ἀλίφλοιος* U.

πάχυ — στέλεχος] E Plinio Dalecamp. et Bod. haec sic emendanda esse censuerunt *παχύτατον μὲν ἔχει τὸν φλοιὸν καὶ τὸ στέλεχος*, quibus obsecutus est St.

ἐπὶ τὸ πολὺ] U Schn. sed continuo scriptum.

καὶ γὰρ — δένδρου] Ante *ἐστι* inseruit *τοῦτ'* St.; *πεφρικὸς* conjecit quidam apud Dalecamp.; *quod ex natura ejus arboris accidit* G. Vitium in v. *πεφυκός* latet.

κοίλη] *κοίλον* St.

μόνῃ] corr. St. Sch.; *μόνην* Ald. H.

λέγουσιν — ξύλοις] U Ald.; *λέγουσι δ' ὡς* Sch., *λέγουσι δὲ*, omisso *ὡς*, H. St. Dein *ἔχουσαι· τὴν 'Αἰ. τ. οὐδὲ* H. Sch. qui ante *τῶν* inseruit *διὸ* i. u.; *ἔχουσαι, καὶ τ. Α. ξύλοις [ταύτης]* St. *Sunt qui et corde hanc solam carere volunt et fulmine hanc solam jaci: quamvis non altitudine excellat aeolo acolorum. Quidam nec ad sacrificia lignis ejus utuntur* G.

6. *κηκίδας*] *κικίδας*, *ι* prius in rasura U; *κικίδας* M Ald. Edd. o.

χρησίμην] H. Sch.; *χρησίμη* Ald. M et St. qui dein cum Dalec. *ἡ τῆς ἡμερίδος* scripsit.

τῆς ἡμερίδος, πλὴν λειότερα, ἀχρεῖος δέ. φέρει καὶ τὴν ἑτέραν τὴν μέλαιναν ᾗ τὰ ἔρια βάπτουσιν. ὃ δὲ καλοῦσί τινες φάσκον ὅμοιον τοῖς ῥακίοις ἡ αἰγίλωψ μόνη φέρει πολιὸν καὶ οὐ βραχύ· καὶ γὰρ πηχυαῖον κατακρεμάννυται καθάπερ τρύχος ὀθονίου μακρόν. φύεται δὲ τοῦτο ἐκ τοῦ φλοιοῦ καὶ οὐκ ἐκ τῆς κορύνης ὅθεν ἡ βάλανος, οὐδ' ἐξ ὀφθαλμοῦ ἀλλ' ἐκ τοῦ πλαγίου τῶν ἄνωθεν
7. 10 H. ὄζων. ἡ δ' ἁλίφλοιος ἐπίμελαν τοῦτο φύει καὶ βραχύ. οἱ μὲν οὖν ἐκ τῆς Ἴδης οὕτως διαιροῦσιν. οἱ δὲ περὶ Μακεδονίαν τέτταρα γένη ποιοῦσιν, ἐτυμόδρυν ἢ τὰς γλυκείας, πλατύφυλλον ἢ τὰς πικρὰς, φηγὸν ἢ τὰς στρογγύλας, ἄσπριν· ταύτην δὲ οἱ μὲν ἄκαρπον ὅλως οἱ δὲ φαῦλον τὸν καρπὸν, ὥστε μηδὲν ἐσθίειν ζῷον πλὴν ὑὸς, καὶ ταύτην ὅταν ἑτέραν μὴ ἔχῃ· καὶ τὰ πολλὰ λαμβάνεσθαι περικεφαλαίᾳ. μοχθηρὰ δὲ καὶ τὰ ξύλα· πελεκηθέντα μὲν ὅλως ἀχρεῖα· καταρήγνυται γὰρ καὶ διαπίπτει· ἀπελέκητα δὲ βελτίω, δι' ὃ καὶ οὕτω χρῶνται. μοχθηρὰ δὲ καὶ εἰς καῦσιν καὶ εἰς ἀνθρακείαν· ἀχρεῖος γὰρ ὅλως ὁ ἄνθραξ διὰ τὸ πηδᾶν καὶ σπινθηρίζειν πλὴν τοῖς χαλκεῦσι. τούτοις δὲ χρησιμώτερος τῶν ἄλλων· διὰ γὰρ τὸ ἀποσβέννυσθαι ὅταν παύσηται φυσώμενος ὀλίγος ἀναλίσκεται. τὸ δὲ τῆς ἁλιφλοίου χρήσιμον εἰς τοὺς ἄξονας μόνον καὶ τὰ τοιαῦτα. δρυὸς μὲν οὖν ταύτας ποιοῦσι τὰς ἰδέας.

λειοτέρα] *λειότερον* M.

ἀχρεῖος] corr. Schn.; *ἀχρεῖον* Ald. H.; *ἀχρεῖα* St.

φάσκον ὅμοιον τοῖς ῥακίοις] Schn. partim Ald. secutus partim suam et Salmasii emendationem. *φάσκος ὅμοιος τοῖς βραχείοις* U et P2 ubi *φασκος* sine accentu; *βραχίοις* V; *φάσκον ὁμοίως τοῖς βραγχίοις* Ald. H.; *βρογχίοις* conj. RConst., *βρύοις* Dalec.; *ῥακίοις* pro *βραγχίοις* scribere jussit Salmas. Exerc. p. 234, quod, ut nunc verba se habent, omnium maxime probabile est: quominus pro vero habeam impedit *τοῖς*. *φάσκον* G. vertit *penem*, quod e male intellecta versione Plinii, *pannos*, ortum esse videtur, apud quem *panos* scriptum esse animadvertit Salm. l. l. Ceterum *σφάγνον* RConst. cum Dalecampio ex eodem Plin. 12, s. 50 corrigunt, quos ex Hesychio, q. v. s *σφακὸς* et *φάσκος* refutavit Sch.

καὶ οὐ βραχύ.] Schn. e conj.; *καὶ βραχύ* UP; *καὶ βράγχιον* Ald.; *καὶ βράχιον* H.; *καὶ βρύϊνον* em. Salmas. l. l.; *ὡς ῥάκιον* St. ex em. RConst. *καὶ οὐ βραχὺ* veram esse scripturam minime credo; *αὐχμηρὸν* scriberem nisi hoc a literis librorum longius abesset; *mucosum inuxcosumque* G. — Deinceps *καὶ ταρπηχυαῖον* P2, unde quis *τετραπηχυαῖον* conjiciat.

κατακρεμάννυται] — *άνυται* Ald.

τρύχος] PP2; ex em. Scalig. H. St. Sch.; *τρύγχος* Ald.

φύεται] disputat de h. l. Salmas. Ex. p. 234, 235

κορύνης] *κορυνε* cum brevi lacuna P2.

ἐξ ὀφθαλμοῦ] Ald. Edd.; *ἐξόφθαλμον* U; *ἐξ ὀφθαλμῶν* P2.

πλαγίου] *ἐκ* add. St.

ὄζων] *ἔχει* addunt Ald. Edd. o., om. UP2.

ἐπίμελαν τοῦτο φύει] e conj. Scalig. H. St. Sch.; *ἐπίμελαν τουτο φύσει* U; *ἐπὶ μελίαν τοῦτο φύει* MV Ald. — Schn. in Auctar. sic conjicit *ὄζων. ἔχει δ' ἡ ἁλιφλ. ἐπίμελαν τοῦτο φύσει.*

οὕτως] U; *οὕτω* Ald. Edd. o.

7. *ἢ τὰς γλυκείας*] In Ald. ter est *ἢ* quod in *ἢ* mutaverunt H. et Sch.; *ἢ τὴν τὰς γλυκείας βαλάνους* St., qui dein *τὴν* bis post *ἢ* repetiit. — *ἡ* bis dat P.

ἄσπριν] *ὄσπριν* St.

ταύτην δὲ] U Sch.syll.; *ταύτην γὰρ* Ald. Edd. o.

ζῷον] Ald. Cam. H. St.; *ζώων* Bas. Sch.

καὶ τὰ π.] *καὶ γὰρ τ. π.* St.

περικεφαλαίᾳ] — *άλαια* Ald. et St. qui *ἐστι* i. u. addidit. *κεφαλαία* Dalec.; *κεφαλαλγίᾳ* conj. Palmer. Ex. p. 592. Fortasse scribendum *περιλαμβάνεσθαι κεφαλαίᾳ.*

δὲ καὶ τὰ ξύλα· πελεκ.] Ald. H.; *δὲ τὰ ξύλα, καὶ πελεκ.* St. Sch.

γὰρ καὶ] *δὲ καὶ* P.

ἀνθρακείαν] Schn.; *ἀνθρακίαν* Ald. Edd.

διὰ γὰρ τὸ — φυσώμενος ὀλίγος] UMV Sch.; *διὰ τὸ — φυσώμενος· διὸ ὀλίγος* Ald. H. St. — Post *ἀποσβέννυσθαι* add. *εὐθὺς* Ald. Edd., om. U — *διὸ καὶ* St. — *πασηται* cum *ύ* superscripto U.

ἁλιφλοίου] *ἀλιφλοίου* U.

τὰ τοιαῦτα] U; *τὰ* om. ceteri.

Cap. IX. Τῶν δὲ ἄλλων ἐλάττους· καὶ σχεδὸν τά γε πλεῖστα διαιροῦσι ἄρρενι καὶ θήλει καθάπερ εἴρηται, πλὴν ὀλίγων ὧν ἐστι καὶ ἡ πεύκη· πεύκης γὰρ τὸ μὲν ἥμερον ποιοῦσι τὸ δ' ἄγριον, τῆς δ' ἀγρίας δύο γένη· καλοῦσι δὲ τὴν μὲν ἰδαίαν τὴν δὲ παραλίαν· τούτων δὲ ὀρθοτέρα καὶ μακροτέρα καὶ τὸ φύλλον ἔχουσα παχύτερον ἡ ἰδαία, τὸ δὲ φύλλον λεπτότερον καὶ ἀμενηνότερον ἡ παραλία καὶ λειότερον τὸν φλοιὸν καὶ εἰς τὰ δέρματα χρήσιμον· ἡ δὲ ἑτέρα οὔ. καὶ τῶν στροβίλων ὁ μὲν τῆς παραλίας στρογγύλος τε καὶ διαχάσκων ταχέως, ὁ δὲ τῆς ἰδαίας μακρότερος καὶ χλωρὸς καὶ ἧττον χάσκων ὡς ἂν ἀγριώτερος· τὸ δὲ ξύλον ἰσχυρότερον τὸ τῆς παραλίας· δεῖ γὰρ καὶ τὰς τοιαύτας διαφορὰς λαμβάνειν τῶν συγγενῶν· γνώριμα γὰρ διὰ τὴν χρείαν. ὀρθότερον δὲ καὶ πα- 2. χύτερον ὥςπερ εἴπομεν ἡ ἰδαία καὶ πρὸς τούτοις πιττωδέστερον ὅλως τὸ δένδρον, μελαντέρᾳ δὲ πίττῃ καὶ γλυκυτέρᾳ καὶ λεπτοτέρᾳ καὶ εὐωδεστέρᾳ, ὅταν ᾖ ὠμή· ἑψηθεῖσα δὲ χείρων ἐκβαίνει διὰ τὸ πολὺν ἔχειν τὸν ὀρρόν. ἐοίκασι δ' ἅπερ οὗτοι διαιροῦσιν ὀνόμασιν ἰδίοις οἱ ἄλλοι διαιρεῖν τῷ ἄρρενι καὶ θήλει. φασὶ δ' οἱ περὶ Μακεδονίαν καὶ ἄκαρπόν τι γένος ὅλως εἶναι πεύκης καὶ τὸ μὲν

Cap. IX.

πλεῖστα] *τῶν δένδρων* i. u. addidit St. — *καὶ* ab initio om. St. — *τά τε* M..

ἄρρενι] *τῷ* anteposuit Schn.

ὧν ἐστι] mBas. Schn.; *ὡς ἐστὶ* U; *ὡς ἔστι* Ald. Edd.; *inter quae et pinus habita est* G.

ἰδαίαν] H. St. Sch., quae correctio nititur Plin. 16, s. 19; *ἰδέαν* UMV Ald.; *ideam* G. ed. Tarvis.

τὸ φύλλον] dedi de conj.; *τὸ ξύλον* UMVP Sch. et omisso *τὸ* Ald. H. St. Ligni mentio hic fieri nequit ut extrema verba hujus paragraphi ostendunt; contra proxima indicant vocem *φύλλον* hoc loco scriptam fuisse. Neque obstant quae mox dicuntur *παχύτερον . . τὸ δένδρον*, quibus verbis breviter differentias complexus est, quae ego de ambitu ac specie crassa frondis accipio.

ἰδαίας] *ἰδέας* Ald. MV; *εἰδέας* U.

συγγενῶν] ex emend. RConst. H. St. Sch.; *ἀγγείων* U; *ἀγγείων* Ald.; *ἐγγείων* MV mBas.

γνώριμα] dedi de conj.; *γνώριμος* U Ald. H.: *γνώριμοι* de conj. RConstantini St. Sch. At hoc non habet quo referatur, nisi *διαφορὰς*; sed subaudiendum est *τὰ συγγενῆ*.

2. *ὀρθότερον*] corr. RConst. H. St. Sch.; *ὀξύτερον* UMV Ald.

ἰδαία] *ἰδέα* Ald. MV; *εἰδέα* U.

μελαντέρᾳ δὲ πίττῃ καὶ — εὐωδεστέρᾳ] sic dedi fere cum codd.; *μελάντεραι δὲ πίττη καὶ γλυκύτεραι καὶ λεπτότεραι καὶ εὐωδέστεραι* UMV; *μελαντέρα δὲ καὶ γλυκυτέρα καὶ λεπτοτέρα καὶ εὐωδεστέρα* Ald. H. et, post *δὲ* intersertis *ἡ πίττα*, St. Sch. cont. dedit *μελαντέρᾳ τε καὶ γλυκ.* etc. „mutavi nominativum in dativum, ut more Theophrasteo e vocabulo *πιττωδέστερον* nomen *πίττα* repetatur" Sch. in Comm. Idem in Syll. *μελαντέρᾳ δὲ καὶ γλ.* etc. Equidem *πίττῃ* cum codd. tenendum sed dativum ponendum esse censui, quae dictio ferri posse videtur.

χείρων] *χεῖρον* U.

ὀρρόν] *ὀρὸν* Ald. MP et U cum altero ρ superscr.

ἄκαρπόν τι γένος ὅλως] „*ὅλως* in hac scriptura plane abundat; sed si *τὸ γένος* scribas, genus omne plane sterile *ὅλως ἄκ.* recte dicetur. Accedit quod § 4 est *πεύκης — ἄκαρπον*. Si enim Macedones unum tantum genus sterile (*γένος τι*) statuissent, reliqua vero sexu distinxissent, non poterat Theophrastus omnem Macedonum descriptionem absolvere verbis *καὶ τρίτην τὴν ἄκαρπον*." Schn. in Comm. Equidem *ὅλως* ad *ἄκαρπον* relatum intelligo *omnino sterile*, i. e. *nullos omnino nec bonos nec malos fructus ferentem*, neque video haec iis, quae §. 4 dicta sunt, repugnare; imo ista hunc locum illustrant. Dicit hic Macedones asserere genus quoddam pini esse omnino sterile; dein quomodo ab iisdem mas et femina dignoscantur exponit. Et §. 4 Macedones distinguunt domesticam et sylvestrem pinum, atque sylvestris formas tres, marem, feminam, sterilem. De domestica enim hic non sermo est, ubi sylvestres arbores recensentur. Atque *τὴν τρίτην* ad *τῆς ἀγρίας* pertinet, nec ad priorem divisionem *ἥμερόν τε καὶ ἄγριον*; alioquin dicendum fuisset *καὶ τρίτον* (scil. *γένος*) *τὴν ἄκαρπον*.

3. ἄρρεν βραχύτερόν τε καὶ σκληροφυλλότερον, τὸ δὲ θῆλυ εὐμηκέστερον καὶ τὰ φύλλα λιπαρὰ καὶ ἁπαλὰ καὶ κεκλιμένα μᾶλλον ἔχειν· ἔτι δὲ τὰ ξύλα τῆς μὲν ἄρρενος περίμητρα καὶ σκληρὰ καὶ ἐν ταῖς ἐργασίαις στρεφόμενα τῆς δὲ θηλείας εὐεργὰ καὶ ἀστραβῆ καὶ μαλακώτερα. σχεδὸν δὲ κοινή τις ἡ διαφορὰ πάντων τῶν ἀρρένων καὶ θηλειῶν, ὡς οἱ ὑλοτόμοι φασίν. ἅπαν γὰρ τὸ ἄρρεν τῇ πελεκήσει καὶ βραχύτερον καὶ ἐπεστραμμένον μᾶλλον καὶ δυσεργότερον καὶ τῷ χρώματι μελάντερον, τὸ δὲ θῆλυ εὐμηκέστερον· ἐπεὶ καὶ τὴν αἰγίδα τὴν καλουμένην ἡ θήλεια τῆς πεύκης ἔχει· τοῦτο δ' ἐστὶ τὸ ἐγκάρδιον αὐτῆς· αἴτιον δὲ ὅτι ἀπευκοτέρα καὶ ἧττον ἔνδαδος καὶ λειοτέρα καὶ εὐκτεανωτέρα. γίνεται δὲ ἐν τοῖς μέγεθος ἔχουσι τῶν δένδρων ὅταν ἐκπεσόντα περισαπῇ τὰ λευκὰ καὶ τὰ κύκλῳ. τούτων γὰρ περιαιρεθέντων καὶ καταλειφθείσης τῆς μήτρας ἐκ ταύτης πελεκᾶται· ἔστι δὲ εὔχρουν σφόδρα καὶ λεπτόϊνον. ὃ δὲ οἱ περὶ τὴν Ἴδην δᾳδουργοὶ καλοῦσι συκῆν, τὸ ἐπιγιγνόμενον ἐν ταῖς πεύκαις, ἐρυθρότερον τὴν χροιὰν τῆς δᾳδὸς, ἐν τοῖς ἄρρεσίν ἐστι μᾶλλον· δυσῶδες δὲ τοῦτο καὶ οὐκ
4. ὄζει δᾳδὸς οὐδὲ καίεται ἀλλ' ἀποπηδᾷ ἀπὸ τοῦ πυρός. πεύκης μὲν οὖν ταῦτα γένη ποιοῦσιν, ἥμερόν τε καὶ ἄγριον, καὶ τῆς ἀγρίας ἄρρενά τε καὶ θήλειαν καὶ τρίτην τὴν ἄκαρπον. οἱ δὲ περὶ τὴν Ἀρκαδίαν οὔτε τὴν ἄκαρπον λέγουσιν οὔτε τὴν ἥμερον πεύκην ἀλλὰ πίτυν εἶναί φασι· καὶ γὰρ τὸ στέλεχος ἐμφερέστατον εἶναι τῇ πίτυϊ καὶ ἔχειν τήν τε λεπτότητα καὶ τὸ μέγεθος καὶ ἐν ταῖς

σκληροφυλλότερον] UMVP Sch.; *folioque duriorem* G.; *σκληρότερον* Ald. Edd. — Antea *τραχύτερον* St.

καὶ τὰ φ.] *καὶ ταύτην τὰ φ.* St.

ἔτι δὲ] U; *ἔστι δὲ* cett.

περίμητρα] e corr. RConst. Schn.; *περιμήτρια* UMV Ald. Edd.; *lignum circumcincta medulla duram* G. *festes Kernholz* Spr.

σκληρὰ] corr. RConst. H. St. Schn.; *σκληρία* UMV Ald.

εὐεργὰ] Ald. Edd.; *ἐναργὰ* V; *εὐαργὰ* MP.

ἀστραβῆ] corr. RConst. H. St. Schn.; *εὐστραβῆ* Ald.

3. *κοινή τις*] *κοινότης* P.

θηλειῶν] *θηλείων* U.

βραχύτερον] *τραχύτ.* St.

ἐπεστραμμένον] *ἐπεστραμένον* cum alt. μ superscr. U.

εὐμηκέστερον] *καὶ εὐεργότερον* add. St.

ἐπεὶ καὶ] *ἔτι καὶ* St.; *nam et quod aegidem appellant* G.

ἀπευκοτέρα] *ἀπευκότερα καὶ ἧττον ἔνδαιδος καὶ λειότερα καὶ εὐκτεανώτερα* U.

εὐκτεανωτέρα] *εὐκτηδονωτέρα* corr. R Const. St. *εὐκτέανος δρῦς* restituit Coraes in Plut. Marc. c. 8, ubi *εὐκέανος* erat. Hesych.: *ἰθυκτέανον· τὸ ἰθὺ πεφυκὸς καὶ ὀρθὸν δένδρον.* Cf. 5, 1, 9.

ἐκπεσόντα] Schn. conj. *ἐκπεσόντων*; *ἐκπέσωνται* St.

μήτρας] *μίτρας* U.

πελεκᾶται] *ἡ αἰγίς* add. St.

εὔχρουν] *ἄχρουν* mBas.; *est decolor omnino* G.

ὃ δὲ] St. Sch.; *ὃ δὲ* U sed fuerat *δή*.; *ὃ δὴ* Ald. H.

δᾳδουργοὶ] *δαιδουργοὶ* U; *δαδουργοὶ* Ald.

ἐρυθρότερον τὴν χροιὰν] UMV Ald. Bas. Sch.; *ἐρ. καὶ τ. χρ.* H.; *ἐρ. κατὰ τ. χρ.* Bod. St.

τῆς δᾳδὸς] *τ. δαδὸς* Ald.; *τῆς παιδὸς* UM.

ἐν τοῖς] UMV Ald.; *καὶ ἐν τοῖς* H.; *χροιὰν καὶ ἐν τοῖς* mediis omissis St.

δᾳδός] *δαιδὸς* U; *δαδός* Ald.

4. *ταῦτα γένη*] corr. RConst. H. St. Sch.; *ταῦτά γε* UMV Ald.; *igitur genera pini haec assignant* G.

καὶ — ἄκαρπον] vide ad § 2.

ἀλλὰ πίτυν] Dalecamp. Hist. p. 51 conjicit *ἄλλην δὲ πίτυν*. At sensus satis apertus: Quam arborem alii domesticam *πεύκην* nominant, eam Arcades *πίτυος* nomine salutant.

ἐμφερέστατον] U Sch. syll.; *ἐμφανέστερον* Ald.; *evidentiorem* G.; *ἐμφερέστερον* Sch cont.

λεπτότητα καὶ] H. St. Sch.; *καὶ* om. MV Ald.; *λειότητα* e conj. RConst. et Dalec. St.

ἐργασίαις ταὐτὸ τὸ ξύλον· τὸ γὰρ τῆς πεύκης καὶ παχύτερον καὶ λειότερον καὶ
ὑψηλότερον εἶναι· καὶ τὰ φύλλα τὴν μὲν πεύκην ἔχειν πολλὰ καὶ λιπαρὰ καὶ
βαθέα καὶ κεκλιμένα, τὴν δὲ πίτυν καὶ τὴν κωνοφόρον ταύτην ὀλίγα τε καὶ
αὐχμωδέστερα καὶ πεφρικότα μᾶλλον· ἄμφω δὲ τριχόφυλλα· ἔτι δὲ τὴν πίτ-
ταν ἐμφερεστέραν τῆς πίτυος· καὶ γὰρ τὴν πίτυν ἔχειν ὀλίγην τε καὶ πικρὰν
ὥσπερ καὶ τὴν κωνοφόρον, τὴν δὲ πεύκην εὐώδη καὶ πολλήν. φύεται δ' ἐν
μὲν τῇ Ἀρκαδίᾳ ἡ πίτυς ὀλίγη περὶ δὲ τὴν Ἠλείαν πολλή. οὗτοι μὲν οὖν ὅλῳ
τῷ γένει διαμφισβητοῦσιν. ἡ δὲ πίτυς δοκεῖ τῆς πεύκης καὶ διαφέρειν τῷ λι- 5.
παρωτέρα τε εἶναι καὶ λεπτοφυλλοτέρα καὶ τὸ μέγεθος ἐλάττων καὶ ἧττον ὀρ-
θοφυής· ἔτι δὲ τὸν κῶνον ἐλάττω φέρειν καὶ πεφρικότα μᾶλλον καὶ τὸ κάρυον
πιττωδέστερον· καὶ τὰ ξύλα λευκότερα καὶ ὁμοιότερα τῇ ἐλάτῃ καὶ τὸ ὅλον
ἄπευκα. διαφορὰν δ' ἔχει καὶ ταύτην μεγάλην πρὸς τὴν πεύκην· πεύκην μὲν
γὰρ ἐπικαυθεισῶν τῶν ῥιζῶν οὐκ ἀναβλαστάνειν, τὴν πίτυν δέ φασί τινες ἀνα-
βλαστάνειν, ὥσπερ καὶ ἐν Λέσβῳ ἐμπρησθέντος τοῦ Πυρραίων ὄρους τοῦ πιτυ-
ώδους. νόσημα δὲ ταῖς πεύκαις τοιοῦτόν τι λέγουσι συμβαίνειν οἱ περὶ τὴν
Ἴδην ὥστ', ὅταν μὴ μόνον τὸ ἐγκάρδιον ἀλλὰ καὶ τὸ ἔξω τοῦ στελέχους ἔνδα-

ταὐτὸ] dedi de conj.; *αὐτὸ* Ald. Edd.; *et operibus ipsam materiem ineptam* G., unde Schn. scripsit *αὐτὸ τὸ ξύλον [ἀχρεῖον]*. Contra pro *αὐτὸ* dedit *εὔχρηστον* St. cum Dalec.

τὸ — πεύκης] *τὸ δὲ τῆς π. στέλεχος* St.

βαθέα] *δασέα* cum RConst. et Dalec. St.; *prolixa* interpretatur Scal.

καὶ τὴν κωνοφόρον ταύτην] Ald. Edd.; *καὶ τῇ γονοφόρον* MV; *καὶ κωνοφόρον αὐτὴν* videtur G. habuisse; vertit *etiam coniferam ipsam*. Interpretum hallucinationes refutavit Schn.

αὐχμωδέστερα] Cam. H. St. Sch.; *ἀχμωδέστερα* Ald. Bas.; *αἰχμωδέστερα* UMV.

ἄμφω δὲ τριχόφυλλα] Haec verba huc transposuit Schn. In Ald. et libris mscr. leguntur infra post *κάρυον πιττωδέστερον*, quo loco orationem male interpellant et minime apta sunt. Hic vero recte posita esse videntur. Fortasse causa cur in alienum locum migraverint, quaerenda in verbo *πεφρικότα*, quod et hic et infra legitur.

πίτταν ἐμφερεστέραν τῆς πίτυος] U Sch. syll.; *πίτυν ἂν ἐμφανεστέραν τῆς πεύκης* Ald. H.; *πίτταν ἀνεμφανεστέραν τῆς πεύκης* cum RConst. dedit St. V dat *πίτυος* pro *πεύκης*, Vo. *πίττων ἂν* pro *πίτυν ἂν*. Schn. scripserat cum Dalec. *πίτταν ἐμφανεστέραν τῆς πίτυος*.

καὶ γὰρ τὴν πίτυν] U Ald. Bas. Cam. Sch.; *τὴν γὰρ πίτυν* V; *καὶ γὰρ τὴν πίτταν* cod. Casaub. RConst. H. St. — Dein *ὀλίγην ἔχειν τε* M.

πικρὰν] e corr. RConst. H. St. Sch.; *amaram* G.; *μικρὰν* V Ald.

κωνοφόρον] *κανοφόρον* MV.

τὴν δὲ πεύκην] *ἡ δὲ πεύκη* St.

φύεται δὲ] Ald. Edd.; *δὲ* om. UMV.

Ἠλείαν] *ὀλείαν* M.

μὲν οὖν] *περὶ* add. St.

5. *καὶ διαφέρειν*] UMV et G.; *καὶ* om. Ald. Edd. o.

ἔτι δὲ τὸν κ.] U Sch. syll.; *ἔτι δὲ καὶ τ. κ.* Ald. Edd. o.

φέρειν] Ald. H.; *φέρει* St. Schn.

πιττωδέστερον] Hic Ald. Edd. adjiciunt *ἄμφω δὲ τριχόφυλλα* quae Schn. in locum commodum paragraphi superioris transposuit.

ξύλα] *ταύτης* add. St.

ὁμοιότερα] *ὁμοιώτερα* U.

ἄπευκα] Ald. H. Schn.; *ἄτευκα* U; *ἀπευκότερα* cum RConst. St.

καὶ ταύτην μεγάλην πρὸς] corr. Sch. syll.; *καὶ τὴν μεγ. π.* UMV; *μεγάλην πρὸς* Ald. Edd.; *καὶ ἄλλην π.* conj. Dalec.; *μεγ. καὶ ταύτην πρὸς* Schn. cont.

ἐπικαυθεισῶν] *ἐπικαθεισῶν* MV.

πεύκην — ἀναβλαστάνειν] Ald. Edd.; *πεύκη — ἀναβλαστάνει* Schn.

ἐν Λέσβῳ] scripsi pro vulgato *εἰς Λέσβον*; *in Lesbo* G.

ἐμπρησθέντος] *ἐμπρησθεντος* U.

πιτυώδους] UMV Ald. Schn.; *πιττυώδους* H. St.

νόσημα] Exc. P_2: *νόσημα ταῖς πεύκαις ὅταν τὸ ἐγκάρδιον καὶ τὸ ἐκτὸς ἔνδαδον γενόμενον ὥσπερ ἀπω πνίου* (fortasse *ἀποπνιγῇ*).

ἀλλὰ καὶ] *καὶ ἄλλα καὶ* H.; *ἄλλα καὶ* Bo.

δον γένηται, τηνικαῦτα ὥσπερ ἀποπνίγεσθαι. τοῦτο δὲ αὐτόματον συμβαίνει
δι' εὐτροφίαν τοῦ δένδρου ὡς ἄν τις εἰκάσειεν· ὅλον γὰρ γίνεται δᾴς· περὶ μὲν
6. οὖν τὴν πεύκην ἴδιον τοῦτο πάθος· ἐλάτη δ' ἐστὶν ἡ μὲν ἄρρην ἡ δὲ θήλεια,
διαφορὰς δ' ἔχουσα τοῖς φύλλοις· ὀξύτερα γὰρ καὶ κεντητικώτερα τὰ τοῦ ἄρ-
ρενος καὶ ἐπεστραμμένα μᾶλλον, δι' ὃ καὶ οὐλότερον τῇ ὄψει φαίνεται τὸ δέν-
δρον ὅλον. καὶ τῷ ξύλῳ· λευκότερον γὰρ καὶ μαλακώτερον καὶ εὐεργέστερον
τὸ τῆς θηλείας καὶ τὸ ὅλον στέλεχος εὐμηκέστερον· τὸ δὲ τοῦ ἄρρενος ποικι-
λώτερον καὶ παχύτερον καὶ σκληρότερον καὶ περίμητρον μᾶλλον ὅλως δὲ φαυ-
λότερον τὴν ὄψιν. ἐν δὲ τῷ κώνῳ τῷ μὲν τοῦ ἄρρενός ἐστι κάρυα ὀλίγα ἐπὶ
τοῦ ἄκρου, τῷ δὲ τῆς θηλείας ὅλως οὐδὲν ὡς οἱ ἐκ Μακεδονίας ἔλεγον. ἔχει
δὲ πτέρυγας τὸ φύλλον . . . καὶ ἐπ' ἔλαττον ὥστε τὴν ὅλην μορφὴν εἶναι θολο-
ειδῆ καὶ παρόμοιον μάλιστα ταῖς βοιωτίαις κυνέαις· πυκνὸν δὲ οὕτως ὥστε
μήτε χιόνα διϊέναι μηθ' ὑετόν. ὅλως δὲ καὶ τῇ ὄψει τὸ δένδρον καλόν· καὶ
γὰρ ἡ βλάστησις ἰδία τις ὥσπερ εἴρηται παρὰ τὰς ἄλλας καὶ μόνη τάξιν
ἔχουσα· τῷ δὲ μεγέθει μέγα καὶ πολὺ τῆς πεύκης εὐμηκέστερον. διαφέρει
7. δὲ καὶ κατὰ τὸ ξύλον οὐ μικρόν· τὸ μὲν γὰρ τῆς ἐλάτης ἰνῶδες καὶ μαλακὸν
καὶ κοῦφον τὸ δὲ τῆς πεύκης δᾳδῶδες καὶ βαρὺ καὶ σαρκωδέστερον. ὄζους δὲ

δᾴς] *δαίς* MV.

ἴδιον τοῦτο] U Sch. syll.; *ἴ. τι τοῦτο* Ald. Edd. o.

6. *τοῖς φύλλοις*] *τε* i. u. interseruit Sch.

κεντητικώτερα] *κεντετικώτερον* U.

τὰ τοῦ ἀρρ.] U, Sch. e conj.; *τὰ* om. Ald. Edd.

παχύτερον] scripsi e conj.; *πλατύτερον* Ald. Edd.

ὅλως — ὄψιν] Sch. addit i. u. *τὸ δένδρον*. Sed mihi ad lignum hoc pertinere videtur.

τῷ δὲ τ. θ.] *ἐν τῷ δὲ τ. θ.* St.

ἔχει — ἔλαττον] Ald. Edd. o. sine signo lacunae; *ἔτ' ἔλαττον* M; *folium pinnatum atque in angustius tendens* G. Cum probabilem emendationem non invenirem locum immutatum exscripsi; addidi tantum signum lacunae, cum oratio aperte hiulca sit. Ante Schneiderum interpretes omnes haec verba intellexerunt de foliis et diverso modo interpolaverunt et explicaverunt; ille vero primus censuit sermonem esse de abietis strobilis, cum ea quae sequuntur nulla ratione de foliis dici potuissent; relicto igitur v. *τὸ φύλλον* in ea nomen strobilum indicans latere putavit. Quem secutus Sprengel protinus illi *τὸ σπέρμα* substituit, sed adeo inconsiderate ut *πτέρυγας* non squamas strobilum constituentes, ut Schn., sed alas i. e. seminum appendices membranaceas aliformes significare putaret, *τὴν ὅλην μορφὴν* autem ad totum strobilum referret. Sed quae sequitur comparatio, *θολοειδῆ* et *παρόμοιον βοιωτίαις κυνέαις*, quas correctiones pro veris habeo, movet me ut Schneideri explicationem improbem; magis vero etiam verba *πυκνὸν — ὑετὸν* quae item ad strobilos pertinere Schn. putavit, qua in re neminem consentientem habebit. Redeo igitur ad Dalecampii rationem, quem rem de qua sermo est, recte percepisse, sed verba in libris tradita contorte explicuisse existimo. Dicere autem videtur in abiete folia ramulis suis ita insitas esse ut cum alis avium comparari possint; sic totam arborem tholi speciem vel umbraculi boeotii repraesentare. Longior vero est in comparatione quam in ipsa descriptione; nec mirum: descriptione enim, quae difficilis foret, supersedere vult, et adjicit quo comparato quisque statim ejus rei speciem sibi effingat. Hoc certum videtur Th. loqui de foliis pinnatis veluti aliformibus, etsi verba *ἔχει πτέρυγας τὸ φύλλον* sana esse nequeunt. Conjeceram olim *ἔχει δὲ πτερυγοειδῆ φύλλα ἀεὶ ἐπ' ἔλαττον*.

θολοειδῆ] conj. Scal. St. Sch.; *θηλοειδῆ* U in ras.; *θηλοειδῆ* Ald.; *θηλοειδὲς* MV; *κυκλοειδῆ* H.; *ut totaspecies concameratum sane immitetur* G.

κυνέαις] e corr. RConst. H. Sch.; *κτανέαις* St.; *κυανέαις* UMV Ald.; *similique potissimum cyathis Boeotorum appareat* G.

ἰδία τις] *ἰδία τὶς* U.

τάξιν] *τάξῖ* U.

μεγέθει μέγα] V Sch.; *μεγ. καὶ μέγα* Ald. Edd.

7. *ἰνῶδες*] Ald. Edd.; *οἰνῶδες* UMV.

δᾳδῶδες] *δαιδῶδες* U.

ἔχει πλείους μὲν ἡ πεύκη σκληροτέρους δ' ἡ ἐλάτη, σχεδὸν δὲ πάντων ὡς εἰπεῖν σκληροτέρους, τὸ δὲ ξύλον μαλακώτερον. ὅλως δὲ οἱ ὄζοι πυκνότατοι καὶ στερεώτατοι μόνον οὐ διαφανεῖς ἐλάτης καὶ πεύκης καὶ τῷ χρώματι δᾳδώδεις καὶ μάλιστα διάφοροι τοῦ ξύλου, μᾶλλον δὲ τῆς ἐλάτης. ἔχει δὲ, ὥςπερ ἡ πεύκη τὴν αἰγίδα, καὶ ἡ ἐλάτη τὸ λευκὸν λοῦσσον καλούμενον, οἷον ἀντίστροφον τῇ αἰγίδι, πλὴν τὸ μὲν λευκὸν ἡ δ' αἰγὶς εὔχρως διὰ τὸ ἔνδᾳδον. πυκνὸν δὲ καὶ λευκὸν γίνεται καὶ καλὸν ἐκ τῶν πρεσβυτέρων ἤδη δένδρων· ἀλλὰ σπάνιον τὸ χρηστὸν, τὸ δὲ τυχὸν δαψιλὲς ἐξ οὗ τά τε τῶν ζωγράφων πινάκια ποιοῦσι καὶ τὰ γραμματεῖα τὰ πολλά· τὰ δ' ἐσπουδασμένα ἐκ τοῦ βελτίονος. οἱ 8.
δὲ περὶ Ἀρκαδίαν ἀμφότερα καλοῦσιν αἰγίδα καὶ τὴν τῆς πεύκης καὶ τὴν τῆς ἐλάτης, καὶ εἶναι πλείω τὴν τῆς ἐλάτης ἀλλὰ καλλίω τὴν τῆς πεύκης· εἶναι γὰρ τῆς μὲν ἐλάτης πολλήν τε καὶ λείαν καὶ πυκνὴν, τῆς δὲ πεύκης ὀλίγην, τὴν μέντοι οὖσαν οὐλοτέραν καὶ ἰσχυροτέραν καὶ τὸ ὅλον καλλίω. οὗτοι μὲν οὖν ἐοίκασι τοῖς ὀνόμασι διαφωνεῖν. ἡ δὲ ἐλάτη ταύτας ἔχει τὰς διαφορὰς πρὸς τὴν πεύκην καὶ ἔτι τὴν περὶ τὴν ἄμφαυξιν ἣν πρότερον εἴπομεν.

Cap. X. Ὀξύη δ' οὐκ ἔχει διαφορὰς ἀλλ' ἐστὶ μονογενές· ὀρθοφυὲς δὲ καὶ 9St.
λεῖον καὶ ἄνοζον καὶ πάχος καὶ ὕψος ἔχον σχεδὸν ἴσον τῇ ἐλάτῃ· καὶ τἄλλα δὲ παρόμοιον τὸ δένδρον· ξύλον δὲ εὔχρουν ἰσχυρὸν εὔινον καὶ φλοιὸν λεῖον

εἰπεῖν σκληροτέρους] UMV Ald. H.; *quin et reliquis omnibus fere duriores* G.; *σκληροτάτους* cum RConst. St. Sch. Comparativus bene habet.

στερεώτατοι] Havn. 1., conj. Scalig. St. Schn.; *στερεώτι καὶ* U; *στερεωτικαὶ* P Ald.; *στερεωτικοὶ* Cam. H.; *στεραιωτικοὶ* M secund. Schn. in Comm., sed in Auctar. MV cum U convenire dicuntur.

μόνον οὐ] dedi de conj. egregia Schneideri; *οὐ* om. Ald. H. — *μόνον ἐμφανεῖς οἱ τῆς ἐλάτης· οἱ δὲ τῆς πεύκης* St.

μᾶλλον δὲ] dedi de conj.; *μᾶλλον ἢ* Ald.; *μᾶλλον δὲ τῆς πεύκης ἢ τῆς ἐλ.* Scal. Sch.; *καὶ ἔτι μᾶλλον αἱ διαφοραὶ τοῦ ξύλου τῆς πεύκης καὶ τῆς ἐλ.* St.

τῇ αἰγ.] U Sch. syll.; *τῇ* om. Ald. Edd.

πλὴν τὸ μὲν λ.] *μὲν* add. Sch. cum Havn. 1.; *τοῦτο λευκὸν* St.

καὶ λευκὸν] *τὸ λ.* St.

καλὸν ἐκ τῶν] Schn. cum G.; *καλὸν καὶ ἐκ τῶν* Ald. Edd.

σπανιὸν] *ἐπανιὸν* U.

τὸ δὲ τυχὸν δ.] *τὸ δὲ τὸ τυχόν δαψίλευ* (ι superscr.) U; *τὸ δὲ — δαψιλές* om. St.

τά τε τῶν] U; *τε τῶν* MV; *τὰ τῶν* Ald. Edd. o.

γραμματεῖα] *γραμμάτεια* U.

τὰ δ'] corr. Schn. cum Scal.; *καὶ* Ald. Edd.

ἐσπουδασμένα] U Edd. post H.; *ἐσπουδαγμένα* Ald. M.

ἐκ τ. β.] *ἐκ* om. M; *καὶ τοῦ β.* Ald. Correxerunt auct. Scalig. Edd. — *ἐστι* i. u. add. St.

8. *ἐλάτης — πεύκης*] sic cum Scalig. Edd. o.; *πεύκης — ἐλάτης* ordine inverso Ald., quem servare sequentia non patiuntur. Recte G.: *et copiosiorem esse abietis volunt: sed meliorem pini.*

εἶναι γὰρ] Ald. Edd.; *ἀγαθὰ γὰρ* UMV; *abietis enim totam commodam laevem spissamque* G. An fuit *γίνεσθαι γὰρ*?

τῆς μὲν] *τὴν μὲν τῆς* St., quod probat Sch.

πολλὴν] Schn. de corr. C. Gesneri apud Dalec.; *ὅλην* MV Ald.; *οὔλην* U, mBas. Scal.; *οὖλην* St.

διαφωνεῖν] *διαφωρεῖν* M.

ἔτι τὴν] U Sch. syll.; *τὴν* om. Ald. Edd.

ἄμφαυξιν] *ἄμφαξιν* M.

Cap. X.

ὀξύη] *ὀξύη η* in ras. U; *ὀξία* P; *ἡ δ' ὀξ.* St.

παρόμοιον] *τε*, quod addunt Ald. Edd., seclusit Schn., ipse omisi. RConst. conj. *κατ' ἄλλα δὲ*, Spreng. *κατ' ἄλλα δὲ ἀνόμοιον.* An *τε* remansit loco veteris *αὐτῇ*?

καὶ παχὺν, φύλλον δ' ἀσχιδὲς προμηκέστερον ἀπίου καὶ ἐπακάνθιζον ἐξ ἄκρου,
ῥίζας οὔτε πολλὰς οὔτε κατὰ βάθους· ὁ δὲ καρπὸς λεῖος βαλανώδης ἐν ἐχίνῳ
πλὴν ἀνακάνθῳ καὶ λείῳ, καὶ οὐχ ὡς ἡ διοσβάλανος ἀκανθώδει, προσεμφερὴς
δὲ καὶ κατὰ γλυκύτητα καὶ κατὰ τὸν χυλὸν ἐκείνῳ. γίνεται δὲ καὶ ἐν τῷ ὄρει
λευκὴ ἣ καὶ χρήσιμον ἔχει τὸ ξύλον πρὸς πολλά· καὶ γὰρ πρὸς ἁμαξουργίαν
καὶ πρὸς κλινοπηγίαν καὶ εἰς διφρουργίαν καὶ εἰς τραπεζίαν καὶ εἰς ναυπηγίαν·
ἡ δ' ἐν τοῖς πεδίοις μέλαινα καὶ ἄχρηστος πρὸς ταῦτα· τὸν δὲ καρπὸν ἔχουσι
2. παραπλήσιον. μονογενὴς δὲ καὶ ἡ μίλος, ὀρθοφυὴς δὲ καὶ εὐαυξὴς καὶ ὁμοία
τῇ ἐλάτῃ, πλὴν οὐχ ὑψηλὸν οὕτω πολυμάσχαλον δὲ μᾶλλον. ὅμοιον δὲ καὶ
τὸ φύλλον ἔχει τῇ ἐλάτῃ λιπαρώτερον δὲ καὶ μαλακώτερον. τὸ δὲ ξύλον ἡ
μὲν ἐξ Ἀρκαδίας μέλαν καὶ φοινικοῦν ἡ δ' ἐκ τῆς Ἴδης ξανθὸν σφόδρα καὶ
ὅμοιον τῇ κέδρῳ δι' ὃ καὶ τοὺς πωλοῦντάς φασιν ἐξαπατᾶν ὡς κέδρον πωλοῦντας·
πᾶν γὰρ εἶναι καρδίαν ὅταν ὁ φλοιὸς περιαιρεθῇ· ὅμοιον δὲ καὶ τὸν φλοιὸν ἔχειν
καὶ τῇ τραχύτητι καὶ τῷ χρώματι τῇ κέδρῳ, ῥίζας δὲ μικρὰς καὶ λεπτὰς καὶ
ἐπιπολαίους. σπάνιον δὲ τὸ δένδρον περὶ τὴν Ἴδην, περὶ δὲ Μακεδονίαν καὶ
Ἀρκαδίαν πολύ· καὶ καρπὸν φέρει στρογγύλον μικρῷ μείζω κυάμου τῷ χρώ-
ματι δ' ἐρυθρὸν καὶ μαλακόν· φασὶ δὲ τὰ μὲν λόφουρα ἐὰν φάγῃ τῶν φύλλων

παχὺν, φύλλον δ' ἀσχιδὲς] dedi cum R Const. mBod., ubi male *παχὺ* scriptum; *καὶ παχύφυλλον, δυσχιδές* Ald. H.; *παχύφυλλον φύλλῳ δυσχίδει* St.; —*διςχιδὲς* UP; —*δισχιδὲν* MV; *folium crassum bifidum* G. *καὶ παχύν φύλλον δυσχιδὲς* Schn. secutus Caesalpin. 2, 3, qui *δυσχιδὲς difficile ad findendum* interpretatur; *ein wenig eingeschnittenes Blatt* Spr. Vox *δυσχιδὲς* ne graeca quidem est; dicunt *δυσχιστόν.*

ἐπακάνθιζον] U Sch. de conj.; *ἐξακάνθιζον* Ald. Edd.

ῥίζας] *δὲ* add. St.

βάθους] UMVP Sch.syll.; *βάθος* Ald. Edd. o.

βαλανώδης] U *η* in ras. Dein *ἐν ἐχινώδει περικαρπίῳ* St.; *βαλλανώδης* Cam.

πλὴν ἀνακάνθῳ] sic scripsi partim e conj.; *πλὴν οὐκ ἀνακάνθωι καὶ λείωι* U; *π. οὐκ ἐν ἀκάνθῳ* MV Ald.; *π. οὐκ ἐνάκανθος καὶ λεῖος* H.; *π. οὐκ ἐνακάνθῳ* RConst. Sch.; *πλὴν ἀνακάνθῳ ἢ οὐ λίαν* in parenthesi St. Equidem U lectionem pro vera, sed *οὐκ* pro interpolato habeo. Ita explico: Verbis *ἐν ἐχίνῳ* similitudinem pericarpii Castaneae et Fagi significare vult; verbis *πλὴν—λείῳ* cavet ne pericarpium Fagi aculeatum esse putemus, est enim hirsutum quidem sed cum aculeato Castaneae comparatum laeve vocandum. Salm. Ex. p. 424 voluit *πλὴν ἀνάκανθος καὶ λεῖος—ἀκανθώδης.*

ἀκανθώδει] e conj. RConst. Schn.; *ἀκανθώδης* Ald. H. St. et U *η* in ras.

δὲ καὶ κατὰ γλυκ.] *δὲ καὶ ἡ κατά γλ.* U; *δὲ ἡ κατὰ γλ.* MV; certe M *τὴν* omittunt, quod de U et V non constat; nam *δὲ καὶ κατὰ τὴν γλ.* Ald. Edd.; *τοῦ καρποῦ* add. St.

ἐκείνῳ] Ald. H. St.; *ἐκείνῃ* cum RConst. Sch.; *ἐκείνων* U. Referendum est ad *ὁ καρπός.*

γίνεται δὲ καὶ ἐν] Ald. H. St.; *nascitur etiam montibus* G.; *γίνεται δὲ ἡ μὲν* corr. Sch., qua mutatione structura nequaquam sublevatur. Etenim cum Th. scripturus fuisset *γίνεται δὲ καὶ ἐν τῷ ὄρει — καὶ ἐν τοῖς πεδίοις*, dein Fagi montanae natura exposita, structura haud incommode variata, pergit *ἡ δ' ἐν τοῖς πεδίοις.*

λευκὴ ἣ καὶ] dedi de conj.; *λεύκη τε, καὶ* Ald. H.; *λευκή τε καὶ* Sch.; *ἡ λεύκη δὲ* St.

ἁμαξουργίαν] Ald. Edd.; *ἁμαξητὰ* U; *ἁμαξιτὰ* MV; —*διφουργίαν* H. Bo.

2. *εὐαυξὴς*] St. Schn.; *εὐαξὴς* Ald. H.

τὸ δὲ ξύλον] U Sch.syll.; *καὶ τὸ ξύλον* Ald. Edd. o.

ἡ μὲν—ἡ δ'] *τῆς μὲν—τῆς δὲ* St.

μέλαν] *μέλαινα* antea fuisse rasura indicat U.

ὅμ. δὲ καὶ] U Sch.syll.; *καὶ* om. ceteri.

Ἀρκαδίαν πολύ· καὶ καρπὸν] Schn.; *Ἀ. καὶ πολὺν καρπὸν* UMV Ald.; *Ἀ. πολὺν καρπὸν* H. St. atque G.

μείζω κυάμου] Ald. Edd.; *μεῖζον κυάμῳ* U.

τῷ χρ.] UMV Sch.; *καὶ τῷ χρ.* Ald. Edd.

λόφουρα] *λόφούρα* U. Laudat Schol. Nicand. Al. v. 611.

ἀποθνήσκειν τὰ δὲ μηρυκάζοντα οὐδὲν πάσχειν. τὸν δὲ καρπὸν ἐσθίουσι καὶ τῶν ἀνθρώπων τινὲς καί ἐστιν ἡδὺς καὶ ἀσινής. ἔστι δὲ καὶ ἡ ὄστρυς μονοειδής, ἣν καλοῦσί τινες ὀστρύαν, ὁμοφυὲς τῇ ὀξύᾳ τῇ τε φυτείᾳ καὶ τῷ φλοιῷ· φύλλα δὲ ἀπιοειδῆ τῷ σχήματι, πλὴν προμηκέστερα πολλῷ καὶ εἰς ὀξὺ συνηγμένα καὶ μείζω, πολύϊνα δὲ, ἀπὸ τῆς μέσης εὐθείας καὶ μεγάλης τῶν ἄλλων πλευροειδῶς κατατεινουσῶν καὶ πάχος ἐχουσῶν· ἔτι δὲ ἐρρυτιδωμένα κατὰ τὰς ἶνας καὶ χαραγμὸν ἔχοντα κύκλῳ λεπτόν· τὸ δὲ ξύλον σκληρὸν καὶ ἄχρουν, ἔκλευκον· καρπὸν δὲ μικρὸν πρόμακρον ὅμοιον κριθῇ ξανθόν· ῥίζας δὲ ἔχει μετεώρους· ἔνυδρον δὲ καὶ φαραγγῶδες. λέγεται δὲ ὡς οὐκ ἐπιτήδειον εἰς οἰκίαν εἰσφέρειν· δυσθανατᾶν γάρ φασι καὶ δυστοκεῖν οὗ ἂν ᾖ. τῆς δὲ φιλύρας ἡ μὲν 4.
ἄρρην ἐστὶ ἡ δὲ θήλεια· διαφέρουσι δὲ τῇ μορφῇ τῇ ὅλῃ καὶ τῇ τοῦ ξύλου καὶ τῷ τὸ μὲν εἶναι κάρπιμον τὸ δ' ἄκαρπον. τὸ μὲν γὰρ τῆς ἄρρενος ξύλον σκληρὸν καὶ ξανθὸν καὶ ὀζωδέστερον καὶ πυκνότερόν ἐστι ἔτι δ' εὐωδέστερον, τὸ δὲ τῆς θηλείας λευκότερον. καὶ ὁ φλοιὸς τῆς μὲν ἄρρενος παχύτερος καὶ περιαιρεθεὶς ἀκαμπὴς διὰ τὴν σκληρότητα, τῆς δὲ θηλείας λεπτότερος καὶ εὐκαμπὴς ἐξ οὗ τὰς κίστας ποιοῦσιν. καὶ ἡ μὲν ἄκαρπος καὶ ἀνανθής, ἡ δὲ θήλεια καὶ ἄνθος ἔχει καὶ καρπόν· τὸ μὲν ἄνθος καλυκῶδες παρὰ τὸν τοῦ φύλλου

ἀποθνήσκειν] *ἀποθνήισκειν* U.
μηρυκάζοντα] P Edd. post H.; *μηρικάζοντα* Ald.
τὸν δὲ] U Sch.syll.; *καὶ τὸν* Ald. Edd.
3. *ἡ ὄστρ.*] U Sch.syll.; *ὁ ὄ.* Ald. Edd.; om. art. MVP.
ὁμοφυὲς] UP; *ὁμοφυέα* Ald.; *ὁμοφυὴς* e conj. RConst. H. St. Sch.
ὀξύᾳ] Ald. Edd.; *ὀξείαι* U; *ὀξείᾳ* M; *ὀξία* P. Vide Lob. Phryn. p. 301.
τῷ σχήματι] UMV Sch.syll.; *τοῖς σχήμασι* Ald. Edd. o.
μέσης — κατατεινουσῶν] Sch. de conj.; *μέσης πλευροειδῶς· τῶν ἄλλων εὐθεῖ καὶ μεγάλην κατατεινουσῶν* Ald., sed circumflexus supra *εὐθεῖ* valet *εὐθειῶν*, quod cum Camotiana H. expressit; Bas. vero *εὐθεῖ*; P ut Ald., praeterquam quod *πλευροειδῶς καὶ τῶν* praebet. RConst. conj.: *καὶ ἀπὸ τῆς μέσης πλευροειδῶς τῶν ἄλλων εὐθεῖαν καὶ μεγάλην κατατεινουσῶν*. Dalec.: *μέσης πλ. τῶν ἄλλων εὐθὺ κατὰ μεγάλην κατατ.* St. dedit: *μέσης ἰνὸς πλ. -- καὶ τὴν μεγάλην*. Cf. c. 17, 3.
ἐρρυτιδωμένα] cum RConst. H. St. Sch.; *ἐρυτιδωμένα* U Ald.
ἄχροον] *ἢ* add. St. *υ*
ἔνυδρον] corr. Sch.; *εὔδρον* U; *εὔυδρον* Ald. Edd.
οὐκ ἐπιτήδειον] *κεπιτήδειον* U.
οἰκίαν] UMVP2 Sch.syll.; *οἰκείας* Ald.; *οἰκίας* P H. St. Sch.
δυσθανατᾶν] corr. Sch.syll.; *δυσθάνατον* P2 Ald. Edd. o.
φασὶ] H. St. Sch.; *φισὶ* U; *φησι* Ald. MV. — P2: *δυσθάνατον γὰρ καὶ ἀσύντελες οὗ ἐὰν ᾖ.*
οὗ ἂν ᾖ] correxi; *οὗ ἐὰν ᾖ* P2 Ald. Edd. o.; Schn. *ἐαν* sic.
4. *ἡ — ἄρρην*] U Schn.; *ἡ — ἄρρεν* Ald. H.; *ὁ — ἄρρην* St.
τοῦ ξύλου] *τοῦ φύλλου* Vin.
τῷ] U Sch. de conj.; om. Ald. Edd.
τὸ μὲν — τὸ δὲ] U Ald. Edd.; *τὴν μὲν — τὴν δὲ* Schn.; *τὸν μὲν — τὸν δὲ* conj. Sch. in Auct.
τὸ — τῆς] *καὶ τὸ τοῦ* St.
ὀζωδέστερον καὶ πυκνότερόν ἐστιν] sic U, qui *πυκότερον* habet; *ὀζωδεστερόν ἐστι καὶ πυκνοτ.* Ald. Edd.
ἔτι δ' εὐωδέστερον] Haec verba huc transposuit Schn. Scilicet post *κίστας ποιοῦσιν* habent Ald. Edd. *ἔτι δ' εὐωδέστερον τὸ τῆς θηλείας*, quae e Plin. 16, 14 s. 25 corrigi voluit RConst.: *ἔτι δ' εὐωδέστερον τοῦ τῆς θηλείας τὸ ξύλον τῆς ἄρρενος.* Sed e Plinio colligitur ea verba alienum locum occupasse; recte videtur Sch. suspicari verba *ἔτι δ' εὐωδέστερον* a librario loco suo, i. e. post *πυκνότερόν ἐστι*, omissa ac in margine suppleta fuisse, librariumque ut locum indicaret verba sequentia *τὸ τῆς θηλείας* adjecisse.
παχύτερος] Ald. Edd.; *— ύτερον* UMVP.
λεπτότερος] corr. Schn.; *λευκότερος* Ald. Edd.
τοῦ φύλλου] cod. Cas.; corr. RConst. et Palmer. Ex. p. 592. Schn; *τοῦ ξύλου* UMV Ald. H.

μίσχον καὶ παρὰ τὴν εἰς νέωτα κάχρυν ἐφ' ἑτέρου μίσχου, χλοερὸν δὲ ὅταν ᾖ καλυκῶδες, ἐκκαλυπτόμενον δὲ ἐπίξανθον· ἡ δὲ ἄνθησις ἅμα τοῖς ἡμέροις. ὁ δὲ καρπὸς στρογγύλος πρόμακρος ἡλίκος κύαμος ὅμοιος τῷ τοῦ κιττοῦ, γωνίας ἔχων ὁ ἁδρὸς πέντε οἷον ἰνῶν ἐξεχουσῶν καὶ εἰς ὀξὺ συναγομένων· ὁ δὲ μὴ ἁδρὸς ἀδιαρθρότερος· διακνιζόμενος δὲ ὁ ἁδρὸς ἔχει μίκρ' ἄττα καὶ λεπτὰ σπερμάτια ἡλίκα καὶ ὁ τῆς ἀδραφάξυος. τὸ δὲ φύλλον καὶ ὁ φλοιὸς ἡδέα καὶ γλυκέα· τὴν δὲ μορφὴν κιττῶδες τὸ φύλλον, πλὴν ἐκ προσαγωγῆς μᾶλλον ἡ περιφέρεια, κατὰ τὸ πρὸς τῷ μίσχῳ κυρτότατον, ἀλλὰ κατὰ μέσον εἰς ὀξύτερον τὴν συναγωγὴν ἔχον καὶ μακρότερον, ἔπουλον δὲ κύκλῳ καὶ κεχαραγμένον. μήτραν δ' ἔχει τὸ ξύλον μικρὰν καὶ οὐ πολὺ μαλακωτέραν τοῦ ἄλλου· μαλακὸν γὰρ καὶ τὸ ἄλλο ξύλον.

11 H.
10 St. Cap. XI. Τῆς δὲ σφενδάμνου καθάπερ εἴπομεν δύο γένη ποιοῦσιν, οἱ δὲ τρία· ἓν μὲν δὴ τῷ κοινῷ προσαγορεύουσι σφένδαμνον, ἕτερον δὲ ζυγίαν, τρίτον δὲ κλινότροχον ὡς οἱ περὶ Στάγειρα. διαφορὰ δ' ἐστὶ τῆς ζυγίας καὶ τῆς σφενδάμνου ὅτι ἡ μὲν σφένδαμνος λευκὸν ἔχει τὸ ξύλον καὶ εὐινότερον ἡ δὲ ζυγία ξανθὸν καὶ οὖλον· τὸ δὲ φύλλον εὐμέγεθες ἄμφω, τῇ σχίσει ὅμοιον τῷ τῆς πλατάνου τετανὸν λεπτότερον δὲ καὶ ἀσαρκότερον καὶ μαλακώτερον καὶ προμηκέστερον· τὰ δὲ σχήμαθ' ὅλα τ' εἰς ὀξὺ συνήκοντα καὶ οὐχ οὕτω μεσοσχιδῆ ἀλλ' ἀκροσχιδέστερα· οὐ πολύϊνα δὲ ὡς κατὰ μέγεθος. ἔχει δὲ καὶ φλοιὸν μικρῷ τραχύτερον τοῦ τῆς φιλύρας, ὑποπέλιον παχὺν καὶ πυκνότερον ἢ

κάχρυν] *κάχρην* M.
ἐφ' ἑτέρου] Ald. Edd.; *ἀφ' ἑτέρου* UMV; *ἀφ' ἑτέρας* St.; *amentumque futurum pediculo altero annexus* G.
5. *ἁδρὸς*] *ἀδρὸς* bis Ald.
ἀδιαρθρότερος] *ἀδιοριστότερος* St.
διακνιζόμενος] Vox non satis apta. Conjecit nescio quis apud RConst. *διανοιγόμενος*. Possis etiam *διασχιζόμενος* substituere.
ἀδραφάξυος] UMP; *ἀνδραφ*. Ald. Edd.; *ἀδραφ*. V.
τὴν — φύλλον] *ἡ δὲ μορφὴ τοῦ φύλλου κιττώδης*. St. In sequentibus multa tentavit Schn., et tres proposuit in Comm. correctiones. Equidem scripturam librorum leviter mutatam exhibui. Ald.: *φύλλον· πλὴν ἐκ πρωσαγώγης μᾶλλον ἡ περιφέρεια, καὶ τὸ πρὸς τῷ μίσχῳ κυρτότατον· ἀλλὰ κατὰ μέσον καὶ εἰς ὀξύτερον τὴν συναγώγην ἔχον καὶ μακροτέραν.* Codd. nihil variant, nisi *καὶ ἡ πρὸς τ. μ.* UMV. Folium habet figuram folii hederae; nisi quod ambitus circularis sensim fit h. e. quod ambitus sensim sensimque basin vel pedunculum versus in circuli figuram abit; maxime curvatum ea parte qua pedunculo assidet, e media vero in acutiorem et longiorem apicem productum.
ἔπουλον δὲ κύκλῳ καὶ] Ald. Edd.; *ὕπουλον* etc. P; *ἔπουλον δὲ καὶ κύκλῳ κεχ*. Sch.
πολὺ μαλακωτέραν] U Sch.syll. cum RConst. H.; *πολυμακρωτέραν* M; *πολὺ μακροτέραν* Ald. Sch.; *nec multo reliquo molliorem corpore* G.
τὸ ἄλλο ξύλον] *ἄλλως τὸ ξύλον* conj. Dalecamp.

Cap. XI.

προσαγορεύουσι] sic correxi, quoniam in sequentibus libri in accusativis consentiunt. *vocant* G.; *προσαγορεύεται* Ald. Edd. o.; *ἓν μὲν δὴ κοινῶς* St.
σφένδαμνον] UMV Ald. H. St.; *-νος* Sch.
ζυγίαν] UMV; *ζυγία* Ald. Edd. o.
κλινότροχον] Ald. Edd. o.; *κλινόστροχον* U; *lectirotariam* G.; *ἰνότροχον* Salmas. Ex. p. 359 duxit e Plinio, Schn. in h. verbo nomen *γλῖνον* latere sibi persuasit.
τῆς ζυγ.] *τοῦ ζυγ*. Cam.
τὸ δὲ φύλλον] e corr. RConst. St. Schn.; *τὸ δὲ ξύλον* UMV G. Ald. H.
ἄμφω] *ἀμφοῖν* St.
σχήμαθ'] Bas.; *σχίμαθ'* Ald. Cam.; *σχίσμαθ'* RConst. H. St. Sch.; *σχίμασθ'* P; *omnia ejus fissa* G.
πολύϊνα] corr. RConst. H. St. Schn.; *οὐ πολὺ· ἶνα δὲ* Ald.; *οὐ πολὺ. ἵνα δὲ* M1; *οὐ πολὺ. ἶνα δὲ* M2.
τοῦ τῆς φιλ.] Ald. Edd.; *τῶι τῆς φιλ*. U.
παχὺν] corr. Schn.; *παχὺ* Ald. Edd..
πυκνότερον] conj. Scal. et Bod.; recepit Schn.; *spissiori* G.; *πυρώτερον* U Ald.; *πυρότερον* U; *πυρρότερον* H. St.

ὁ τῆς πίτυος καὶ ἀκαμπῆ· ῥίζαι δ' ὀλίγαι καὶ μετέωροι καὶ οὖλαι σχεδὸν αἱ πλεῖσται καὶ αἱ τῆς ξανθῆς καὶ αἱ τῆς λευκῆς. γίνεται δὲ μάλιστα ἐν τοῖς 2. ἐφύδροις ὡς οἱ περὶ τὴν Ἴδην λέγουσι, καί ἐστι σπάνιον. περὶ ἄνθους δὲ οὐκ ᾔδεσαν· τὸν δὲ καρπὸν οὐ λίαν μὲν προμήκη παρόμοιον δὲ τῷ παλιούρῳ πλὴν προμηκέστερον. οἱ δ' ἐν τῷ Ὀλύμπῳ τὴν μὲν ζυγίαν ὄρειον μᾶλλον τὴν δὲ σφένδαμνον καὶ ἐν τοῖς πεδίοις φύεσθαι· εἶναι δὲ τὴν μὲν ἐν τῷ ὄρει φυομένην ξανθὴν καὶ εὔχρουν καὶ οὔλην καὶ στερεὰν ᾗ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων χρῶνται, τὴν δὲ πεδεινὴν λευκήν τε καὶ μανοτέραν καὶ ἧττον οὔλην· καλοῦσι δ' αὐτὴν ἔνιοι γλεῖνον, οὐ σφένδαμνον. . . . . καὶ τῆς ἄρρενος οὐλότερα τὰ ξύλα συνεστραμμένα, καὶ ἐν τῷ πεδίῳ ταύτην φύεσθαι μᾶλλον καὶ βλαστάνειν πρωΐτερον. ἔστι δὲ καὶ μελίας γένη δύο. τούτων δ' ἡ μὲν ὑψηλὴ καὶ εὐμή- 3. κης ἐστὶ τὸ ξύλον ἔχουσα λευκὸν καὶ εὔινον καὶ μαλακώτερον καὶ ἀνοζότερον καὶ ἀνουλότερον· ἡ δὲ ταπεινοτέρα καὶ ἧττον εὐαυξὴς καὶ τραχυτέρα καὶ σκληροτέρα καὶ ξανθοτέρα. τὰ δὲ φύλλα τῷ μὲν σχήματι δαφνοειδῆ, πλατυφύλλου δάφνης, εἰς ὀξύτερον δὲ συνηγμένα, χαραγμὸν δέ τιν' ἔχοντα κύκλῳ καὶ ἐπακανθίζοντα· τὸ δὲ ὅλον, ὅπερ εἴποι τις ἂν φύλλον τῷ ἅμα φυλλορροεῖν, ἀφ' ἑνὸς μίσχου· καὶ περὶ μίαν οἷον ἶνα κατὰ γόνυ καὶ συζυγίαν τὰ φύλλα καθ' ἕκαστον πέφυκε, συχνῶν διεχουσῶν τῶν συζυγιῶν, ὁμοίως καὶ ἐπὶ τῆς οἴης.

ἀκαμπῆ] P, H. Schn. ac verisimiliter U; *εὐκαμπῆ* Ald.; *δυσκαμπῆ* proposuit Scalig.

τῆς ξανθῆς καὶ] mBod. e vers. G. *tam flava quam candida gerit*, et Schn.; *καὶ αἱ ξανθαὶ καὶ αἱ τῆς λ.* Ald. Bas. Cam. M; *καὶ ξάνθαι καὶ αἱ τ. λ.* H. auct. RCconst.; *καὶ ξανθαὶ ὡς αἱ τ. λ* St.

2. *ἐφύδροις*] Schn. maluit *ὑφύδροις*.

περὶ — ᾔδεσαν] Aliter G. *de flore nasci ajunt fructum haud valde oblongum*.

πεδεινὴν] Ald. Edd. o.; *πεδιεινὴν* U; *πεδινὴν* Sch.syll. Vide ad cap. 2, 4.

γλεῖνον] mBas. Schn.; *γλῖνον* Ald. Edd.; *γλίνον* U.

καὶ τῆς ἄρρενος] Haec cum proximis non cohaerent; nusquam enim de acere mare et femina Th. quidquam dixit. Aut si statuamus, ab aliis acer mas et femineum vocata fuisse, quae supra suis nominibus distinxit, hoc loco id ipsum dictum esse debebat, eaque verba intercidisse verisimile est. Posui igitur signum lacunae.

συνεστραμμένα] MVAld.; *καὶ συν.* H. St. Schn. — *τοῦ ἀρρ.* St.

3. *ἀνουλότερον*] dedi de conj. Schneideri; *οὐλότερον* Ald. Edd. o.

ἐπακανθίζοντα] UM Ald. Schn.; *ἐπικανθίζοντα* V; *ac subsidentia* G.; *ἐπικαθίζοντα* e corr. RConst. H. St.; *οὐκ ἐπακανθίζοντα* conj. Dalec. Bod.; *ὑπακανθίζοντα* Palmer. Ex. p. 593. Schneider vulgatam satis defendit. — *καὶ* om. St.

τὸ δὲ ὅλον κ. τ. λ.] Dedi scripturam Urbinatis, modo *ἵνα* in *ἶνα* auctore Schneidero mutato. Sensus: Totum vero, quod licet folium vocare, quia simul decidit, uni insidet pedunculo; atque circa unam tanquam venam articulatim et per paria singula foliola adnata sunt, paribus frequentibus distantibusque. De hoc loco satis probabiliter disputavit Schn. locis ejusdem argumenti cap. 12, 6. 13, 5 et 15, 4 comparatis. Nunc vero cognita Urbinatis scriptura nihil mutandum esse censeo. — *τις ἄφυλλον· τῷ ἅμα φυλλοφορεῖν — οἷον κατὰ γόνυ συζυγίαν. τὰ φύλλα δὲ καθ' ἕκαστον — συχνῶν δ' ἰσχουσῶν τῶν συζυγιῶν* Ald. et P qui *συχνὸν* dat. Quam scripturam sic mutavit H. *τὸν δὲ ὅλον κλῶνα, ὅπερ εἴποι τις, ἄφυλλον.* etc., et St. *τὸν δὲ ὅλον κλῶνα, ὅπερ εἴποι τις, μονόφυλλον, τῷ ἅμα φυλλορρεῖν* etc. Schn.: *τὸ δὲ ὅλον εἴποι τις ἂν φύλλον, τῷ ἅμα φυλλορροεῖν· ἀφ' ἑνὸς γὰρ μίσχου [καὶ περὶ μίαν οἷον] κατὰ γόνυ καὶ συζυγίαν τὰ φύλλα καθ' ἕκαστον πέφυκε, συχνὸν διϊσχουσῶν τῶν συζυγιῶν.* In Syllab. removit uncos, addidit *ἶνα*, correxit *διεχουσῶν*, reliquit vero et *γὰρ* et *συχνὸν* omisitque iterum *ὅπερ*. Equidem *συχνῶν* satis tutum esse video. Denique Gaza: *Ramulus totus quem folium unum putaveris: quum simul cuncta folia ferat: singulari pediculo et singulis foliis conjugatim: veluti per genicula: pendentibus: constat.* — *οὔης* St.

ἔστι δὲ τῶν μὲν βραχέα τὰ γόνατα καὶ αἱ συζυγίαι τὸ πλῆθος ἐλάττους, τῶν δὲ τῆς λευκῆς καὶ μακρὰ καὶ πλείους· καὶ τὰ καθ' ἕκαστον φύλλα μακρότερα καὶ στενότερα τὴν δὲ χρόαν πρασώδη. φλοιὸν δὲ λεῖον ἔχει καπυρὸν δὲ καὶ λεπτὸν
4. καὶ τῇ χρόᾳ πυρρόν. πυκνόρριζον δὲ καὶ παχύρριζον καὶ μετέωρον. καρπὸν δὲ οἱ μὲν περὶ τὴν Ἴδην οὐχ ὑπελάμβανον ἔχειν οὐδ' ἄνθος· ἔχει δ' ἐν λοβῷ λεπτῷ καρπὸν καρυηρὸν ὡς τῶν ἀμυγδαλῶν ὑπόπικρον τῇ γεύσει. φέρει δὲ καὶ ἕτερ' ἄττα οἷον βρύα καθάπερ ἡ δάφνη, πλὴν στρυφνότερα· καὶ ἕκαστον καθ' αὑτὸ σφαιροειδὲς ὥςπερ τὰ τῶν πλατάνων· τούτων δὲ τὰ μὲν περὶ τὸν καρπὸν, τὰ δ' ἀπηρτημένα πολὺ, καὶ τὰ πλεῖστα οὕτω. φύεται δὲ ἡ μὲν λεία περὶ τὰ βαθυάγκη μάλιστα καὶ ἔφυδρα, ἡ δὲ τραχεῖα καὶ περὶ τὰ ξηρὰ καὶ πετρώδη. ἔνιοι δὲ καλοῦσι τὴν μὲν μελίαν τὴν δὲ βουμέλιον, ὥςπερ οἱ περὶ
5. Μακεδονίαν. μεῖζον δὲ καὶ μανότερον ἡ βουμέλιος δι' ὃ καὶ ἧττον οὖλον. φύσει δὲ τὸ μὲν πεδεινὸν καὶ τραχὺ τὸ δ' ὀρεινὸν καὶ λεῖον· ἔστι δὲ ἡ μὲν ἐν τοῖς ὄρεσι φυομένη εὔχρους καὶ λεία καὶ στερεὰ καὶ γλίσχρα ἡ δ' ἐν τῷ πεδίῳ ἄχρους καὶ μανὴ καὶ τραχεῖα. τὸ δ' ὅλον ὡς εἰπεῖν τὰ δένδρα ὅσα καὶ ἐν τῷ πεδίῳ καὶ ἐν τῷ ὄρει φύεται, τὰ μὲν ὀρεινὰ εὔχροά τε καὶ στερεὰ καὶ λεῖα γί-

βραχέα] corr. Scal. e vers. G., St. Schn.; *τραχέα* Ald. H. U; *τραχεῖα* P.

μακρὰ] mBod. Schn.; *μακραὶ* U; *μακραὶ* Ald. H. St.; *μακρὰς* M. — *τῶν δὲ τῆς λείας* St.

πλείους] *πλείω* mBod. male.

στενότερα] U Sch.syll. sed errore *στενότερον* scriptum; *στενώτερα* Ald. Edd. o.

πρασώδη] *ποώδη* conj. Herm. Barb. et Ruell.

καπυρὸν] U Sch.syll.; *καὶ πυρὸν* Ald.; *καὶ πυκνὸν* mBas. St. Sch. Vo.

πυρρόν] UMmBas. St. Sch.; *πυρόν* Ald. H.

καὶ μετέωρον] Schn. cum Bod. *καὶ [οὐ] μετέωρον* scripsit, cum antea 6, 5 *μελίαν βαθύρριζον* esse dictum sit. At primum isto loco referuntur dicta accolarum montis Idae, quae opinionibus aliorum saepe contraria sunt; dein locus ille vitiis non carere et impeditus esse videtur. Fortasse ibi quoque *παχύρριζα* pro *βαθύρριζα* legendum. Hinc mutare non ausus sum.

4. *λοβῷ λεπτῷ καρπὸν*] U Sch.syll.; *λοβῷ καρπὸν λεπτὸν* Ald. Edd. o.

ἔχει] *ἔχειν* U, *ν* in ras.

βρύα] Interpretes referunt haec ad intumescentias insectorum punctura ortas.

στρυφνότερα] Dalec. voluit *στυφνότερα* vel *στιφρότερα* scribi. Cf. ad 5, 2, 11.

αὐτὸ] *αὐτὸν* U sed *ν* in ras.

πλεῖστα] corr. RConst. H. St. Schn.; *πλεκτὰ* UMV Ald. Vide ad 1, 6, 9.

λεία] P, Sch.; *λεῖα* Ald.

βαθυάγκη] Schn.syll.; *βαθυάγη* U; *βαθὺ* MV; *βαθύσκια* Ald. H. St.; *βαθέα* Schn. cont.; *βαθύκοιλα* conj. Dalecamp.; *locis concavis* G.

ἔφυδρα] Ald. Edd.; *ὕφυδρα* Schn.: *madidis* G.

τὴν δὲ βουμέλιον] om. H.; *τ. δὲ βουμελίαν* UMV Ald. Edd. o.; *τὴν μὲν βουμελίαν τὴν δὲ μελίαν* St.

οἱ π.] *ἡ π.* M.

μεῖζον δὲ καὶ μανότερον] dedi partim de conjectura; *μεῖζον δὲ καὶ μανοτέρα* MV; *μανοτέρα* sed post *α* extremum rasura U, unde olim *μανότερον* fuisse conjicio; *μείζων δὲ καὶ μακροτέρα* Ald. H. St.; *μείζων δὲ καὶ μανοτέρα* Schn.; *major et rarior corpore* G.

βουμέλιος] UMV; *βουμελία* Ald. Edd. o. Vide ad 4, 8, 2.

οὖλον] Schn. suspicatur *ξύλον* excidisse. Noli credere.

5. *καὶ τραχὺ τὸ δ' ὀρεινὸν καὶ λεῖον*] Sic haec correxit Schn. transpositis verbis *τραχὺ* et *λεῖον*, quo haec cum sequentibus coeant; *καὶ λεῖον τὸ δ' ὀρεινὸν καὶ τραχὺ* Ald. Edd. — *πεδινὸν* M Sch.; *πεδεινὸν* Ald. Edd.; *πεδιεινὸν*, *ει* in rasura U. Cf. ad cap. 2, 4.

εὔχρους] U H. St.; *εὔχρως* M Ald. Schn. — Hoc loco *τραχεῖα* et *λεῖα* transponere jubet Bod.

καὶ στερεὰ] om. G.

καὶ λεῖα] correxit Moldenh. p. 125 not. m., Sch.; *καὶ λευκὰ* Ald. Edd.; *candidaeque* G.

ὀξύη πτελέα] mB. St. Sch.; *ὀξύῃ πτελέα* U; *ὀξὺ πτελέα* M; *ὀξυπτελέα* Ald. H.; *scissima ulmus* G.

νεται, καθάπερ ὀξύη πτελέα τὰ ἄλλα· τὰ δὲ πεδεινὰ μανότερα καὶ ἀχρούστερα καὶ χείρω, πλὴν ἀπίου καὶ μηλέας καὶ ἀχράδος ὡς οἱ περὶ τὸν Ὄλυμπόν φασι· ταῦτα δ' ἐν τῷ πεδίῳ κρείττω καὶ τῷ καρπῷ καὶ τοῖς ξύλοις· ἐν μὲν γὰρ τῷ ὄρει τραχεῖς καὶ ἀκανθώδεις καὶ ὀζώδεις εἰσὶν ἐν δὲ τῷ πεδίῳ λειότεροι καὶ μείζους καὶ τὸν καρπὸν ἔχουσι γλυκύτερον καὶ σαρκωδέστερον· μεγέθει δὲ αἰεὶ μείζω τὰ πεδεινά.

Cap. XII. Κρανείας δὲ τὸ μὲν ἄρρεν τὸ δὲ θῆλυ, ἣν δὴ καὶ θηλυκρανείαν 12 H
καλοῦσιν. ἔχουσι δὲ φύλλον μὲν ἀμυγδαλῇ ὅμοιον πλὴν λιπωδέστερον καὶ πα- 11 St.
χύτερον φλοιὸν δ' ἰνώδη λεπτόν· τὸ δὲ στέλεχος οὐ παχὺ λίαν ἀλλὰ παραφύει ῥάβδους ὥσπερ ἄγνος· ἐλάττους δὲ ἡ θηλυκρανεία καὶ θαμνωδέστερόν ἐστιν. τοὺς δὲ ὄζους ὁμοίως ἔχουσιν ἄμφω τῇ ἄγνῳ καὶ κατὰ δύο καὶ κατ' ἀλλήλους· τὸ δὲ ξύλον τὸ μὲν τῆς κρανείας ἀκάρδιον καὶ στερεὸν ὅλον, ὅμοιον κέρατι τὴν πυκνότητα καὶ τὴν ἰσχύν, τὸ δὲ τῆς θηλυκρανείας ἐντεριώνην ἔχον καὶ μαλα-
κώτερον καὶ κοιλαινόμενον δι' ὃ καὶ ἀχρεῖον εἰς τὰ ἀκόντια. τὸ δ' ὕψος τοῦ 2.
ἄρρενος δώδεκα μάλιστα πηχέων ἡλίκη τῶν σαρισσῶν ἡ μεγίστη· τὸ γὰρ ὅλον στέλεχος ὕψος οὐκ ἴσχει. φασὶ δ' οἱ μὲν ἐν τῇ Ἴδῃ τῇ τρῳάδι τὸ μὲν ἄρρεν ἄκαρπον εἶναι τὸ δὲ θῆλυ κάρπιμον. πυρῆνα δ' ὁ καρπὸς ἔχει παραπλήσιον ἐλάᾳ καὶ ἐσθιόμενος γλυκὺς καὶ εὐώδης· ἄνθος δὲ ὅμοιον τῷ τῆς ἐλάας, καὶ ἀπανθεῖ δὲ καὶ καρποφορεῖ τὸν αὐτὸν τρόπον τῷ ἐξ ἑνὸς μίσχου πλείους ἔχειν, σχεδὸν δὲ καὶ τοῖς χρόνοις παραπλησίως. οἱ δ' ἐν Μακεδονίᾳ καρποφορεῖν μὲν ἄμφω φασὶν τὸν δὲ τῆς θηλείας ἄβρωτον εἶναι· τὰς ῥίζας δ' ὁμοίας ἔχει

τὰ ἄλλα] UM; *καὶ τἄλλα* Ald. H. St.; *καὶ τἄλλα* Schn.; *reliquaeque* G.
πεδεινὰ] Ald. Edd; *πεδεινά*, alterum ε in ras. U; *πεδινὰ* M Sch.
μηλέας] corr. Scal. RConst. Palmer. Ex. p. 593 (qui vero *μελέας*). Sch.; *μελέας* St.; *μελίας* UMV Ald. H.
καὶ ἀχράδος] om. G.
πεδεινά] Ald. Edd. o.; *πεδινά*, post ι ras., U.

Cap. XII.

κρανείας] *κρανείας* cum ϊ superscr. U; *περὶ κρανίας* mU.
θηλυκρανείαν] Ald. Edd.; *θηλυκράνειαν* U Sch.
ἀμυγδαλῇ] Sch.; —*δάλῃ* Ald. Edd. Vitium subesse post RConst. monuit Schn. Folia enim corni haud similia amygdalinis. *μηλέᾳ* Dalec., *κλήθρᾳ* CHoffm. substituit.
λιπωδέστερον] *λιπωδεέστερον* M.
παχύτερον] *πλατύτερον* e conj. Bodaei St.
ἰνώδη λεπτὸν] UMV Ald.; *ἰν. καὶ λ.* H. St. Schn.
ὥσπερ] U Sch. syll.; *ὡς* Ald. Edd.;
ἐλάττους δὲ ἡ θηλ.] St. Schn.; *ἐλάττους· ἡ δὲ θηλ.* U; *ἐλάττους ἡ θηλ.* Ald. H.
ὁμοίως] U Schn. in syll.; *ὁμοίους* Ald. Edd. o.; *perinde ac amerina* G.
θηλυκρανεία] *θηλυκρανεία* cum ϊ superscr. U.
τὸ δὲ ξύλον] *τῶν δὲ ξύλων* U.
κρανείας] *κρανεΐας* cum ι superscr. U.
θηλυκρανείας] *θηλυκρανεΐας* cum ι superscr. U.
ἐντεριώνην] *ἐντεριόνην*, post ο ras. U.
καὶ κοιλ.] *ἢ καὶ κοιλ.* St.
2. *σαρισσῶν*] Edd. post H.; *σαρισῶν* UMV Ald.
τὸ γὰρ ὅλον — ἴσχει] Post *στέλεχος* inseruit *μεῖζον* St. auct. RConst.; *ὅλον* mutavit in *τῆς θηλείας* Dal. Vitium subesse vix dubium; nescio an *γὰρ* in *δὲ* mutato tollatur.
ἐλάᾳ] *ἐλαίας* St.; *ἐλαίᾳ* Ald. H. Sch.
καὶ ἀπανθεῖ — παραπλησίως] Difficultates, quibus haec verba premuntur, exposuit Schn. Si haec non ad comparationem cum *olea* pertinent, v. *ἄμφω* est interserenda. —*καρποφορεῖν* Cam.
ὁμοίας] tacite correxerat Schn.; in Syll. restituit *ὁμοίως*, quod Ald. Edd. habent; *ὁμοίας* sed ᾳ in corr. U.
ταῖς ἀγ.] corr. Sch.; *τοῖς ἀγ.* Ald. Edd. et U sed correctum.
ἔχει] U Sch. syll.; *ἔχειν* Ald. Edd. o.

ταῖς ἄγνοις ἰσχυρὰς καὶ ἀνωλέθρους. γίνεται δὲ καὶ περὶ τὰ ἔφυδρα καὶ οὐκ
3. ἐν τοῖς ξηροῖς μόνον· φύεται δὲ καὶ ἀπὸ σπέρματος καὶ ἀπὸ παρασπάδος. κέ-
δρον δὲ οἱ μέν φασιν εἶναι διττήν, τὴν μὲν λυκίαν τὴν δὲ φοινικῆν, οἱ δὲ μονο-
ειδῆ καθάπερ οἱ ἐν τῇ Ἴδῃ. παρόμοιον δὲ τῇ ἀρκεύθῳ, διαφέρει δὲ μάλιστα
τῷ φύλλῳ· τὸ μὲν γὰρ τῆς κέδρου σκληρὸν καὶ ὀξὺ καὶ ἀκανθῶδες τὸ δὲ τῆς
ἀρκεύθου μαλακώτερον· δοκεῖ δὲ καὶ ὑψηλοφυέστερον εἶναι ἡ ἄρκευθος· οὐ
μὴν ἀλλ' ἔνιοί γε οὐ διαιροῦσι τοῖς ὀνόμασιν ἀλλ' ἄμφω καλοῦσι κέδρους, πλὴν
παρασημασίᾳ κέδρου ὀξύκεδρου· ὀζώδη δ' ἄμφω καὶ πολυμάσχαλα καὶ ἐπε-
στραμμένα ἔχοντα τὰ ξύλα· μᾶλλον δ' ἡ μὲν ἄρκευθος ἔχει μικρὰν καὶ πυκνὴν
καὶ ὅταν κοπῇ ταχὺ σηπομένην· ἡ δὲ κέδρος τὸ πλεῖστον ἐγκάρδιον καὶ ἀσα-
πές, ἐρυθροκάρδια δ' ἄμφω· καὶ ἡ μὲν τῆς κέδρου εὐώδης ἡ δὲ τῆς ἑτέρας οὔ.
4. καρπὸς δ' ὁ μὲν τῆς κέδρου ξανθὸς μύρτου μέγεθος ἔχων εὐώδης ἡδὺς ἐσθίε-
σθαι. ὁ δὲ τῆς ἀρκεύθου τὰ μὲν ἄλλα ὅμοιος μέλας δὲ καὶ στρυφνὸς καὶ ὥς-
περ ἄβρωτος· διαμένει δ' εἰς ἐνιαυτόν, εἶθ' ὅταν ἄλλος ἐπιφυῇ ὁ περυσινὸς
ἀποπίπτει. ὡς δὲ οἱ ἐν Ἀρκαδίᾳ λέγουσι τρεῖς ἅμα καρποὺς ἴσχει, τόν τε πε-
ρυσινὸν οὔπω πέπονα καὶ τὸν προπερύσινον ἤδη πέπονα καὶ ἐδώδιμον καὶ τρί-
τον τὸν νέον ὑποφαίνει. ἔφη δὲ Σάτυρος καὶ κομίσαι τοὺς ὀρεοτύπους αὐτῷ
ἀνανθεῖς ἄμφω. τὸν δὲ φλοιὸν ὅμοιον ἔχει κυπαρίττῳ τραχύτερον δέ· ῥίζας

ἔφυδρα] U Sch.syll.; *ἔνυδρα* Ald. Edd. o.

μόνον] e conj. RConst. apposui cum Schn., petitum e vers. Gazae. — *οὐκ* om. H. St.

καὶ ἀπὸ σπ.] U; *καὶ* om. ceteri.

3. *κέδρον*] *κάδρον*, *ι* in rasura U.

φοινικῆν] Edd. post K.; *φοινίκην* UM; *φοινικήν* Ald. Videtur *φοινικικὴν* scribendum esse. Vide ad 9, 2, 3.

μαλακώτερον] Ald. Edd.; *μαλακοίτερον*, in rasura *ω* apparet U; *μακρότερον* conj. Sch.

ἡ ἄρκ.] Ald. H. St. Sch.syll.; *ἢ ἀρκ.* e corr. RConst. Schn.cont. Spreng. adnotavit a Theophrasto diversas arbores confusas esse, quod in plantis adeo similibus facile fieri potuit.

παρασημασίᾳ κέδρου] dedi de conj.; *παρασήμως κέδρον* Ald. Edd. o.; *παρασήμως τὴν κέδρον* U; *π. τόν κ.* M; *παρασιμως τὸν κ.* V. Equidem hoc loco, quem unum testimonium vocis *παρασήμως* Lexica afferunt, haud utar ad eam tuendam. Imo articulus qui in codicibus sequitur sed parum commodus est indicat aliam vocem hic fuisse. Quam ego posui *παρασημασίᾳ*, i. e. *adjectione notae*, si non vera at verae proxima est.

ἐπεστραμμένα] Ald. Edd.; *ἀπεστραμμένα* U.

μᾶλλον — σηπομένην] UMV Ald.; *ἄνθος* pro *ἄρκευθος* V; *vel potius junipero parva spissaque materies, brevique putrescens, cum cesa fuerit* G. Omnes ab editoribus et interpretibus allatae correctiones frustraneae. RConst.: *ξύλα, μᾶλλον δ' ἡ μὲν ἄρκευθος· ἔχει μήτραν καὶ μὴ πυκνήν.* Dalec. in H. pl. p. 38 *ἀρκ. ἣ ἔχει μήτραν καὶ πυκνήν.*, in annot. ad h. l. *ἀρκ. ὕλην ἔχει μικρὰν καὶ μὴ πυκνήν.* Heins.: *ἄρκευθος· ἔχει δὲ μήτραν καὶ πυκνήν.* St.: *ἄρκευθος ἔχει τὴν μήτραν καὶ πυκνήν.* Schn.cont. posuit scripturam Aldinae, in Syll. *ἔχει [μήτραν] μικρὰν καὶ π.* correxit. Denique Spr. in marg. exempl. sui edit. Schn. *ἔχει μήτραν πυκνὴν καὶ ὅταν κοπῇ οὐ ταχὺ σηπομένην*, quae vertit etiam. Vitia hujus loci in propatulo sunt. Nescio an longe a vero absit haec emendatio: *μήτραν δ' ἡ μὲν ἄρκευθος ἔχει μικρὰν καὶ μαλακὴν.*

ἐρυθροκάρδια — οὔ] omisit Gaza, item *ξανθὸς — ἔχων.*

κάτωθεν] Ante h. v. punctum posui, ut haec non ad *ξύλον* referas, sed *τὸ δένδρον* subaudias. Nihil mihi turbatum disjectumve in hoc loco esse videtur, ut Schneider censebat.

τῆς φιλύρας καὶ μαλακὸν καὶ πλατὺ καὶ τὸ μέγεθος παραπλήσιον· ἄνθος μεσπιλῶδες καὶ ἀνθεῖ ἅμα τῇ μεσπίλῃ. ὁ δὲ καρπὸς ὃν καλοῦσι σῦκον ἐρυθρὸς ἡλίκος ἐλάας πλὴν στρογγυλώτερος, ἐσθιόμενος δὲ μεσπιλώδης· ῥίζας δὲ ἔχει παχείας ὡςὰν συκῆς ἡμέρου καὶ γλίσχρας. ἀσαπὲς δέ ἐστι τὸ δένδρον καὶ καρδίαν ἔχει στερεὰν οὐκ ἐντεριώνην. ἡ δὲ ἄμπελος φύεται μὲν τῆς Ἴδης 6.
περὶ τὰς Φαλάκρας καλουμένας· ἔστι δὲ θαμνῶδες ῥαβδίοις μικροῖς· τείνονται δὲ οἱ κλῶνες ὡς πυγωνιαῖοι πρὸς οἷς ῥᾶγές εἰσιν ἐκ πλαγίου μέλαιναι τὸ μέγεθος ἡλίκος κύαμος γλυκεῖαι· ἔχουσι δὲ ἐντὸς γιγαρτῶδές τι μαλακόν· φύλλον στρογγύλον ἀσχιδὲς μικρόν.

Cap. XVIII. Ἔχει δὲ καὶ τἆλλα σχεδὸν ὄρη φύσεις τινὰς ἰδίας τὰ μὲν δένδρων τὰ δὲ θάμνων τὰ δ' ἄλλων ὑλημάτων. ἀλλὰ γὰρ περὶ μὲν τῆς ἰδιότητος εἴρηται πλεονάκις ὅτι γίνεται καθ' ἑκάστους τόπους. ἡ δὲ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν ἡ διαφορὰ καθάπερ ἡ τῶν δένδρων καὶ τῶν θάμνων ὁμοίως ἐστὶ καὶ τῶν ἄλλων ὥςπερ εἴρηται τῶν πλείστων, ὥςπερ καὶ ῥάμνου καὶ παλιούρου καὶ οἴσου καὶ ῥοῦ καὶ κιττοῦ καὶ βάτου καὶ ἑτέρων πολλῶν. ῥάμνος τε 2.
γάρ ἐστιν ἡ μὲν μέλαινα ἡ δὲ λευκὴ καὶ ὁ καρπὸς διάφορος, ἀκανθοφόροι δὲ ἄμφω. τοῦ τε οἴσου τὸ μὲν λευκὸν τὸ δὲ μέλαν· καὶ τὸ ἄνθος ἑκατέρου καὶ ὁ καρπὸς κατὰ λόγον ὁ μὲν λευκὸς ὁ δὲ μέλας· ἔνιοι δὲ καὶ ὥςπερ ἀνὰ μέσον, ὧν καὶ τὸ ἄνθος ἐπιπορφυρίζει καὶ οὔτε οἰνωπὸν οὔτε ἔκλευκόν ἐστιν ὥςπερ

ἄνθος] UMV; *ὡς ἄνθος* Ald. H.; *τοῦ ἄνθος* St.; *τὸ ἄνθος* Schn.; *ἄνθος δὲ* conj. Dalecamp.

ἐλάας] *κρανείας* St.; *ἐλαίας* Ald. H. Sch.

στρογγυλώτερος] — *υλώτερος* (o superscr.) U.

τὸ δένδρον] *τὸ ξύλον* scribendum esse censet Sch., cum non conveniat, hoc loco *δένδρον* vocari quod supra *θαμνῶδες* audierit. Noli credere; non enim *θάμνον* sed *θαμνῶδες* vocavit; arbores vero *θαμνώδεις* et esse et fieri saepe animadvertitur in his libris.

ἐντεριώνην] *ἐντεριόνην* in corr. U.

6. *ἄμπελος*] *ἰδαία* addidit St.

Φαλάκρας] *Φυλάκρας* U. — *περὶ δὲ τὰς* M Ald.; *δὲ* om. Edd. p. Heins.

θαμνῶδες] *θαμνώδης* St.

ἐντὸς] *αὐτὸς* M. — Dein post *φύλλον* inseruit *δ' ἐστὶ* St.

Cap. XVIII.

τἆλλα] *τἄλλα* Ald. H.; *τ' ἄλλα* St.

πλεονάκις] Sch. syll.; *πλεονιάκις* U; *πολλάκις* Ald. Edd. o.

ἡ δὲ ἐν — ὁμοίως] UMV Ald. Dein *ἕστηκε*, quod est in MV Ald., mutavi cum RConst. et Edd. in *ἐστὶ καί*. *καθάπερ ἐστὶ καὶ τῶν δένδρων κ. τ. θάμνων, ὁμοίως ἐστὶ, καὶ τ. ἄ.* etc. Heins.; *καθάπερ ἐπὶ τῶν δ. — ὁμοίως ἐστὶ καὶ ἐπὶ τῶν ἄλλων* St.; *ἡ δ' ἐν αὐτοῖς τοῖς ὁμογενέσι διαφορὰ καθάπερ ἐπὶ τῶν δένδρων ὁμοίως ἐστὶ καὶ ἐπὶ τῶν θάμνων καὶ τῶν ἄλλων* Schn. Sensus: *Quod vero inter ipsas congeneres obtinet discrimen, sicuti id est in arboribus, pari modo est etiam in fruticibus atque ceteris plerisque.*

καὶ οἴσου] *καὶ ἴσου* Ald.; *καὶ ἴσου καὶ οἴτου* MVP; *καὶ οἴσου καὶ οἴτου* U Sch.; *aequo et oëto* G.; *καὶ ἴζου* H.; *καὶ οἴσου* St. ,,Mentionem *οἴτου* e cod. fide adjeci, quanquam vocem e varietate scripturae prioris ortam putem" Schn. Quod cum vix dubitari possit, cum infra de solo *oeso* sermo sit, alterum *οἴτου* omisi.

2. *γάρ ἐστιν ἡ μὲν*] UMVP Schn.; *γάρ ἡ μέν ἐστι* Ald. Edd.

ἀκανθοφόροι] corr. Schn.; *ἀκανθοφορεῖ* U; *ἀκανθοφόρει* MV; *ἀκάνθηφορεῖ* Ald. Edd.

τοῦ τε οἴσου] cum RConst. St. Sch.; *τοῦ τε ἴσου* Ald. H.; *το* cum *ῦ* superscr. *οἴσου* U.

ἔνιοι δὲ καὶ] UMV Schn. omisso *καὶ*; *ἐνίων δὲ καὶ* Ald. Edd.; *nonnulli* G.

ὧν καὶ τὸ ἄνθος] UMV Sch.; *ὂν τὸ ἄνθος* Ald. Edd.

τῶν ἑτέρων. ἔχει δὲ καὶ τὰ φύλλα λεπτότερα καὶ λειότερα καὶ τὰς ῥάβδους
3. τὸ λευκόν. ὅ τε παλίουρος ἔχει διαφοράς. ἅπαντα δὲ ταῦτα καρποφόρα. καὶ
ὅ γε παλίουρος ἐν λοβῷ τινι τὸν καρπὸν ἔχει καθάπερ τὸ φύλλον, ἐν ᾧ τρία ἢ
τέτταρα γίνεται. χρῶνται δ' αὐτῷ πρὸς τὰς βῆχας οἱ ἰατροὶ κόπτοντες· ἔχει
γάρ τινα γλισχρότητα καὶ λίπος ὥςπερ τὸ τοῦ λίνου σπέρμα. φύεται δὲ καὶ ἐπὶ
τοῖς ἐφύδροις καὶ ἐν τοῖς ξηροῖς ὥςπερ ὁ βάτος. [οὐχ ἧττον δέ ἐστι τὸ δέν-
4. 18H. δρον πάρυδρον.] φυλλοβόλον δὲ καὶ οὐχ ὥςπερ ἡ ῥάμνος ἀείφυλλον. ἔτι δὲ καὶ
τοῦ βάτου πλείω γένη, μεγίστην δὲ ἔχοντες διαφορὰν ὅτι ὁ μὲν ὀρθοφυὴς καὶ
ὕψος ἔχων ὁ δ' ἐπὶ τῆς γῆς καὶ εὐθὺς κάτω νεύων καὶ ὅταν συνάπτῃ τῇ γῇ
ῥιζούμενος πάλιν, ὃν δὴ καλοῦσί τινες χαμαίβατον. τὸ δὲ κυνόςβατον τὸν
καρπὸν ὑπέρυθρον ἔχει καὶ παραπλήσιον τῷ τῆς ῥόας· ἔστι δὲ θάμνου καὶ δέν-
5. δρου μεταξὺ καὶ παρόμοιον ταῖς ῥόαις, τὸ δὲ φύλλον ἀγνῶδες. τῆς δὲ ῥοῦ τὸ μὲν
ἄρρεν τὸ δὲ θῆλυ καλοῦσι τῷ τὸ μὲν ἄκαρπον εἶναι τὸ δὲ κάρπιμον. οὐκ ἔχει
δὲ οὐδὲ τὰς ῥάβδους ὑψηλὰς οὐδὲ παχείας, φύλλον δ' ὅμοιον πτελέᾳ πλὴν μι-

τῶν ἑτέρων] U Sch. syll.; *τινῶν* Ald. Edd.; *τῶν ἄλλων* V Schn., *τῶν* . . . M2; M uterque verba *ὥςπερ τῶν* ex emendatione habet.

τὰς ῥάβδους] *τοὺς ῥ.* V; *ὡς καὶ τὰς ῥ.* St.; *ut virgae similiter graciles et laeves* G.

ὅ τε παλ.] Ald. Edd.; *οὔτε π.* MV. – Post *διαφορὰς* posuit Schn. signum lacunae, ubi differentias paliuri expositas fuisse statuit.

3. *καθάπερ τὸ φύλλον*] UMV Ald.; *τὸ* seclusit Schn.; *καὶ ὑπὲρ τῶν φύλλων* H.; *καρποφόρα· καὶ γὰρ ἐν λοβῷ τινι τὸν καρπὸν ἔχει ὑπὸ τῶν φύλλων* St. Mihi haud dubium, quin Theophrastus h. l. marginem foliaceum drupam Paliuri ambeuntem indicaverit; sed veram scripturam conjectura assequi vix continget. *τῷ φύλλῳ* conj. Dalecamp.; fortasse *καθαπερεὶ φύλλῳ* scribendum est.

γίνεται] *σπέρματα* add. St., quod aut excidit aut in *γίνεται* abiit.

αὐτῷ] *αὐτῶι* UMV; *αὐτοῖς* St.

τὰς βῆχας] UMVP Sch. syll.; *τοὺς β.* Ald. Edd. o. Alio ordine legisse videtur auctor Exc. Par2, neque eo inepto: — *βῆχας· ἔχει γάρ τινα γλισχρότητα· κόπτοντες ὥςπερ καὶ τὸ τοῦ λίνου σπέρμα.*

οὐχ — πάρυδρον.] Haec nullo modo cum praegressis cohaerent; *οὐχ ἧττον* enim aptam conjunctionem non habet; dein in verbo *πάρυδρον* idem repetitur quod modo dictum est; tum male Paliurus, quem modo inter *θάμνους* retulerat, nunc *δένδρον* vocatur. Huic igitur loco pertinere nequeunt, fortasse scholii vel glossae sunt reliquiae; quare ut spuria seclusi. — *τὸ δένδρον* om. G.

4 *ἔτι*] *ἔστι* St. — Dein *μένη* Cam.

ἔχοντες] Ald. Edd., quod Schn. in *ἔχουσι* mutavit. Equidem, si subaudias *οἱ βάτοι,* quo ducit *ὁ μὲν ὁ δὲ,* ferri posse hanc structuram censeo.

νεύων] UMVP Ald. Schn.; *νενευκὼς* H. St.

χαμαίβατον] Sch.; *χαμαιβάτον* Ald. P2.

τῆς ῥόας] Ald. U, ac ut videtur etiam MV, H. St. Etiam Athenae., qui hunc locum 2, 20 excerpsit, *παραπλήσιον τῇ ῥοιᾷ* habet. Auctoribus tamen Dalec. Hist. pl. p. 122, Saraceno ad Dioscorid. 1, 123 et Casaubono Schneid. scripserat *τῆς ῥοδῆς,* quae mutatio ducta erat e Plinio 16, 37, probari tamen propterea nequit quod minime certum est, quam plantam Theophrastus *κυνόςβατον* vocaverit. In Syllabo vero Schneid. veterem scripturam restituit. — *τῆς ῥοιᾶς καρπῷ* St.

θάμνου καὶ δένδρου] UMV Sch. syll.; *δένδρου καὶ θάμνου* Ald. Edd. o.

ῥόαις] Ald. Edd.; *ῥοαῖς* U; *ῥοδαῖς* ded. Schn., sed in Syll. *ῥόαις* restituit. Schol. ad Theocr. 5, 92 haec habet: *φυτάριον δὲ ὁ κυνόςβατός ἐστιν, ὅμοιον ῥόδῳ ἔχων τὸν καρπόν· ἔστι δὲ μεταξὺ θάμνου καὶ δένδρων, παρόμοιον ταῖς ῥοιαῖς ἢ ταῖς ῥοδέαις, ἀκανθῶδες, ὥς φησι Θεόφραστος.* Cujus quidem auctoritate quidquam mutare vix ausim.

ἀγνῶδες] U Ald. Sch. syll. et Athenae. l. l. cujus vero Edd. Ven. et Bas. *ἀγλῶδες* habent, quod dedit St.; *ἰχνῶδες* conj. cum Casaub. Dalec. et RConst. e Plinio 24, 14 s. 74, quem acri censura reprehendit Spr. ad Dioscor. 1, 123; *ἀκανθῶδες* Schn. de conj. Saraceni, quae Scholio Theocriteo supra allato nititur.

5. *οὐδὲ τὰς ῥάβδους*] Ald. H. Sch.; *οὐδέτερον τὰς ῥ.* St. Vitium hic sedere vidit Schn.

κρὸν προμηκέστερον καὶ ἐπίδασυ. τῶν δὲ κλωνίων τῶν νέων ἐξ ἴσου τὰ φύλλα
εἰς δύο, κατ' ἄλληλα δὲ ἐκ τῶν πλαγίων ὥστε στοιχεῖν. βάπτουσι δὲ τούτῳ
καὶ οἱ σκυτοδέψαι τὰ δέρματα τὰ λευκά. ἄνθος λευκὸν βοτρυῶδες, τῷ σχή-
ματι δὲ τὸ ὁλοσχερὲς ὄστλιγγας ἔχον ὥσπερ καὶ ὁ βότρυς· ἀπανθήσαντος δὲ ὁ
καρπὸς ἅμα τῇ σταφύλῃ ἐρυθραίνεται καὶ γίνονται οἷον φακοὶ λεπτοὶ συγκεί-
μενοι· βοτρυῶδες δὲ τὸ σχῆμα καὶ τούτων. ἔχει δὲ τὸ φαρμακῶδες τοῦτο ὁ
καλεῖται ῥοῦς ἐν αὐτῷ ὀστῶδες ὃ καὶ τῆς ῥοῦ διηττημένης ἔχει πολλάκις· ῥίζα
δ' ἐπιπόλαιος καὶ μονοφυὴς ὥστε ἀνακάμπτεσθαι ῥαδίως ὁλόρριζα· τὸ δὲ ξύλον
ἐντεριώνην ἔχει, εὔφθαρτον δὲ καὶ κοπτόμενον. ἐν πᾶσι δὲ γίγνεται τοῖς τό-
ποις, εὐθενεῖ δὲ μάλιστα ἐν τοῖς ἀργιλώδεσι. πολυειδὴς δὲ ὁ κιττός· καὶ γὰρ 6. 17 St.
ἐπίγειος, ὁ δὲ εἰς ὕψος αἰρόμενος· καὶ τῶν ἐν ὕψει πλείω γένη· τρία δ' οὖν
φαίνεται τὰ μέγιστα ὅ τε λευκὸς καὶ ὁ μέλας καὶ τρίτον ἡ ἕλιξ. εἴδη δὲ καὶ
ἑκάστου τούτων πλείω. λευκὸς γὰρ ὁ μὲν τῷ καρπῷ μόνον ὁ δὲ καὶ τοῖς φύλ-
λοις ἐστί. πάλιν δὲ τῶν λευκοκάρπων μόνον ὁ μὲν ἁδρὸν καὶ πυκνὸν καὶ συν-
εστηκότα τὸν καρπὸν ἔχει καθαπερεὶ σφαῖραν ὃν δὴ καλοῦσί τινες κορυμβίαν,

μικρὸν προμηκέστερον] *μ. καὶ προμ.* Ald. Edd. Schn. *καὶ* seclusit, ego omisi; *nisi quod parum oblongius* G.

κατ' ἄλληλα] e corr. RConst. Edd. post Heins.; *κατὰ δῆλα* U, *κατάδηλα* M Ald.

τούτῳ] *τούτοις* St. auctore RConst.; *his* G.

τὰ δέρματα τὰ λευκὰ] V Sch.; *τὰ λευκὰ δέρ.* Ald. Edd. — *ἄνθος δὲ* St.

σχήματι δὲ τὸ ὁλοσχερὲς] UMVP Ald.; *δὲ* om. Cam. H.; *σχήματι καὶ* ceteris omissis St.; *σχήματι· τὸ δὲ ὁλοσχ.* Schn. Nihil mutavi, cum res ipsa valde dubia et a nemine interpretum satis explicata sit. *Das ganze bildet eine kammförmige Locke wie die Weintraube* Spr. Verba *τῷ σχημ. — βότρυς* om. G.

ὄστλιγγας] e conj. Scaligeri H. St. Schn.; *ὑστλίγγας* U; *ὄστυγγας* Ald.; *βοτρυῶδες τῷ σχήματι δ' ὁλοσχερὲς, ὄστλιγγας* conj. H. Steph in Thesaur. V.

λεπτοὶ] *λεπτὸν* H.

βοτρυῶδες] correxi.; *βοτρυδὸν* Ald. Edd.; *βοτρυηδὸν* U.

ὀστῶδες] *τι* add. St. et i. u. Sch.

διηττημένης] UM Ald. Sch.; *διηρτημένης* P.; *διηθημένης* e conj. Scaligeri H. St. Veterem scripturam defendit Sch.

ἔχει] *ἀπέχει* St. jussu RConst.

ῥίζα] om. P.

ἀνακάμπτεσθαι] UMVP; *ανασκάπτεσθαι* Ald. Edd. o. Codicum lectio praeferenda; loquitur de arboribus ab impetu ventorum radicitus evulsis prostratisque.

ὁλόρριζα] Ald. H.: *ὁλόριζα* U; *ὁλόρριζον* auctore Dalecamp. Schn.; *ὡς ὀλιγόρριζα* St.

ἐντεριώνην] *ἐντεριόνην* sed antea fuit ω U. — *ἔχει* omissum in codd. et Ald. add. Schn.; *οὐκ ἔχει* auctore Scaligero H. St. Gaza enim: *lignum sine medulla*. An hic *ἀνεντερίωνον* legit?

εὔφθαρτον δὲ καὶ κο.] UM Schn. syll.; *καὶ* est quoque in P; *ἄφθαρτον δὲ κοπτόμενον* Ald. Edd., etiam Schn.; qui vero in Commentario alteram scripturam praetulit, *κόπτεσθαι* de noxa vermium interpretatus.

γίγνεται] U; *γίνεται* Ald. Edd.

εὐθενεῖ] corr. Schn. syll.; *εὐθηνεῖ* Ald. Edd. o.

6. *ὁ κιττὸς*] *ὁ* superscriptum in U.

καὶ γὰρ ἐπιγ.] post *γὰρ* inserunt *ὁ μὲν* m Bas. St Schn.

τῶν ἐν ὕ.] Ald. Edd.; *τοῦ ἐν ὕ.* Schn. Cum sint plura genera plurali etiam locus est.

εἴδη δὲ καὶ] U Schn. syll.; *ἤδη δὲ καὶ* M V; *εἴδη δὲ* Ald. Edd

καρπῷ μόνον] UM Schn.; *κ. μόνῳ* Ald. Edd.

λευκοκάρπων μόνον] cum G. et Scalig. St. Schn.; *λ. μόνων* Ald. H.

καθαπερεὶ σφαῖραν] U Sch. syll.; *καθάπερ εἰς σφαῖραν* Ald. Edd. o.

κορυμβίαν] *κόρυμβον* St. Idem deinceps sic: *ὃν δὲ Ἀθήνησι καλοῦσιν ἀχαρνικὸν ἐλάττω καὶ διακεχυμένον.*

οἱ δ' Ἀθήνῃσιν ἀχαρνικόν. ὁ δὲ ἐλάττων διακεχυμένος ὥσπερ καὶ ὁ μέλας·
7. ἔχει δὲ καὶ ὁ μέλας διαφορὰς ἀλλ' οὐχ ὁμοίως φανεράς. ἡ δὲ ἕλιξ ἐν μεγίσταις διαφοραῖς· καὶ γὰρ τοῖς φύλλοις πλεῖστον διαφέρει τῇ τε μικρότητι καὶ τῷ γωνοειδῆ καὶ εὐρυθμότερα εἶναι· τὰ δὲ τοῦ κιττοῦ περιφερέστερα καὶ ἁπλᾶ· καὶ τῷ μήκει τῶν κλημάτων καὶ ἔτι τῷ ἄκαρπος εἶναι. διατείνονται γάρ τινες τῷ μὴ ἀποκιττοῦσθαι τῇ φύσει τὴν ἕλικα ἀλλὰ τὴν ἐκ τοῦ κιττοῦ τελειουμένην. εἰ δὲ πᾶσα ἀποκιττοῦται καθάπερ τινές φασιν, ἡλικίας ἂν εἴη καὶ διαθέσεως οὐκ εἴδους διαφορά, καθάπερ καὶ τῆς ἀπίου πρὸς τὴν ἀχράδα· πλὴν τό γε φύλλον καὶ ταύτης πολὺ διαφέρει πρὸς τὸν κιττόν. σπάνιον δὲ τοῦτο καὶ ἐν ὀλίγοις ἐστὶν ὥστε παλαιούμενον μεταβάλλειν, ὥσπερ ἐπὶ τῆς λεύκης καὶ
8. τοῦ κρότωνος. εἴδη δ' ἐστὶ πλείω τῆς ἕλικος, ὡς μὲν τὰ προφανέστατα καὶ μέγιστα λαβεῖν τρία, ἥ τε χλοερὰ καὶ ποιώδης ἥπερ καὶ πλείστη καὶ ἑτέρα ἡ λευκὴ καὶ τρίτη ἡ ποικίλη ἣν δὴ καλοῦσί τινες θρᾳκίαν. ἑκάστη δὲ τούτων δοκεῖ

ἀχαρνικὸν] Post h. v. Ald. et Edd. addunt *ἀρδευόμενον*; Dalec. conj. *ἀδρυνόμενον*, quod probat Spreng. Utrumque pariter ineptum; omisi igitur.

ἐλάττων] U Schn.syll.; *ἐλάττω* Ald. Edd.

διακεχυμένος] UMV Ald. Schn.syll.; *-χυμένον* H. Schn. cont.

φανερὰς] H. St. Schn.; *φανερῶς* M Ald.

7. *ἡ δὲ ἕλιξ*] U; *ἤδη δὲ ἑλ.* MV; *ἡ δὲ δὴ ἑλ.* Ald. Edd. o. In Syll. Schn. *δὴ* seclusit.

γωνοειδῆ] MV, mBas. Schn.syll.; *γωνοειδεῖ* U Ald.; *γωνιοειδῆ* H. St.; *γωνιοειδεῖ* Schn.cont. Dioscor. 2, 210, qui hunc locum Theophrasteum excerpsit, habet *γωνιώδη*. Cf. ad 1, 10, 1.

εὐρυθμότερα] U, sed o fuit antea ω, cum Scal. H. St. Schn.; *εὐθυμότερα* M Ald.; *concinniora* G. cum Plinio. Alias conjecturas habebis apud Saracen. ad Dioscor. p. 52.

κλημάτων] *κλιμάτων* U.

διατείνονται] *διτείνονται* U.

γάρ τινες τῷ μὴ] *τῷ μὴ* om. H.; *τῷ* om. St.; *δὲ* pro *γὰρ* posuit Sch. Sed *γὰρ* recte habet; exponit enim quomodo helicis sterilitas a diversis explicetur. *διατείνεσθαι τινι* etsi in usu fuisse non inveniam, excusari tamen posse credo, ut significet *inhaerere opinioni*.

ἀλλὰ τὴν ἐκ τοῦ κιττοῦ τελειουμένην] U; *ἀλλὰ τῇ ἐκ τοῦ κιττοῦ τελειουμένῃ* MV Ald.; *ἀλλαγὴ δ' εἰς τὸν κιττὸν τελειουμένης* H; *ἀλλαγὴν δ' εἰς τὸν κιττὸν τελειουμένης* St.; [*ὡς τῇ*] *ἀλλαγῇ* [*τῇ*] *εἰς τὸν κιττὸν τελειουμένης* Schn. Quae mutationes omnes frustraneae. Scriptura libri U etsi structura paullum implicita, hunc sensum praebere videtur. *Nonnulli enim ei insistunt opinioni helicem natura sua non abire in hederam, sed quae ex ipsa hedera absolvitur, eam esse hederam perfectam et fructiferam.* Scilicet helicem et hederam ita differre, ajebant illi, ut haec ad perfectionem et statum fructiferum aliquando perveniat, illa semper imperfecta et sterilis maneat. Alii enim putabant ex helice, ubi aetate provectior facta esset, fieri hederam fructiferam. Verba *ἀλλὰ τὴν — τελειουμένην* brevius dicta sunt; subaudiendum est *εἶναι τὴν τελείαν καὶ καρποφόρον*; nam *ἀποκιττοῦσθαι* quod praecedit, significat in *hederae naturam abire transmutari*, ideoque *καρποφόρον fieri*, quia perfecta hedera fructifera est. Dicunt igitur ii, qui negant *τὴν ἕλικα ἀποκιττοῦσθαι*, eam plantam quae fructus fert esse *τὴν ἐκ τοῦ κιττοῦ τελειουμένην*, i. e. statum perfectum ipsius *κιττοῦ*, ab helice semper sterili diversi. Superest difficultas in feminino sexu *τὴν — τελειουμένην*, cum si *κιττὸν* subintellexisset, masculino, si *φυτόν*, neutro uti deberet. Sed femininum quasi ex attractione propter praecedens *τὴν ἕλικα* posuisse videtur, cum nomen huic stirpi, quae est *ὁ κιττός*, subintelligi nollet, quoniam de ea ut *τελειουμένη ἐκ τοῦ κιττοῦ* loquebatur. In iis quae deinceps sequuntur *εἰ δὲ πᾶσα* etc. contrariam exponit sententiam eorum, qui helicem temporis decursu in hederam abire statuerent.

πᾶσα] corr. cum Schn.; *πᾶς* Ald. Edd. Necessario ad *τὴν ἕλικα* referendum, ideoque mutandum erat.

εἴδους διαφορὰ] U; *εἴδους ἡ διαφορὰ* Ald. Edd. o.

8. *δ' ἐστὶ πλείω*] *δ' ἐστὶν πλείω* U.

χλοερὰ] Ald. Edd.; *χλωρὰ* Schn.; *herbacea* G.

ποιώδης] in corr. U; *ποώδης* Ald. Edd.

ἡ ποικίλη] *καὶ ποικ.* U.

θρᾳκίαν] *Θρᾳκίαν* U.

διαφέρειν· καὶ γὰρ τῆς χλοώδους ἡ μὲν λεπτοτέρα καὶ μακροφυλλοτέρα καὶ
ἔτι πυκνοφυλλοτέρα, ἡ δ' ἧττον πάντα ταῦτ' ἔχουσα. καὶ τῆς ποικίλης ἡ μὲν
μεῖζον ἡ δ' ἔλαττον τὸ φύλλον, καὶ τὴν ποικιλίαν διαφέρουσα. ὡςαύτως δὲ καὶ
τὰ τῆς λευκῆς τῷ μεγέθει καὶ τῇ χροιᾷ διαφέρουσιν. εὐαυξεστάτη δὲ ἡ ποιώ-
δης καὶ ἐπὶ πλεῖστον προϊοῦσα. φανερὰν δ' εἶναί φασιν τὴν ἀποκιττουμένην οὐ
μόνον τοῖς φύλλοις ὅτι μείζω καὶ πλατύτερα ἔχει ἀλλὰ καὶ τοῖς βλαστοῖς· εὐθὺς
γὰρ ὀρθοὺς ἔχει καὶ οὐχ ὥσπερ ἡ ἑτέρα κατακεκαμμένη καὶ διὰ τὴν λεπτότητα
καὶ διὰ τὸ μῆκος· τῆς δὲ κιττώδους καὶ βραχύτεροι καὶ παχύτεροι. καὶ ὁ κιτ-
τὸς ὅταν ἄρχηται σπερμοῦσθαι μετέωρον ἔχει καὶ ὀρθὸν τὸν βλαστόν. πολύρ- 9.
ριζος μὲν οὖν ἅπας κιττὸς καὶ πυκνόρριζος συνεστραμμένος ταῖς ῥίζαις καὶ
ξυλώδεσι καὶ παχείαις καὶ οὐκ ἄγαν βαθύρριζος, μάλιστα δ' ὁ μέλας, καὶ τοῦ
λευκοῦ ὁ τραχύτατος καὶ ἀγριώτατος· δι' ὃ καὶ χαλεπὸς παραφύεσθαι πᾶσι
τοῖς δένδροις· ἀπόλλυσι γὰρ πάντα καὶ ἀφαυαίνει παραιρούμενος τὴν τροφήν.
λαμβάνει δὲ μάλιστα πάχος οὗτος καὶ ἀποδενδροῦται καὶ γίνεται αὐτὸ καθ'
αὑτὸ κιττοῦ δένδρον. ὡς δ' ἐπὶ τὸ πλεῖον εἶναι πρὸς ἑτέρῳ φιλεῖ καὶ ζητεῖ καὶ
ὥςπερ ἐπαλλόκαυλόν ἐστιν. ἔχει δ' εὐθὺς ἐκ τῆς φύσεώς τι τοιοῦτον· ἐκ γὰρ 10.

χλοώδους] *ποώδους* St.

μακροφυλλοτέρα] *foliis similiter ordinatis* Plin. 16, 62, unde Dalec. *εὐρυθμοφυλλοτέρα*, RConst. *τακτοφυλλοτέρα*, Schn. *εὐτακτοτέρα* conj. Equidem Roberti conjecturam maxime probarem.

τὸ φύλλον] „Sequens *διαφέρουσα* flagitat, ut hic *ἔχουσα* addamus, quod fecit Brit.“ Schn. Sed in contextu *ἔχουσα* non addidit, ut fecerat Stackh.; ac potest sine incommodo e praemissis repeti.

τὰ τῆς λευκῆς] om. Ald. H. Schn.; hic post *καὶ* signum lacunae posuerat. St. supplevit: *τῆς λευκῆς· καὶ γὰρ τῷ μεγ.* Verba *τῆς λευκῆς* praebet U, quibus structura et sensu flagitante addidi *τά*.

εὐαυξεστάτη] mBas. H. St. Schn.; *εὐαξεστάτη* U Ald

ποιώδης] U cum rasura in *ι*; *ποώδης* Ald. Edd.

τὴν ἀποκ.] *ταύτην ἀποκ.* St.

ὥςπερ ἡ ἑτέρα] U Sch.syll.; *ἡ ἑτέρα* om. Ald. Edd. RConst. conj. *ὥςπερ ἄλλαι κατακεκλιμένη.*, Salmas. Exerc. p. 260. *ὥςπερ ἡ ποώδης κεχυμένους*, unde St. *ὥςπερ κεχυμένους* dedit.

κατακεκαμμένη] corr. praeeunte Schn., qui tamen *κατακεκαμμένους* dedit ad *βλαστοὺς* relatum; malui ad *ἑτέρα* relatum de tota planta dici.; *κατακεκαυμένη* U Ald.

τῆς δὲ κ.] *τῇ δὲ κ.* Bas.; *τῆς δὲ ποώδους* St.

καὶ ὁ κιττὸς] UMV Sch.syll.; *ὁ καὶ κ.* Ald.; *ὁ δὲ κ.* Edd. post H.

σπερμοῦσθαι] UMVP Sch.syll.; *σπερμοῦχει* Ald.; *σπέρμα χεῖν* mBas.; *σπερμουχεῖν* H. Vo. Sch.; *σπερμοφυεῖν* mBod. St.

ἔχει] UMVP St. Sch.; *ἐστι* Ald. H. Dein *πολύρριζον* P.

9 *πυκνόρριζος*] *καὶ* addit St.

ῥίζαις καὶ ξυλώδεσι] UMV Sch.; *ῥ. δὲ ξυλ.* Ald. Edd.

βαθύρριζος] corr. Sch.; *βαθυρρίζοις* Ald. Edd.; *βαθυρίζοις* U.

μάλιστα] U; *καὶ μάλ.* Ald. Edd.

καὶ τοῦ λ. ὁ τραχ.] *καὶ γὰρ τραχ.* St.

ἀγριώτατος] *ἀγριότατος* H. St.

παραφύεσθαι] UMV Ald. Schn.; *παραφύεται* auctore RConst. H. St; *περὶ φύεσθαι* P2. — Dein *ἀφαναίνει* P2.

παραιρούμενος] P2 H. St. Sch.; *παραιρούμενον* Ald.

καὶ γίνεται] Ald. Edd.; *καὶ* om. U.

εἶναι πρὸς ἑτέρῳ φιλεῖ καὶ ζητεῖ] dedi de conj., *αἰεὶ*, ut in UM, vel *ἀεὶ*, ut in Ald., mutato in *εἶναι*. Nam *φιλεῖ καὶ ζητεῖ* tuentur UMV Ald., quod cum RConst. in *φιλεῖ ζῆν* mutaverunt H. St. Schn.; *super alio vitam degere amat* G.

ἐπαλλόκαυλόν] e corr. Scalig. St. Schn. Vo.; *ἐπαλλόκαυλον vel ἐπαυλόκαυλον* mBas.; *ἐπαυλόκαλον* MV Ald. et U sed *υ* corr.

10 *ἐκ τῆς φυσ.*] corr. Schn. e vers. G. *itaque pro sua natura vel quiddam ejusmodi ilico gerit*; *καὶ τῆς φυσ.* Ald. Edd., quod nescio annon defendi possit.

ἐκ γὰρ τῶν βλ.] U Sch.syll.; *καὶ γὰρ τῶν* Ald. H.; *καὶ γὰρ ἐκ τῶν* St.; *καὶ γὰρ [ἀπὸ] τῶν* Schn.

τῶν βλαστῶν ἀφίησιν ἀεὶ ῥίζας ἀνὰ μέσον τῶν φύλλων, αἷςπερ ἐνδύεται τοῖς
δένδροις καὶ τοῖς τειχίοις οἷον ἐξεπίτηδες πεποιημέναις ὑπὸ τῆς φύσεως· δι' ὃ
καὶ ἐξαιρούμενος τὴν ὑγρότητα καὶ ἕλκων ἀφαυαίνει, καὶ ἐὰν ἀποκοπῇ κάτω-
θεν δύναται διαμένειν καὶ ζῆν. ἔχει δὲ καὶ ἑτέραν διαφορὰν κατὰ τὸν καρπὸν
οὐ μικράν· ὁ μὲν γὰρ ἐπίγλυκύς ἐστιν ὁ δὲ σφόδρα πικρὸς καὶ τοῦ λευκοῦ καὶ
τοῦ μέλανος· σημεῖον δ' ὅτι τὸν μὲν ἐσθίουσιν οἱ ὄρνιθες τὸν δ' οὔ. τὰ μὲν
11. οὖν περὶ τὸν κιττὸν οὕτως ἔχει. ἡ δὲ σμῖλαξ ἐστι μὲν ἐπαλλόκαυλον, ὁ δὲ
καυλὸς ἀκανθώδης καὶ ὥσπερ ὀρθάκανθος, τὸ δὲ φύλλον κιττῶδες μικρὸν ἀγώ-
νιον, κατὰ τὴν μίσχου πρόςφυσιν τυλῃρόν. ἴδιον δ' ὅτι τήν τε διὰ μέσου ταύ-
την ὥςπερ ῥάχιν λεπτὴν ἔχει καὶ τὰς στημονίους διαλήψεις οὐκ ἀπὸ ταύτης
ὥςπερ τὰ τῶν ἄλλων ἀλλὰ περὶ αὐτὴν περιφερεῖς ἠγμένας ἀπὸ τῆς προςφύσεως
τοῦ μίσχου τῷ φύλλῳ. παρὰ δὲ τοῦ καυλοῦ τὰ γόνατα καὶ παρὰ τὰς διαλεί-
ψεις τὰς φυλλικὰς ἐκ τῶν αὐτῶν μίσχων τοῖς φύλλοις παραπέφυκεν ἴουλος
λεπτὸς καὶ ἑλικτός· ἄνθος δὲ λευκὸν καὶ εὐῶδες λείρινον· τὸν δὲ καρπὸν ἔχει
προςεμφερῆ τῷ στρύχνῳ καὶ τῷ μηλώθρῳ καὶ μάλιστα τῇ καλουμένῃ σταφυλῇ
12. ἀγρίᾳ· κατακρέμαστοι δ' οἱ βότρυες κιττοῦ τρόπον· παραθριγκίζει δὲ ὡς πρὸς

ἀποκοπῇ] U Sch. syll.; *ὑποκοπῇ* Ald. Edd. o.

διαμένειν καὶ ζῆν] *vivere durareque* G.; *ζῆν καὶ διαμένειν* maluerunt RConst. et Dal.

11. *σμῖλαξ*] *μῖλαξ* scribendum esse arbitror. Vide ad 1, 10, 5.

ἐστὶ μὲν] *ἐστὶν μὲν* U.

ἐπαλλόκαυλον] corr. Schn., *ἐπαλλόκαυλος* St. cum Dalec. et Vo.; *ἐπαυλόκαυλον* U; *ἐπαυλόκαρπον* Ald. H.

ὁ δὲ καυλὸς] e corr. RConst. H. St. Schn.; *ὁ δὲ καρπὸς* UMV Ald. Fructus descriptio infra sequitur.

ὀρθάκανθος] corr. Sch. syll.; *ὀρθόκανθον* UMV Ald.; *ὀρθοάκανθον* H.; *πτορθάκανθος* St., non male.

μικρὸν ἀγώνιον] *μακραγώνιον* St.; *μ. ἐγγώνιον* conj. RConst. e 1, 10, 5, ubi vero nunc pro *παραγωνίζοντα* rectius *παρακανθίζοντα* scriptum est.

κατὰ] *καὶ κατὰ* St.

πρόςφυσιν τυλῃρόν] dedi de conj. Vocabulum *τυλῃρός, callosus*, non est in Lexicis, sed in usu fuisse haud dubium; *τυλῶδες* enim, quod habent lexica, dici h. l. non po-
ν
tuit.; *προςφυσινοτηρόν, ο* ante *τ* correctum ut *α* esse videatur U; *πρόςφυσιν νοτηρόν* Ald. Edd.; *humectum* G.; *ὠτηρόν* i. e. *auriculatum* conj. Spr.

ταύτην] *τεινομένην* conj. Dalec. Bod.

ῥάχιν] *ἴαχιν* M.

στημονίους] e corr. CHoffm. et Bod. Schn.; *στημνίους* Ald. Edd.

διαλήψεις] Ald. Edd.; *διαλείψεις* UMV.

περὶ αὐτὴν] Ald. Edd.; *π. αὐτῶν* UMV.

προςφύσεως] *προφύσεως* H.

τοῦ καυλοῦ τὰ γόνατα] dedi de emendatione Schneideri, probata a Spreng.; *τὸν καυλὸν τὸν ἄτονον* Ald. H. Schn.; *τ. καυλὸν καὶ τὰς διαλήψ.* St.

καὶ παρὰ] Schn.; *καὶ τὰ παρὰ* U; *τὰ παρὰ* Ald.

διαλείψεις] U Ald. H. St.; *διαλήψεις* Schn.

λείρινον] corr. e Plinio RConst. H.Steph. St. Schn.; *ἠρινὸν* U Ald.

ἑλικτὸς] *ἑλικτός* U.

στρύχνῳ] *τρυχνῶι* U; *solano* G.

12. *παραθριγκίζει δὲ ὡς πρὸς τ. στ.*] sic fere dant P2 qui *παραθρινακίζει*, et P qui *παραθρηνακίζει* scriptum habet; *παρωγγίζει δὲ παραθρινακίζει δὲ ὡς πρὸς τ. στ.* U; *παραγγίζει δὲ παραθρηνακίζει δὲ ὡς πρὸς τ. στ.* MV; *παρεγγύζει δὲ ὡς πρὸς τ. στ.* Ald. H.; *παρεγγίζει δὲ μᾶλλον πρὸς τ. στ.* de conj. Dalec. mBod. St.; *παρεγγίζουσι δὲ μᾶλλον πρὸς τ. στ.* Sch.; *Racemi pensiles ut hedere sunt. Verum ad labruscam potius accedunt. Nam de eodem puncto pediculi acinorum exeunt* G. Schneider putabat *παραθρινακίζει* ortum esse e varietate scripturae ad sequens *παραθριγκίζουσι* apposita, ideoque eo omisso cum

τὴν σταφυλήν· ἀπὸ γὰρ ἑνὸς σημείου οἱ μίσχοι οἱ ῥαγικοί. ὁ δὲ καρπὸς ἐρυθρὸς, ἔχων πυρῆνας τὸ μὲν ἐπὶ πᾶν δύο, ἐν τοῖς μείζοσι τρεῖς ἐν δὲ τοῖς μικροῖς ἕνα· σκληρὸς δ' ὁ πυρὴν εὖ μάλα καὶ τῷ χρώματι μέλας ἔξωθεν. ἴδιον δὲ τὸ τῶν βοτρύων, ὅτι ἐκ πλαγίων τε τὸν καυλὸν παραθριγκίζουσιν καὶ κατ' ἄκρον ὁ μέγιστος βότρυς τοῦ καυλοῦ, ὥσπερ ἐπὶ τῆς ῥάμνου καὶ τοῦ βάτου. τοῦτο δὲ δῆλον ὡς καὶ ἀκρόκαρπον καὶ πλαγιόκαρπον. τὸ δ' εὐώνυμον καλούμενον δέν- 13.
δρον φύεται μὲν ἄλλοθί τε καὶ τῆς Λέσβου ἐν τῷ ὄρει τῷ Ὀρδύννῳ καλουμένῳ· ἔστι δὲ ἡλίκον ῥόα καὶ τὸ φύλλον ἔχει ῥοῶδες, μεῖζον δὲ ἢ χαμαιδάφνης, καὶ μαλακὸν δὲ ὥςπερ ἡ ῥόα. ἡ δὲ βλάστησις ἄρχεται μὲν αὐτῷ περὶ τὸν Ποσειδεῶνα· ἀνθεῖ δὲ τοῦ ἦρος· τὸ δὲ ἄνθος ὅμοιον τὴν χρόαν τῷ λευκῷ ἴῳ· ὄζει δὲ δεινὸν ὥςπερ φόνου. ὁ δὲ καρπὸς ἐμφερὴς τὴν μορφὴν μετὰ τοῦ κελύφους τῷ τοῦ σησάμου λοβῷ· ἔνδοθεν δὲ στερεὸν πλὴν διῃρημένον κατὰ τὴν τετραστοιχίαν. τοῦτο ἐσθιόμενον ὑπὸ τῶν προβάτων ἀποκτιννύει, καὶ τὸ

Dalec. *μᾶλλον* inseruit. Sed sic singularis non explicatur. Mihi contra altera vox *παρωγγίζει* spuria atque supposititia videtur esse, eamque utroque Parisiensi adstipulante omittendam duxi, praesertim quum sequentia *ὅτι — παραθριγκίζουσιν* e more Theophrasti ad idem antea dictum referri debeant, ita ut vix dubitari possit quin in voce vitiosa *παραθρινακίζει* lateat *παραθριγκίζει*. Ad verbum *παραθριγκίζει* suppleri posse *τὰ ἄνθη τὸν καυλόν* videntur. In ceteris, *ὡς πρὸς τὴν σταφυλήν*, quae non expedio, vitium latere censeo.

οἱ ῥαγικοί] P2 mBas. Schn.; *ὁραγικοί* U MV Ald.; *ῥαγικοί* H. St. — *σμίχοι* P2.

μείζοσι τρεῖς] U, sed inter ea verba *δὲ* superscriptum habet in compendio; *μ. δὲ τρεῖς* Ald. Edd. Schn.syll. *δὲ* seclusit.

ἴδιον δὲ τὸ τῶν] U Sch.syll.; *ἴδιον δὲ τῶν* PMV Edd. post H.; *ἰδίαν δὲ τῶν* Ald.

τὸν καυλὸν] Edd. post H.; *τῶν καυλῶν* Ald.

παραθριγκίζουσι] corr. Schn.; *παραθριγγίζουσι* Ald. Edd.; *παραθρυγκίζουσαν* sed *υ* correctum U; *παραθρυγγίζουσι* M.

τοῦ καυλοῦ] e corr. RConst. H. St. Sch.; *τὸν καυλὸν* Ald., quod defendit Scaliger.

τοῦ βάτου] UP Sch.syll.; *τῆς βάτου* Ald. Edd. o.

τοῦτο] Ald. Edd.; *τούτῳ* Schn. Retineo vulgatam; subintellige *τὸ φυτόν*, scil. *ἡ σμῖλαξ*.

πλαγιόκαρπον] cum RConst St. Schn.; *πλαγιπαλαιόκαρπον* U; *πλαγιοπαλαιόκαρπον* PMV; *πλαγιαπαλαιόκαρπον* Ald.; *πλαγιοκαρπότατον* H.; *πλαγιοπολύκαρπον* Vo. cum Gaza, qui *latere large fructifera* vertit.

13. *τὸ δ' εὐώνυμον*] Scaliger monet hanc de *euonymo* narrationem hic non suo loco positam esse. Hoc loco etiam Exc. P2 habet.

Ὀρδύννῳ] U, quod proxime abest a Pliniano Ordymno, 5, 31. Ceterum *Ορκυννίω Ορδύννωι* U, *Ὀρκυνίῳ Ὀρδύνῳ* Ald. Alterum, quod e varietate scripturae margini adscripta ortum esse RConst. animadvertit, omisi. *Monte orcynio cui nomen ordino* G.

ἢ χαμαιδάφνης] sic UMV Schn.syll.; *ἡ χαμαιδάφνη* Ald. H.; *ἢ χαμαιδάφνη* PmBas. St. Schn.; *majori quam vinca pervinca* G. *χαμαιδάφνη* hoc uno loco Theophrasto nominatur. Ceterum aperta sunt vestigia, locum esse vitiatum, quae exposuit Schn.

μαλακὸν δὲ] UMVP; *δὲ* om. Ald. Edd. o.

αὐτῷ] corr. Schn.syll.; *αὐτῶν* U; *αὐτῇ* MV; *αὐτῆς* Ald. Edd.

χρόαν] *χροάν* U.

λευκῷ ἴῳ] *λευκοίῳ* St.

τῷ τοῦ σησ.] U Sch.syll.; *τῷ τῆς σησ.* Ald. Edd.

στερεὸν] *τι* adjecit Schn., quo non opus esse videtur.

τοῦτο] UMV Ald. Edd.; *τούτου* Schn. Subintellige *τὸ φυτόν*; dein nominat partes noxias in appositione.

ὑπὸ] Edd. post H.; *ἀπὸ* U (*υ* superscr.); *ἀπὸ* Ald.

ἀποκτιννύει] H. Schn.: *ἀποκτεννύει* UM P; *ἀποκτενύει* Ald.; *ἀποκτείνει* St.; *ἀποκτενύοι, ει* scripto super *νυ*, P2.

φύλλον καὶ ὁ καρπὸς, καὶ μάλιστα τὰς αἶγας ἐὰν μὴ καθάρσεως τύχῃ. καθαίρεται δὲ ἀνόχῳ. περὶ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται· ἐν δὲ τοῖς ἑξῆς περὶ τῶν λειπομένων λεκτέον.

καθαίρεται] corr. Schn.; *purgantur* G.; *καθαιρεῖται* P2 Ald. Edd.

ἀνόχῳ] diarrhoea et alvi profluvium explic. a lex. vulg. apud Steph. Thes.; *praecipitem alvi exinanitionem* Plin; *anocho* G.; *ἀνώχῳ* P2. Schneider h. v. corruptam ejusque loco medicamenti nomen fuisse suspicatur. Ridicule Spr. *ἄνωθεν*, i. e. vomitu, substituere jubet.



ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Δ.

Cap. I. Αἱ μὲν οὖν διαφοραὶ τῶν ὁμογενῶν τεθεώρηνται πρότερον. ἅπαντα δ' ἐν τοῖς οἰκείοις τόποις καλλίω γίνεται καὶ μᾶλλον εὐσθενεῖ· καὶ γὰρ τοῖς ἀγρίοις εἰσὶν ἑκάστοις οἰκεῖοι καθάπερ τοῖς ἡμέροις· τὰ μὲν γὰρ φιλεῖ τοὺς ἐφύδρους καὶ ἑλώδεις οἷον αἴγειρος λεύκη ἰτέα καὶ ὅλως τὰ παρὰ τοὺς ποταμοὺς φυόμενα, τὰ δὲ τοὺς εὐσκεπεῖς καὶ εὐηλίους, τὰ δὲ μᾶλλον τοὺς παλισκίους· πεύκη μὲν γὰρ ἐν τοῖς προςείλοις καλλίστη καὶ μεγίστη, ἐν δὲ τοῖς παλισκίοις ὅλως οὐ φύεται· ἐλάτη δὲ ἀνάπαλιν ἐν τοῖς παλισκίοις καλλίστη τοῖς δ' εὐείλοις οὐχ ὁμοίως. ἐν Ἀρκαδίᾳ γοῦν περὶ τὴν Κράνην καλουμένην τόπος ἐστί 2.
τις κοῖλος καὶ ἄπνους εἰς ὃν οὐδέποθ' ὅλως ἥλιον ἐμβάλλειν φασίν· ἐν τούτῳ δὲ πολὺ διαφέρουσιν αἱ ἐλάται καὶ τῷ μήκει καὶ τῷ πάχει, οὐ μὴν ὁμοίως γε πυκναὶ οὐδ' ὡραῖαι ἀλλ' ἥκιστα, καθάπερ καὶ αἱ πεῦκαι αἱ ἐν τοῖς παλισκίοις· διʼ ὃ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων, οἷον θυρώματα καὶ εἴ τι ἄλλο σπουδαῖον, οὐ χρῶνται τούτοις ἀλλὰ πρὸς τὰς ναυπηγίας μᾶλλον καὶ τὰς οἰκοδομάς· καὶ γὰρ δοκοὶ κάλλισται καὶ τανεῖαι καὶ αἱ κέραιαι αἱ ἐκ τούτων, ἔτι

Cap. I.

εὐσθενεῖ] Ald. Edd.; *εὐθενεῖ* St.

καὶ γὰρ τοῖς] U Sch.syll.; *καὶ πρὸς τοῖς* Ald. Edd.

οἰκεῖοι] *τόποι* i. u. add. St.

καὶ ὅλως] Ald. Edd.; *καὶ ἄλλως* UMV. Praeterea *τὰ* om. M.

προςείλοις] U Sch.syll.; *προςηλίοις* Ald. Edd. o.

τοῖς παλισκ.] Ald. Edd.; *ταῖς παλισκ.* UMV.

ὅλως οὐ φύεται] Ald. H. Sch.; *καλῶς οὐ φύεται* Bod. corr.; *οὐ καλὴ φύεται* m Bod.; *οὐ καλῶς φύεται* St.; *ἢ οὐ καλὴ ἢ ὅλως οὐ φύεται* conj. Sch. Infra quidem *αἱ πεῦκαι αἱ ἐν τοῖς παλισκίοις* commemorantur; tamen mutare non ausim.

εὐείλοις] sic U a pr. m. sed *ει* correctum et inter *λ* et *οις* desuper *ι* insertum; *εὐηλίοις* Ald. Edd.

2. *κράνην*] Ald. Edd.; *κράνῃν* U, unde *Κράνιν* Sch.syll.

ἐμβάλλειν] *ἐμβάλλει* U; *οὐδέποθ' ἥλιον ἐμβάλλειν ὅλως* P.

ὡραῖαι] Nescio an *cito accrescentes, mature perfectas* significet. *pulchrae* G.

καὶ αἱ π.] UMVP St. Sch.; *καὶ* om. Ald. H. Verba *καθάπερ — πεῦκαι* in parenthesi posuit St.

ἐν τοῖς παλ.] *ἐν ταῖς π.* V.

δοκοὶ] P, e corr. RConst. Sch.; *δοκεῖ* M Ald.; *δοκεῖ ὅτι* H. e conj. St.

τανεῖαι] P Ald. Edd.; *τανείαι* U; *τανεῖναι* Cam.

καὶ αἱ κέραιαι] U, qui *κεραῖαι* exhibet, Sch.syll.; *καὶ ἀκέραιαι* MV Ald.; *καὶ κέραιαι* H. St. Deinceps *αἱ* om. P.

δ' ἱστοὶ τῷ μήκει διαφέροντες ἀλλ' οὐχ ὁμοίως ἰσχυροί· καὶ ἐκ τῶν προςείλων
3. τῇ βραχύτητι πυκνότεροί τε ἐκείνων καὶ ἰσχυρότεροι γίνονται. χαίρει δὲ σφό-
δρα καὶ ἡ μίλος τοῖς παλισκίοις καὶ ἡ πάδος καὶ ἡ θραύπαλος. περὶ δὲ τὰς
κορυφὰς τῶν ὀρέων καὶ τοὺς ψυχροὺς τόπους θυία μὲν φύεται καὶ εἰς ὕψος,
ἐλάτη δὲ καὶ ἄρκευθος φύεται μὲν οὐκ εἰς ὕψος δὲ καθάπερ καὶ περὶ τὴν ἄκραν
Κυλλήνην· φύεται δὲ καὶ ἡ κήλαστρος ἐπὶ τῶν ἄκρων καὶ χειμεριωτάτων. ταῦτα
μὲν οὖν ἄν τις θείη φιλόψυχρα· τὰ δ' ἄλλα πάντα ὡς εἰπεῖν μᾶλλον χαίρει τοῖς
προςείλοις. οὐ μὴν ἀλλὰ καὶ τοῦτο συμβαίνει κατὰ τὴν χώραν τὴν οἰκείαν
ἑκάστῳ τῶν δένδρων. ἐν Κρήτῃ γοῦν φασιν ἐν τοῖς Ἰδαίοις ὄρεσι καὶ ἐν τοῖς
Λευκοῖς καλουμένοις ἐπὶ τῶν ἄκρων ὅθεν οὐδέποτ' ἐπιλείπει χιὼν κυπάριττον
εἶναι· πλείστη γὰρ αὕτη τῆς ὕλης καὶ ὅλως ἐν τῇ νήσῳ καὶ ἐν τοῖς ὄρεσιν.
4. ἔστι δὲ ὥσπερ καὶ πρότερον εἴρηται καὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων τὰ μὲν
ὀρεινὰ τὰ δὲ πεδεινὰ μᾶλλον. ἀναλογίᾳ δὲ καὶ ἐν αὐτοῖς τοῖς ὄρεσι τὰ μὲν ἐν
τοῖς ὑποκάτω τὰ δὲ περὶ τὰς κορυφὰς ὥστε καὶ καλλίω γίνεται καὶ εὐσθενῆ.
πανταχοῦ δὲ καὶ πάσης τῆς ὕλης πρὸς βορρᾶν τὰ ξύλα πυκνότερα καὶ οὐλότερα
[φέρει], καὶ ἁπλῶς καλλίω· καὶ ὅλως δὲ πλείω ἐν τοῖς προςβορείοις φύεται.

ἱστοὶ] *ἰστοὶ* Ald. Cam.
καὶ ἐκ] UMV Sch.; *τοῖς ἐκ* Ald. Edd. Sententiarum nexus postulat *ἐκ δὲ* vel *ἐκ γάρ*.
προςείλων] U a pr. m.; *προςηλίων* Ald. Edd.
τῇ βραχυτ.] corr. Schn. omissa v. *ἀλλά*; *ἀλλὰ τῇ βρ.* Ald. H.; *ἀλλὰ ἅμα τῇ βρ.* St. Excidisse quaedam videntur.
3. *μίλος*] P, Vo. cod. Cas. St. Schn.; *taxus* G.; *μίλητος* U Ald. H.; *μίλιτος* mBas.
ἡ θραυπ.] UMV Sch.; *ἡ* om. Ald. Edd.

θυία] mBas. St. Sch.; *thuia* G.; *θυΐα* U; *θυῖα* mU; *θεία* Ald. H.
καὶ εἰς ὕ.] UMVP Sch.; *καὶ* om. Ald. Edd.
κυλλήνην] H. St. Sch.; *κυλήνην* Ald.; *σκυλλήνην* U; *σκυλίνην* MP.
εἰπεῖν μᾶλλον] Ald. Edd.; *εἰπεῖν οὐ μᾶλλον* UMV, quare lectionem vitiosam esse existimo. An in *οὐ* adsunt reliquiae vocis *πολὺ*?
προςείλοις] U a pr. m.; *προςηλίοις* Ald. Edd.
τὴν οἰκ.] U Sch. syll.; *τὴν* om. Ald. Edd.
ἰδαίοις] H. St. Schn.; *ἰδίοις* UMVP; *ἰδείοις* Ald.
ὅθεν] U Sch. syll.; *ὃν* MV; *ἅπερ* P; *οὗπερ* Ald. Edd.
οὐδέποτ'] U, ceteri sine elisione; idem deinceps *ἐπιλείπει* sed fuerat antea *ἐπιλείπειν*.
πλείστη—νήσῳ] UMV Ald. Sch.; *πλεῖστον γὰρ ταύτης τῆς ὅλης καὶ ὕλης ἐν τῇ νήσῳ* H.; *πλεῖστον γὰρ ταύτης τῆς ὕλης ἐν τῇ νήσῳ* St.; *πλεῖστον γὰρ ταύτης τῆς ὕλης καὶ ἐν τοῖς ὄρεσι καὶ ὅλως ἐν τῇ νήσῳ* conj. RConst.

4. *ἡμέρων*] Ald. Edd.; *ἐξημέρων* U; *ἐξ ἡμέρων* MV. Fortasse *ἐξημερωμένων* scriptum fuit.
πεδεινὰ] *πεδεινὰ* U; *πεδινὰ* Ald. Edd., Vide ad 3, 2, 4.
ἀναλογίᾳ] Ald. Edd.; *ἀναγωγίαν* MVP; *ἀναγωγίαν* U; *ad porcionem* G.
αὐτοῖς τοῖς] UMV Ald. Sch.; *τοῖς* om. H. St.

ὥστε] seclusit Schn. tanquam inutile. Est vero inopportunum; videtur alia vox ejus loco fuisse, quae *crescunt*, *habitant*, significaverit. — *alia in summis proveniunt ita ut pulchriora et fertiliora exurgant* G.
εὐσθενῆ] Ald.; *εὐθενεῖ* H. St.; *εὐσθενεῖ* Sch.; *εὐγενῆ* P.

βορρᾶν] Ald. Edd.; *βορὰς* (ν superscr.) U.
τὰ ξύλα] Ald. H.; *τὰ πρὸς βορρᾶν ξύλα* Schn. auct. RConst., qua mutatione locus haud restitutus est. Mihi vox *φέρει* suspecta, ac e fine praecedentis vocis male repetito nata esse videtur, sic ut ex *οὐλότερα* male scripto *καλλίω φέρει* prodierit. Quare eam seclusi.

οὐλότερα] dedi de conj.; *ὑλότερα* U; *καλλιώτερα* MV; *καλλίω* Ald. Edd.; *τὰ πρὸς βορρᾶν φέρει ξύλα πυκνότερα καὶ ἁπλῶς καλλίω· καὶ* etc. St. Sch. verba *ἁπλῶς καλλίω καὶ* seclusit.

ὅλως δὲ πλείω] Ald. Edd.; *ἡ ὕλη . . ὅλως καλλίων καὶ πλείων ἡ ἐν τοῖς προςβορείοις* 5, 1, 11.; *ὅλως δ . . λ . . . ω* U; *ὅλως δυ . . . . λει . . . . . ω* M2; *ὅλως δυλεῖ ω̃* V; M1 habet vulgatam sed e corr.

αὐξάνεται δὲ καὶ ἐπιδίδωσι τὰ πυκνὰ μὲν ὄντα μᾶλλον εἰς μῆκος, δι' ὃ καὶ ἄνοζα καὶ εὐθέα καὶ ὀρθοφυῆ γίνεται, καὶ κωπεῶνες ἐκ τούτων κάλλιστοι· τὰ δὲ μανὰ μᾶλλον εἰς βάθος καὶ πάχος, δι' ὃ καὶ σκολιώτερα καὶ ὀζωδέστερα καὶ τὸ ὅλον στερεώτερα καὶ πυκνότερα φύεται. σχεδὸν δὲ τὰς αὐτὰς ἔχει διαφορὰς 5.
τούτοις καὶ ἐν τοῖς παλισκίοις καὶ ἐν τοῖς εὐείλοις καὶ ἐν τοῖς ἀπνόοις καὶ εὐπνόοις· ὀζωδέστερα γὰρ καὶ βραχύτερα καὶ ἧττον εὐθέα τὰ ἐν τοῖς εὐείλοις ἢ τοῖς προσηνέμοις. ὅτι δὲ ἕκαστον ζητεῖ καὶ χώραν οἰκείαν καὶ κρᾶσιν ἀέρος φανερὸν τῷ τὰ μὲν φέρειν ἐνίους τόπους τὰ δὲ μὴ φέρειν μήτε αὐτὰ γιγνόμενα μήτε φυτευόμενα ῥᾳδίως, ἐὰν δὲ καὶ ἀντιλάβηται μὴ καρποφορεῖν, ὥςπερ ἐπὶ τοῦ φοίνικος ἐλέχθη καὶ τῆς αἰγυπτίας συκαμίνου καὶ ἄλλων· εἰσὶ γὰρ πλείω καὶ ἐν πλείοσι χώραις τὰ μὲν ὅλως οὐ φυόμενα τὰ δὲ φυόμενα μὲν ἀναυξῆ δὲ καὶ ἄκαρπα καὶ τὸ ὅλον φαῦλα. περὶ ὧν ἴσως λεκτέον ἐφ' ὅσον ἔχομεν ἱστορίας.

Cap. II. Ἐν Αἰγύπτῳ γάρ ἐστιν ἴδια δένδρα πλείω, ἥ τε συκάμινος καὶ ἡ 2 H. St.
περσέα καλουμένη καὶ ἡ βάλανος καὶ ἡ ἄκανθα καὶ ἕτερ' ἄττα. ἔστι δὲ ἡ μὲν συκάμινος παραπλησία πως τῇ ἐνταῦθα συκαμίνῳ· καὶ γὰρ τὸ φύλλον παρόμοιον ἔχει καὶ τὸ μέγεθος καὶ τὴν ὅλην πρόςοψιν, τὸν δὲ καρπὸν ἰδίως φέρει παρὰ τὰ ἄλλα καθάπερ ἐλέχθη καὶ ἐν τοῖς ἐξ ἀρχῆς· οὐ γὰρ ἀπὸ τῶν βλαστῶν οὐδ' ἀπὸ τῶν ἀκρεμόνων ἀλλ' ἐκ τοῦ στελέχους, μέγεθος μὲν ἡλίκον σῦκον καὶ τῇ ὄψει δὲ παραπλήσιον, τῷ χυλῷ δὲ καὶ τῇ γλυκύτητι τοῖς ὀλύνθοις πλὴν

ἄνοζα] UMVP Sch.; *ἄοζα* Ald. Edd.

κωπεῶνες] *κωπεῶνος* U.

τὰ δὲ μανὰ] Haec addidi e conj.; Schn. *τὰ μανὰ* post *πάχος* addidit. Scalig. post *πάχος* voluit *τὰ ἀραιὰ* inseri, idque fecit H. omisso tamen articulo. St. dedit: *βάθος παχέα εἰσι. τὰ δ' ἀραιὰ σκολ.*

βάθος] Spr. corr. *πλάτος*.

καὶ πυκνότερα] Ald. H. St.; *ἢ τὰ πυκνότερα* de conj. Sch. Sed vocabulum *πυκνός* apud Theo., et *dense satus* vel *crescens* et *densus substantia ligni* significat. Hoc loco ne ambiguum sit, impedit comparativus, idemque correctionem Schneideri damnat, quum sic *ἢ τὰ πυκνὰ* scriptum esse deberet.

5. *καὶ ἐν τοῖς παλ.*] U Ald. H.; *καὶ* om. MV; *καὶ τὰ ἐν τοῖς π.* auctore RConst. St.; *τὰ ἐν τοῖς παλ.* Sch. Ad *ἔχει* subaudias *τὰ δένδρα*; sensus est: *In umbrosis et apricis, silentibus ventosisque locis arbores easdem habent differentias, quas in iis videmus quae dense vel rare satae sunt.*

εὐείλοις] U a pr. m. hic et mox; *εὐηλίοις* Ald. Edd.

καὶ ἐν τοῖς ἀπνόοις καὶ εὐπνόοις] U et M VP, qui vero ante *εὐπνόοις* addunt *ἐν τοῖς*, ut dederat Sch. *καὶ ἐν τοῖς εὐπνόοις* Ald. Edd., omissis verbis *ἀπνόοις καὶ*. Brevius etiam G. *has easdem differentias habent et quae opacis afflatuque permotis nascuntur* qui legisse videtur *παλισκίοις καὶ ἐν τοῖς εὐπνόοις*.

ἢ τοῖς προσηνεμ.] *καὶ τοῖς πρ.* conj. Spr.

τόπους] *τόποις* in ras. U.

γιγνόμενα] U; *γινόμ.* cett.

καὶ ἀντιλάβ.] *καί τι ἀντ.* St.

ἄλλων] e corr. RConst. H. St. Sch.; *ἄλλως* Ald.

ὅλως οὐ — φυόμενα μὲν] dedi de conj.; *ὅλως οὐ φυτευόμενα* U; *ὅλως φυτευόμενα* MVP Ald. H.; *ὅμως φυτευ.* cum RConst. St.; *ὅλως οὐ φυόμενα τὰ δὲ φυτευόμενα* cum supplemento necessario Sch.

λεκτέον] *λεπτέον* Sch.

Cap. II.

ἴδια] corr. RConst. Sch.; *ἔνια* Ald. H.; *ἐν Αἰ. δ' ἐστὶν δένδρα πλείω* St.

συκάμινος] *συκάμνος* Ald. Cam.

περσέα] Ald. Edd. o.; *περσία* P.

ἄκανθα] UMV Sch.; *ἄκανθος* Ald. Edd.

παρόμοιον] U Sch. syll.; *ὅμοιον* MVP St. Sch. cont.; om. Ald. H.

καὶ τὸ μεγ.] *κατὰ τὸ μεγ.* St.

σῦκον] *σύκων* P.

γλυκύτερον πολὺ καὶ κεγχραμίδας ὅλως οὐκ ἔχοντα, πλήθει δὲ πολύν. καὶ πέττειν οὐ δύναται μὴ ἐπικνισθέντα· ἀλλ' ἔχοντες ὄνυχας σιδηροῦς ἐπικνίζουσιν· ἃ δ' ἂν ἐπικνισθῇ τεταρταῖα πέττεται· τούτων δ' ἀφαιρεθέντων πάλιν ἄλλα φύεται καὶ ἄλλα καὶ ἐκ τοῦ αὐτοῦ τόπου μηδὲν παραλλάττοντα· καὶ
2. τοῦθ' οἱ μὲν τρὶς οἱ δὲ πλεονάκις φασὶ γίνεσθαι. πολύοπον δὲ τὸ δένδρον σφόδρα ἐστὶ καὶ τὸ ξύλον αὐτοῦ εἰς πολλὰ χρήσιμον. ἴδιον δὲ ἔχειν δοκεῖ παρὰ τἆλλα· τμηθὲν γάρ ἐστιν εὐθὺς χλωρόν· αὐαίνεται δὲ ἐμβύθιον· εἰς βόθρον δὲ ἐμβάλλουσι καὶ εἰς τὰς λίμνας εὐθύς καὶ ταριχεύουσι· βρεχόμενον δ' ἐν τῷ βυθῷ ξηραίνεται· καὶ ὅταν τελέως ξηρὸν γένηται τότε ἀναφέρεται καὶ ἐπινεῖ καὶ δοκεῖ τότε καλῶς τεταριχεῦσθαι· γίνεται γὰρ κοῦφον καὶ μανόν. ἡ μὲν
3. οὖν συκάμινος ἔχει ταύτας τὰς ἰδιότητας. ἔοικε δέ τις παραπλησία ἡ φύσις εἶναι καὶ τῆς ἐν Κρήτῃ καλουμένης κυπρίας συκῆς· καὶ γὰρ ἐκείνη φέρει τὸν καρπὸν ἐκ τοῦ στελέχους καὶ ἐκ τῶν παχυτάτων ἀκρεμόνων, πλὴν ὅτι βλαστόν τινα ἀφίησι μικρὸν ἄφυλλον ὥσπερ ῥιζίον πρὸς ᾧ γε ὁ καρπός. τὸ δὲ στέλεχος μέγα καὶ παρόμοιον τῇ λεύκῃ, φύλλον δὲ τῇ πτελέᾳ. πεπαίνει δὲ τέτταρας καρποὺς ὅσαιπερ αὐτοῦ καὶ αἱ βλαστήσεις· οὐδένα δὲ πεπαίνει μὴ ἐπι-

κεγχραμίδας] UP2 Sch.; *κεχραμίδας* MV Ald. Dein *ἔχον* et *πολὺ* P.

καὶ—δύναται] *ἀλλ' οὐ π. δύναται* St.

μὴ ἐπικνισθέντα] P2, U cum rasura post *α* ut retulit Amati; *μὴ ἐπικνισθέντος* U secundum Bekker, quod reponi jubet Schn. syll.; *οὐ δυνατου ἐπικνισθέντας ἀλλ' ἔχοντας* V; *οὐ δύναται ἐπικνισθέντας ἀλλ' ἔχοντες* M; *οὐ δύναται ἂν μὴ ἐπικνισθῇ* Ald. Edd.

σιδηροῦς] P2, corr. Sch.; *σιδηρᾶς* Ald. Edd.; *σιδηρὰς* U.

πάλιν ἄλλα φύεται καὶ ἄλλα καὶ ἐκ] U; alterum *καὶ* om. MVP Sch.; *πάλιν ἄλλα φύεται καὶ ἐκ* Ald. Edd.; *πάλιν ἄλλα φύεται καὶ πάλιν ἄλλα ἐκ* P2.

τρὶς] *τρεῖς* P.

παραλλάττοντα] P2; *παραλλάσσοντα* Ald. Edd. o.

2. *πολύοπον*] et U, sed in rasura apparet *ω*.

τἆλλα] U; *τὰ ἄλλα* Ald. Edd.

τμηθὲν] UMVP Edd. post H. e corr. Scalig.; *caesum* G.; *μηθὲν* Ald.

γάρ ἐστιν εὐθὺς χλωρόν etc.] Scripsi de conj. *ἐμβύθιον* pro *εἰς βύθον*, quod UMV P Ald. praebent; dein *βόθυνον* Ald., *βόθρον* UMVP. Malim praeterea *γὰρ ἐμβ. ἢ εἰς* scribi. Gaza: *quod cesum continuo viride est. siccatur autem in profundo aquae. mergitur enim in profundas fodinas stagnaque protinus atque conditur. madefactumque in profundo siccatur. cumque siccum omnino fuerit superfluitat atque innatat.* *τμηθὲν γὰρ ἔτι χλωρὸν, εὐθὺς καταβαίνει τε εἰς βυθὸν* etc. H. et St. cum RConst. Sch. e Plinio 13, 7 dedit: *τμηθὲν γὰρ ἔτι χλωρὸν εὐθὺς εἰς βόθυνον ἐμβάλλουσι καὶ εἰς τὰς λίμνας καὶ ταριχεύουσι· [καὶ τὸ μὲν] εὐθὺς καταβαίνει εἰς βυθόν· βρεχόμενον* etc. Excerpt. P2 sic: *τοῦτο τὸ δένδρον τμηθὲν μέν ἐστι χλωρὸν. ταριχεύοντες δὲ καὶ εἰς βυθὸν βάλλοντες ἐκεῖσε ἀναίνεται καὶ ἀνανθὲν ἐπινήχεται.*

ἀναφέρεται] Ald Edd.; *ἀναφέ*, rasura, dein *ρεται* U.

ἐπινεῖ] e correctione in U.

τότε καλῶς τεταριχεῦσθαι] U, Schn.; *καλῶς τότε τετ.* Ald. Edd.; *τότε καρρο τεταρ.* V; *τότε καρροτεταριχεῦσθαι* M1; *τότε καρ-ρο τεταριχεῦσθαι* M2 ubi *ρο* ab alia manu superadscriptum.

3. *δέ τις παραπλ.*] UMV; *δὲ παραπλησία τις* Ald. Edd. o.

πρὸς ᾧ γε] *πρὸς ᾧ*, omisso *γε*, RConst. H. St. Sch.; *πρόσω δὲ* UMV Ald.

λεύκῃ] *συκῇ* St.

ὅσαιπερ αὐτοῦ] de corr. RConst. Casaub. et Meurs. Cret. p. 104. Theophr. p. 91 et sic apud Athenae. 3. p. 77, ubi antea *ὅσαι παρ' αὐτοῦ* scriptum erat; *ὅσαιπερ αὐτῆς* Schn.; *ὅσα ὑπὲρ αὐτοῦ* Ald.; *ὅσα ὑπὲρ αὐτοῦ* U; *ὅσα ὑπὲρ αὐτὸν* M; *ὅσαι ὑπὲρ αὐτῆς* St. omisso deinde *καί*.

οὐδένα] e corr. RConst. H. St. Schn.; *οὐδενὶ* MVP Ald.; *οὐδενὶ* U.

δὲ] MVP Sch.; *δὴ* U, Ald. H. St.

ἐπιτμηθέντος] *ἐπικνισθέντος* St.

τμηθέντος τοῦ ἐρινοῦ καὶ ἐκρυέντος τοῦ ὀποῦ. ἡ δὲ γλυκύτης προςεμφερὴς
τῷ σύκῳ καὶ τὰ ἔσωθεν τοῖς ἐρινοῖς· μέγεθος ἡλίκον κοκκύμηλον. ταύτῃ δὲ 4.
παραπλησία καὶ ἣν οἱ Ἴωνες κερωνίαν καλοῦσιν· ἐκ τοῦ στελέχους γὰρ καὶ
αὕτη φέρει τὸν πλεῖστον καρπὸν ἀπὸ δὲ τῶν ἀκρεμόνων ὥσπερ εἴπομεν ὀλίγον.
ὁ δὲ καρπὸς ἔλλοβος ὃν καλοῦσί τινες αἰγύπτιον σῦκον διημαρτηκότες· οὐ γί-
νεται γὰρ ὅλως περὶ Αἴγυπτον ἀλλ' ἐν Συρίᾳ καὶ ἐν Ἰωνίᾳ δὲ καὶ περὶ Κνίδον
καὶ Ῥόδον. ἀείφυλλον δὲ καὶ ἄνθος ἔκλευκον ἔχον καί τι βαρύτητος, μὴ με-
τεωρίζον δὲ σφόδρα καὶ ὅλως ἐκ τῶν κάτω παραβλαστητικὸν ἄνωθεν δὲ ὑπο-
ξηραινόμενον. ἔχει δὲ ἅμα καὶ τὸν ἕνον καὶ τὸν νέον καρπόν· ἀφαιρουμένου
γὰρ θατέρου μετὰ κύνα καὶ ὁ ἕτερος εὐθὺς φανερὸς κυούμενος· κύει γὰρ ὥς-
περ βότρυς ὁμοσχήμων· εἶτ' αὐξηθεὶς ἀνθεῖ περὶ ἀρκτοῦρον καὶ ἰσημερίαν·
ἀπὸ τούτου δὴ διαμένει τὸν χειμῶνα μέχρι κυνός. ἡ μὲν οὖν ὁμοιότης ὅτι
στελεχόκαρπα καὶ ταῦτα· διαφοραὶ δὲ αἱ εἰρημέναι πρὸς τὴν συκάμινον. ἐν 5.
Αἰγύπτῳ δ' ἐστὶν ἕτερον ἡ περσέα καλούμενον, τῇ μὲν προσόψει μέγα καὶ κα-
λὸν, παραπλήσιον δὲ μάλιστα τῇ ἀπίῳ καὶ φύλλοις καὶ ἄνθεσι καὶ ἀκρεμόσι καὶ
τῷ ὅλῳ σχήματι· πλὴν τὸ μὲν ἀείφυλλον τὸ δὲ φυλλοβόλον. καρπὸν δὲ φέρει
πολὺν καὶ πᾶσαν ὥραν· περικαταλαμβάνει γὰρ ὁ νέος ἀεὶ τὸν ἕνον· πέττει δὲ
ὑπὸ τοὺς ἐτησίας· τὸν δ' ἄλλον ὠμότερον ἀφαιροῦσι καὶ ἀποτιθέασιν. ἔστι
δὲ τὸ μέγεθος ἡλίκον ἄπιος τῷ σχήματι δὲ πρόμακρος ἀμυγδαλώδης, χρῶμα

ἐρινοῦ] Ald. Edd.; *ἐρίνου* Sch.; *ἐρινοῦ* (superscr. ε) U.

ἐρινοῖς] P Ald. Edd.; *ἐρίνοις* Sch.; *ἐρινοῖς* (superscr. ε) U; *ἐρινεῖς* Cam.

κοκκύμηλον] E Plinio cum RConst. Saracenus ad Dioscor. p. 25 *ὄης μῆλον* substitui vult, quos refutavit Schn. Illud tuentur Dioscor. et Athenaeus. Post *μέγεθος* ex Athenaeo *δὲ* inseruit Schn. — Exc. P2: *πεπαίνει δὲ οὐκ αὐτὴ, ἀλλα τε γινόμενος ἐκτέμνεται· καὶ ἐκρυέντος τοῦ καρ·ποῦ* (margo *ὀποῦ*) *πάλιν ποιεῖ, μέχρι καὶ τρίς. ἡ δὲ γλυκ.*, quae, etsi valde conturbata, faciunt tamen ut locum non satis integrum esse suspicer.

4. *τοῦ στελ.*] UMVP Sch.; *τοῦ* om. Ald. Edd.

τὸν πλεῖστον] *τῶν πλεῖστον* H.

ἀλλ' ἐν Συρίᾳ] U, Sch.syll.; *ἀλλὰ περὶ Συρίαν* Ald. Edd. o.

Ἰωνίᾳ δὲ, καὶ περὶ] U, Schn. de conj. e Plin. 18, 8; *καὶ* om. Ald. Edd.; *I. δὲ ἡ περὶ* MV.

ἔκλευκον] U Sch.syll.; *λευκὸν* Ald. Edd.

καί τι βαρύτητος] Sch.syll., i. e, *et forti quodam odore praeditum. καιτι βαρύτητος* U; *καὶ ἔτι βαρύτατος* MV; *καὶ ἔτι βαρύτατον* Ald. H. Sch.; *καὶ δ' ἔστι βαρύτατον* St.

μετεωρίζον] Ald. Edd.; *radice leviter sublimi* G, unde *μετεωρόρριζον* cum RConst. Sch. Sed recte habet *μετεώριζον non valde altum petens*, i. e. *non in magnam altitudinem accrescens*, cujus rei causas subjungit, quod e radice novos semper surculos emittit, pars supera vero exsiccando perit. — *δὲ* om. St.

προβλαστητικὸν] UMV Ald, Sch.syll. Temere cum RConst. *προβλαστικὸν* H. St. Sch.

κυούμενος] *κυο···ύμενος* U. — *ἕτερον* MV.

ὁμοσχήμων] U Ald. H. St.; *ὁμοιοσχήμων* e corr. RConst. Schn. Vox dubia.

δὴ διαμ.] Ald. Edd.; *δὲ δ.* Schn.

ὁμοιότης] *ἐστὶν* add. St.

5. *ἡ περσέα*] UMV Sch.syll.; *ἡ* om. Ald. Edd.; *περσία* P.

καὶ πᾶσαν] UMV Ald. Sch.; *καὶ κατὰ πᾶσαν* H. St. — Post *ὥραν* habent Ald. et Edd. *πεπαίνει*, quod Schn. in Cur. sec. p. 481 ejici jubet. Repugnat enim quod sequitur *πέττει ὑπὸ τοὺς ἐτησίας*. Videtur e glossa in contextum venisse, vocabuli *πέττει* interpretamento.

τὸν δ'] cum RConst. H. St. Sch.; *τὸ δ'* M Ald.

ἀποτιθέασιν] corr. RConst. e vers. G. *recondunt*, H. St. Sch.; *τιθέασι* UMV Ald.

ἄπιος] UMV Ald. H.; *ἄπιον* St. Sch.

δὲ αὐτοῦ ποιῶδες. ἔχει δὲ ἐντὸς κάρυον ὥσπερ τὸ κοκκύμηλον πλὴν ἔλαττον πολὺ καὶ μαλακώτερον· τὴν δὲ σάρκα γλυκεῖαν σφόδρα καὶ ἡδεῖαν καὶ εὔπεπτον· οὐδὲν γὰρ ἐνοχλεῖ πολὺ προςενεγκαμένων. εὔριζον δὲ τὸ δένδρον καὶ μήκει καὶ πάχει καὶ πλήθει πολύ· ἔχει δὲ καὶ ξύλον ἰσχυρὸν καὶ καλὸν τῇ ὄψει μέλαν ὥςπερ ὁ λωτός, ἐξ οὗ καὶ τὰ ἀγάλματα καὶ τὰ κλινία καὶ τραπέζια
6. καὶ τἆλλα τὰ τοιαῦτα ποιοῦσιν. ἡ δὲ βάλανος ἔχει μὲν τὴν προςηγορίαν ἀπὸ τοῦ καρποῦ· φύλλον δ᾽ αὐτῇ παραπλήσιον τῷ τῆς μυρίκης πλὴν προμηκέστερον. ἔστι δὲ τὸ δένδρον εὐπαθὲς μὲν καὶ εὐμέγεθες οὐκ εὐφυὲς δὲ ἀλλὰ παρεστραμμένον. τοῦ καρποῦ δὲ τοῖς κελύφεσι χρῶνται οἱ μυρεψοὶ κόπτοντες· εὐῶδες γὰρ ἔχει τὸν δὲ καρπὸν αὐτὸν ἀχρεῖον. ἔστι δὲ καὶ τῷ μεγέθει καὶ τῇ ὄψει παραπλήσιος τῷ τῆς καππάριος· ξύλον δὲ ἰσχυρὸν καὶ εἰς ἄλλα τε
7. χρήσιμον καὶ εἰς τὰς ναυπηγίας. τὸ δὲ καλούμενον κουκιόφορόν ἐστιν ὅμοιον τῷ φοίνικι· τὴν δὲ ὁμοιότητα κατὰ τὸ στέλεχος ἔχει καὶ τὰ φύλλα· διαφέρει δὲ ὅτι ὁ μὲν φοῖνιξ μονοφυὲς καὶ ἁπλοῦν ἐστι, τοῦτο δὲ προςαυξηθὲν σχίζεται καὶ γίνεται δίκρουν, εἶτα πάλιν ἑκάτερον τούτων ὁμοίως· ἔτι δὲ τὰς ῥάβδους βραχείας ἔχει σφόδρα καὶ οὐ πολλάς. χρῶνται δὲ τῷ φύλλῳ καθάπερ τῷ φοίνικι πρὸς τὰ πλέγματα. καρπὸν δὲ ἴδιον ἔχει πολὺ διαφέροντα καὶ μεγέθει καὶ σχήματι καὶ χυλῷ· μέγεθος μὲν γὰρ ἔχει σχεδὸν χειροπληθές· στρογγύλον δὲ καὶ οὐ προμήκη· χρῶμα ἐπίξανθον· χυλὸν δὲ γλυκὺν καὶ εὔστομον·

ποιῶδες] *ποιῶδες ι* in rasura U; *ποῶδες* Ald. Edd. o.

ὥςπερ τὸ] U Ald. St. Sch.; *ὥ. τὸν* H.; — *κουκὶ μῆλον* conj. RConst.

πολὺ προςενεγκαμένων] Ald. Cam. et *πολυπροςενεγκαμένων* U; *πολὺ προςενεγκάμενον* Bas. St.; *πολὺν προςενεγκάμενον* Schn.; *nil enim eos qui nimium comederint tentat* G.; *προςενεγκαμένων* est Genitivus absolutus.

πλήθει πολὺ] *πλήθει πολλῷ τῶν ῥιζῶν* St.

κλινία] MVP Sch.syll.; *κλινεία ει* in ras. U; *κλινίδια* Ald. Edd.

τἆλλα] U Sch.syll.; *τὰ ἄλλα* Ald. Edd.

6. *αὐτῇ*] *αὐτῆς* St.

τῷ] *καὶ* P.

μυρίκης] U Sch.syll.; idem probaverunt Dalec. et Saracen.; *μυρρίνης* MVP Ald. Edd. o., ac probat Spreng., qui *βάλανον* *Hyperanthera Moringa* Vahl esse statuit, quarum folia cum *myrti* sed non cum *tamaricis* foliis possint comparari. Idem ad Dioscor. IV. 160 *βάλανος μυρεψικὴ καρπός ἐστι δένδρου μυρίκῃ ἐοικότος* adnotat haec: „Mallem *μυρρίνῃ* legere, maxime e Theophr. hist. 4, 2 auctoritate, ni codd. et interpretes omnes refragarentur.“ Vera utique scriptura *μυρρίνης* esse videtur.

εὐπαθὲς] U. Schn.syll. (ubi ex errore *εὐπαγὲς* scriptum); *ἀπαθὲς* Ald. H. Sch.; *ἀσαπὲς* St.; *Illesa magnaque arbor est* G. Mihi *εὐπαχὲς* vera scriptura esse videtur.

εὐφυὲς] U, St. e conj.; *ἀφυὲς* MV Ald.; *εὐθυφυὲς* Vo. cod. Cas. et Schn.; *non recta* G.

γὰρ ἔχει] *γάρ τι ἔχει* H. St.

αὐτὸν] U Schn.; *sed fructus ipse inutilis* G.; *αὐτοῦ* Ald. H.; *ὁ δὲ καρπὸς αὐτοῦ ἀχρεῖος* P et St.

παραπλήσιος] U, Sch. cum RConst.; *παραπλήσιον* Ald. Edd.

7. *κουκιόφορον*] U Ald. Edd. o.; *cuciofera* G.; *κυκιοφόρος* P2 Plin. 13, 9 s. 18 *At e diverso cuci in magno honore*, unde Salm. Ex. p. 574. *κοῦκι διάφορον* scribi jubet. Ceterum *κουκιοφόρον* Sch.

μονοφυὲς] Ald. Edd. o.; *ὁμοφυὲς* U.

ἁπλοῦν] *ἀ . . . οῦν ἐστὶ* M2.

δίκρουν] e corr. Salmas. et Scal. St.; *δίκροον* Schn.; *fitque bifida* G.; *ἄκρον* U Ald. H. — Antea *φοίνιξ* U.

ἑκάτερον τούτων] UMV Ald. Sch.syll.; *τούτων ἑκ.* H. St.

σφόδρα] solus dat U, Sch.syll.

φύλλῳ] corr. Sch. cum Bod.; *φοίλλῶι* (λ superscr.) U, ubi latet vera scriptura; *φλοιῷ* Ald. Edd.

τῷ φοίνικι] MV Ald. Schn.; *τῷ φοίνικος* corr. RConst.; *τοῦ φοίνικος φύλλῳ* H. St.

χυλῷ] Cam. H. St. Sch.; *κυλῷ* Ald. Bas.

προμήκη] UMV Ald. Repete *καρπὸν ἔχει*. *προμήκες* H. St.; *πρόμηκες* Sch.

χρῶμα ἐπίξ.] UMV; *χρ. δὲ ἐπ.* Ald. Edd.

οὐκ ἀθρόον δὲ ὥςπερ ὁ φοῖνιξ ἀλλὰ κεχωρισμένον καθ' ἕνα· πυρῆνα δὲ μέγαν καὶ σφόδρα σκληρὸν ἐξ οὗ τοὺς κρίκους τορνεύουσι τοὺς εἰς τοὺς στρωματεῖς τοὺς διαποικίλους· διαφέρει δὲ πολὺ τὸ ξύλον τοῦ φοίνικος· τὸ μὲν γὰρ μανὸν καὶ ἰνῶδες καὶ χαῦνον τὸ δὲ πυκνὸν καὶ βαρὺ καὶ σαρκῶδες καὶ διατμηθὲν οὖλον σφόδρα καὶ σκληρόν ἐστιν. καὶ οἵ γε δὴ Πέρσαι πάνυ ἐτίμων αὐτὸ καὶ ἐκ τούτου τῶν κλινῶν ἐποιοῦντο τοὺς πόδας. ἡ δὲ ἄκανθα καλεῖται μὲν διὰ 8. 3H.St.
τὸ ἀκανθῶδες ὅλον τὸ δένδρον εἶναι πλὴν τοῦ στελέχους· καὶ γὰρ ἐπὶ τῶν ἀκρεμόνων καὶ ἐπὶ τῶν βλαστῶν καὶ ἐπὶ τῶν φύλλων ἔχει. μεγέθει δὲ μέγα, καὶ γὰρ δωδεκάπηχυς ἐξ αὐτῆς ἐρέψιμος ὕλη τέμνεται. διττὸν δὲ τὸ γένος αὐτῆς, ἡ μὲν γάρ ἐστι λευκὴ ἡ δὲ μέλαινα· καὶ ἡ μὲν λευκὴ ἀσθενής τε καὶ εὔσηπτος· ἡ δὲ μέλαινα ἰσχυροτέρα τε καὶ ἄσηπτος δι' ὃ καὶ ἐν ταῖς ναυπηγίαις χρῶνται πρὸς τὰ ἐγκοίλια αὐτῇ. τὸ δένδρον δὲ οὐκ ἄγαν ὀρθοφυές. ὁ δὲ καρπὸς ἔλλοβος καθάπερ τῶν χεδροπῶν ᾧ χρῶνται οἱ ἐγχώριοι πρὸς τὰ δέρματα ἀντὶ κηκίδος. τὸ δ' ἄνθος καὶ τῇ ὄψει καλὸν ὥστε καὶ στεφάνους ποιεῖν ἐξ αὐτοῦ, καὶ φαρμακῶδες δι' ὃ καὶ συλλέγουσιν οἱ ἰατροί. γίνεται δὲ ἐκ ταύτης καὶ τὸ κόμμι· καὶ ῥέει καὶ πληγείσης καὶ αὐτόματον ἄνευ σχάσεως. ὅταν δὲ κοπῇ μετὰ τρίτον ἔτος εὐθὺς ἀναβεβλάστηκε· πολὺ δὲ τὸ δένδρον ἐστὶ καὶ δρυμὸς μέγας περὶ τὸν θηβαϊκὸν νόμον οὗπερ καὶ ἡ δρῦς καὶ ἡ περσέα πλείστη καὶ ἡ ἐλάα. καὶ γὰρ ἡ ἐλάα περὶ τοῦτον τὸν τόπον ἐστί, τῷ ποταμῷ 9.
μὲν οὐκ ἀρδευομένη, πλείω γὰρ ἢ τριακόσια στάδια ἀπέχει, ναματιαίοις δ' ὕδασιν· εἰσὶ γὰρ κρῆναι πολλαί. τὸ δ' ἔλαιον οὐδὲν χεῖρον τοῦ ἐνθάδε πλὴν κακωδέστερον διὰ τὸ σπανίοις τοῖς ἁλσὶ χρῆσθαι φύσει. τὸ δὲ ξύλον τοῦ δέν-

κρίκους] H. St. Sch.; *anulos versicolores* G.; *κρόκους* UM Ald.

τορνεύουσι] *τρονεύουσι* U.

χαῦνον] dedi de conj. Schneideri; *χλωρὸν* Ald. Edd.

Πέρσαι πάνυ ἐτίμων] Ald. Edd.; *περσαις πάνυ ἕτοιμον* M.

αὐτὸ] P Edd. post H.; *αὐτὸν* UMV Ald.

8. *ἡ δὲ ἄκανθα καλεῖται*] Schn.; *Ι' δέα κα λεῖται* cum rasura in utraque lacuna U; *ἡδέα, καλεῖται* M Ald.: *ἡ δὲ ἀ καλεῖται* V Bas.; *ἡ δέα καλεῖται* Cam. Lacunam post literam *α* prima supplevit mBas. *ἡ δὲ ἄκανθος*, quacum H. St.

ἐπὶ τῶν ἀκρεμόνων καὶ] Sch. syll. ex U, ubi *ἀκρεμόνωι* scriptum; om. ceteri.

φύλλων] *φύλων* U.

δωδεκάπηχυς] et U, sed *υ* in ras.

ἐξ αὐτῆς] U, e conj. RConst. St. Sch.; *ἐξ αὐτῶν* Ald. H.

ἡ μὲν λευκὴ] U Sch. syll.; *λευκὴ* om. Ald. Edd.

ἐγκοίλια] *ἐγκαίλια* U.

κηκίδος] Sch.; *κικίδος* Ald. Edd. et U sed *ι* prius in ras.

φαρμακῶδες] *φαρμακῶδες ἐστι* St.

σχάσεως] cum RConst. H. St. Sch.; *σχέσεως* Ald.; *σχίσεως* mBas. Cam.

ἀναβεβλάστηκε] Ald. Bas. Cam. H. Errabat Schn. in Ald. Bas. *ἀνεβλάστηκε* scriptum esse affirmans, unde suum *ἀνεβλάστησε* duxit.

ἡ δρῦς] *ἡ δρῦς* U; *ἡ* om. ceteri.

περσέα] M H. St. Sch. Gaza; *περσία* Ald.

πλείστη] corr. RConst. H. St. Sch.; *πλεκτὴ* UMV Ald.; om. G.

9. *σπανίοις τοῖς ἁλσὶ χρῆσθαι φύσει*] dedi de conj.; *σπανίως τοῖς ἁλσὶ χρῆσθαι τῇ φύσει* Ald. Edd.; *τῇ* om. U. *Weil man sich seltener des Salzes bei seiner Bereitung bedient*, Spr. *quoniam natura sale raro utatur* G. Scripsi *σπανίοις* ut sensus sit: *quod sale raro utuntur natura*, i. e. *quod terra ipsis sal admodum rarum suppeditat.*

10. δρου καὶ σκληρὸν καὶ παραπλήσιον τεμνόμενον τὴν χρόαν τῷ λωτίνῳ. ἄλλο δέ τι δένδρον ἡ κοκκυμηλέα, μέγα μὲν τῷ μεγέθει καὶ τὴν φύσιν τοῦ καρποῦ ὅμοιον τοῖς μεσπίλοις καὶ τὸ μέγεθος παραπλήσιον πλὴν ἔχοντα πυρῆνα στρογγύλον· ἄρχεται δὲ ἀνθεῖν μηνὸς Πυανεψιῶνος τὸν δὲ καρπὸν πεπαίνει περὶ ἡλίου τροπὰς χειμερινάς· ἀείφυλλον δ' ἐστίν. οἱ δὲ περὶ τὴν θηβαΐδα κατοικοῦντες διὰ τὴν ἀφθονίαν τοῦ δένδρου ξηραίνουσι τὸν καρπὸν καὶ τὸν πυρῆνα

11. ἐξαιροῦντες κόπτουσι καὶ ποιοῦσι παλάθας. ὕλημα δὲ ἴδιόν τι φύεται περὶ Μέμφιν, οὐ κατὰ φύλλα καὶ βλαστοὺς καὶ τὴν ὅλην μορφὴν ἔχον τὸ ἴδιον ἀλλ' εἰς τὸ συμβαῖνον περὶ αὐτὸ πάθος· ἡ μὲν γὰρ πρόςοψις ἀκανθώδης ἐστὶν αὐτοῦ καὶ τὸ φύλλον παρόμοιον ταῖς πτερίσιν· ὅταν δέ τις ἅψηται τῶν κλωνίων ὥςπερ ἀφαυαινόμενα τὰ φύλλα συμπίπτειν φασὶν εἶτα μετά τινα χρόνον ἀναβιώσκεσθαι πάλιν καὶ θάλλειν. καὶ τὰ μὲν ἴδια τῆς χώρας, ὅσ' ἂν ᾖ δένδρα τις ἢ θάμνους εἴποι, τά γ' ἐπιφανέστατα ταῦτ' ἐστί. περὶ γὰρ τῶν ἐν τῷ ποταμῷ καὶ τοῖς ἕλεσιν ὕστερον ἐροῦμεν ὅταν καὶ περὶ τῶν ἄλλων ἐνύδρων.

12. ἅπαντα δὲ ἐν τῇ χώρᾳ τὰ δένδρα τὰ τοιαῦτα μεγάλα καὶ τοῖς μήκεσι καὶ τοῖς πάχεσιν· ἐν γοῦν Μέμφιδι τηλικοῦτο δένδρον εἶναι λέγεται τὸ πάχος ὃ τρεῖς ἄνδρες οὐ δύνανται περιλαμβάνειν. ἔστι δὲ καὶ τμηθὲν τὸ ξύλον καλόν· πυκνόν τε γὰρ σφόδρα καὶ τῷ χρώματι λωτοειδές·

Cap. III. Ἐν Λιβύῃ δὲ ὁ λωτὸς πλεῖστος καὶ κάλλιστος καὶ ὁ παλίουρος καὶ ἔν τισι μέρεσι τῇ τε νασαμωνικῇ καὶ παρ' Ἄμμωνι καὶ ἄλλοις ὁ φοῖνιξ· ἐν δὲ τῇ Κυρηναίᾳ κυπάρισσος καὶ ἐλάαι τε κάλλισται καὶ ἔλαιον πλεῖστον.

10. *τοῦ καρποῦ*] om. UMV Ald. E versione Gazae, *fructum ferens natura et magnitudine mespilis proximum,* et Plinio 13, 10 supplevit Scalig. et Edd. post H.

ἔχοντα πυρῆνα] UMV Sch.syll.; *ἔχον τὸν πυρῆνα* Ald. Edd.

ἀείφυλλον] corr. Scalig. cum G., *nec folia dimittit,* et Plin. l. l., H. St. Sch.; *φύλλον* UMV Ald.

11. *ὕλημα*] e corr. Scalig. H. St. Sch. et cod. Cas.; *materia quaedam peculiaris* G.; *οἴδημα* M Ald. et U ubi *ι* in rasura.

οὐ κατὰ—ἔχον τὸ ἴδιον] corr. Sch.; *οὗ καὶ* UMV; *ὃ καὶ* P Ald. Edd. Dein *ἔχοντ' ἴδιον* M; *ἔχον τὸ ἴδιον* U; *ἔχει ἴδιον* P; *ἔχει οὐ τὸ ἴδιον* Ald. H.; *ἔχει οὐ κατ' αὐτὸ ἴδιον* St. Salmas. Exerc. p. 380 *ἔχει οὐ τῶν ἰδίων* conjecit.

πτερίσιν] UMP2 Ald. Cam. Sch.syll.; *πτέρισιν* St.; *πτερύσιν* V Bas.; *πτερύξιν* e conj. RConst. H. et Schn.

ἀφαυαινόμενα] corr. Scal. H. St. Sch.; *ἀφαυλινόμενα* UMVP2 Ald.; *ἀφαμβλυνόμενα* Vo.

ὅσ' ἂν ᾖ δένδρα] e corr. RConst. Schn. et St.; *ὡς ἀνάδενδρα* U; *ὅσ' ἂν εἰ δ.* M; *ὡςὰν εἰ* V Ald. et G. qui *tanquam si quis* vertit; *ἴσ' ἂν ᾖ δ.* H. Mihi *ὅσα γ' ἂν δ.* scribendum esse videtur.

τά γ' ἐπιφανέστατα] U Sch.syll.; *τὰ γὰρ ἐπιφανέστερα* MV Ald. Edd.; *τὰ ἐπιφανέστερα* Sch.cont.

ἕλεσιν] *ἐλεσιν* U.

12. *ἅπαντα δὲ*] Hanc paragraphum huc non pertinere manifestum est. Schn. suspicatur pertinere ad descriptionem *ἀκάνθης*; sed commodius in fine § 10, quae de *κοκκυμηλέα* agit, adderentur.

Μέμφιδι] *μέμφι* U.

τηλικοῦτο] U Sch.syll.; *τηλικοῦτον* Ald. Edd.

Cap. III.

νασαμωνικῇ] Ald. Edd.; *nassamonico agro* G. *circa Nasamonas* Plin. 13, 6; *ναμασωνικῇ* UM.

Ἄμμωνι] *Ἀμμωνικαὶ* M.

ἄλλοις] *ἐν ἄλλοις* St.

φοῖνιξ] *φοίνιξ* U.

κυπάρισσος] Ald. Edd.; *κυπαρισας* U; *κυπάρισος* M2 V.

καὶ ἐλάαι τε κ.] scripsi de conj.; *καὶ ἐλαῖα τε κ.* U; *καὶ ἐλαία τε κ.* MV; *ἐλαίαι τε κ.* Ald. Edd.; *καὶ ἐλαία κ.* Sch.; *καὶ ἐλαῖαι τε* P.

ἰδιώτατον δὲ πάντων τὸ σίλφιον· ἔτι κρόκον πολὺν ἡ χώρα φέρει καὶ εὔοσμον. ἔστι δὲ τοῦ λωτοῦ τὸ μὲν ὅλον δένδρον ἴδιον εὐμέγεθες ἡλίκον ἄπιος ἢ μικρὸν 4. H. St. ἔλαττον· φύλλον δὲ ἐντομὰς ἔχον καὶ πρινῶδες· τὸ μὲν ξύλον μέλαν. γένη δὲ αὐτοῦ πλείω διαφορὰς ἔχοντα τοῖς καρποῖς· ὁ δὲ καρπὸς ἡλίκος κύαμος, πεπαίνεται δὲ ὥσπερ οἱ βότρυες μεταβάλλων τὰς χροιάς· φύεται δὲ καθάπερ τὰ μύρτα παρ' ἄλληλα πυκνὸς ἐπὶ τῶν βλαστῶν· ἐσθιόμενος δ' ὁ ἐν τοῖς Λωτοφάγοις καλουμένοις γλυκὺς καὶ ἡδὺς καὶ ἀσινὴς καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθός· ἡδίων δ' ὁ ἀπύρηνος, ἔστι γὰρ καὶ τοιοῦτόν τι γένος· ποιοῦσι δὲ καὶ οἶνον ἐξ αὐτοῦ. πολὺ δὲ τὸ δένδρον καὶ πολύκαρπον· τό γ' οὖν Ὀφέλλου στρα- 2.
τόπεδον ἡνίκα ἐβάδιζεν εἰς Καρχηδόνα καὶ τούτῳ φασὶ τραφῆναι πλείους ἡμέρας ἐπιλιπόντων τῶν ἐπιτηδείων. ἔστι μὲν οὖν καὶ ἐν τῇ νήσῳ τῆς Λωτοφαγίας Φάριδι καλουμένῃ πολύς· αὕτη δ' ἐπίκειται καὶ ἀπέχει μικρόν· οὐ μὴν οὐθέν γε μέρος ἀλλὰ πολλῷ πλεῖον ἐν τῇ ἠπείρῳ· πλεῖστον γὰρ ὅλως ἐν τῇ Λιβύῃ καθάπερ εἴρηται τοῦτο καὶ ὁ παλίουρός ἐστιν· ἐν γὰρ Εὐεσπερίσι τού-

ἰδιώτατον] *ἰδιώτερον* M.

ἔτι] dedi de conj.; *ἐπεὶ* Ald. Edd. o. et puncto suppos. U.

κρόκον πολὺν] U Sch.syll.; *κόπρον πολὺν* MV; *κόπρον πολλὴν* Ald.; *ὀπὸν πολὺν* H. St. cum RConst.; *τοῦτο πολὺ* Vin. Sch.; — *laserpitium est. nam id quoque copiosum ea regio profert* G.; *κύπρον π.* conj. Scal.

τὸ μὲν ὅλον δένδρον ἴδιον εὐ.] sic Schn. in Syll. apposita litera U, sed nec in Auctario nec in Appendice eam lectionem e cod. U commemoravit, forsan casu praetermissam. *τὸ μὲν ἴδιον γένος εὐ.* Ald. Edd.; *τὸ* om. St.

ἔλαττον] *ἐλάττον* U.

πρινῶδες] P2 Ald. H. Sch. G. et Plin.; *πριονῶδες* cum RConst. St.

τὸ μὲν] *καὶ τὸ μὲν* St. — Hunc locum excerpsit Schol. ad Plat. Civ. p. 186 ed. Ruhnk.

παρ' ἄλληλα] *παράλληλα* Ald.; *adversa inter se* G.

πυκνὸς ἐπὶ] e corr. RConst. H. Schn.; *πυκνῶς ἐπὶ* St.; *πυκνός ἐςι* Ald.

ὁ ἐν] U Sch.syll.; *ὁ* om. ceteri.

καλουμένοις] Ald. Edd.; *καλούμενος* UM.

γλυκὺς καὶ] U et Schol. Plat. l. l. Sch. syll.; *καὶ* om. cett.

ἀγαθός] Schol. Plat. l. l. St. Sch.; *ἀγαθόν* Ald. H.

δ' ὁ ἀπύρηνος] U P2 Schol. Plat. l. l., St. Sch.; *δὲ ἀπύρηνος* cum Cam. H; *δὲ ὁ πύρηνος* P Ald.

ἔστι γὰρ] *ἔτι γὰρ* Schn.cont. correct. in Syll.

τοιοῦτόν τι γ.] corr. Sch.; *τοι. τὸ γ.* UMV; *τοιοῦτον γ.* Ald. P2.

αὐτοῦ] *αὐτῶν* St.

2. *γ' οὖν*] *γ'* solus dat U; in compendio P2.

φασὶ τραφῆναι πλείους] Inter *φασὶ* et *πλείους* lacuna, superscriptum *τραφῆναι* in U, quae vox in cett. deest; *τούτῳ τραφῆναι φασὶ πλείονας* P2. Antea *καὶ* om. P.

ἐπιλιπόντων] P2; *ὑπολειπόντων* U Sch. syll.; *ἀπολειπόντων* Ald. Edd. o.

ἐπιτηδείων] M1 addit *χρη* cum lacuna, V et Ald. *χρῆσθαι*, quod H. St. et Sch. cum Scal. in *κεχρῆσθαι* mutaverunt, nos cum U omittimus.

ἐν τῇ] *ἐν* om. H.

τῆς Λωτοφαγίας] auctore Scal. H. St. Sch.; *τηι Λωτοφαγίαι* U et subscripto iota M Ald. Vix dubito quin pro *τῇ λωτοφαγίᾳ φάριδι* scriptum fuerit *τῇ λωτοφαγιτίδι*.

ἐπίκειται] U Sch.syll.; *ἀπόκειται* Ald. Edd.; *ἀπόκειται μικρὸν ἀπὸ γῆς· οὐ* St. — *αὕτη* Sch.; *αὐτὴ* Ald. Edd.

οὐθέν γε μέρος] U Sch.syll.; *οὐθὲν μέρος* MV ac fere G.; *ἐνθαῦτα μόνον* Ald. Edd.

πολλῷ πλεῖον] U; *π. πλείων* MV Edd.; *πολῷ πλείων* Ald.

εἴρηται τοῦτο καὶ] *εἴρηται πλήσιον τούτου καὶ* etc. St.

Ἐυεσπερίσι] UMV Ald. Sch.; *apud hesperides* G. unde ded. *Ἑσπερίσι* H. St.

τοις καυσίμοις χρῶνται. διαφέρει δὲ οὗτος ὁ λωτὸς τοῦ παρὰ τοῖς Λωτοφά-
3. γοις. ὁ δὲ παλίουρος θαμνωδέστερος τοῦ λωτοῦ· φύλλον δὲ παρόμοιον ἔχει τῷ ἐνταῦθα, τὸν δὲ καρπὸν διάφορον· οὐ γὰρ πλατὺν ἀλλὰ στρογγύλον καὶ ἐρυθρὸν, μέγεθος δὲ ἡλίκον τῆς κέδρου ἢ μικρῷ μεῖζον· πυρῆνα δὲ ἔχει οὐ συνεσθιόμενον καθάπερ ταῖς ῥοαῖς· ἡδὺν δὲ τὸν καρπόν· καὶ ἐάν τις οἶνον ἐπι-
4. χέῃ καὶ αὐτὸν ἡδίω γίνεσθαί φασι καὶ τὸν οἶνον ἡδίω ποιεῖν. ἔνιοι δὲ τὸ τοῦ λωτοῦ δένδρον θαμνῶδες εἶναι καὶ πολύκλαδον, τῷ στελέχει δὲ εὐπαχές· τὸν δὲ καρπὸν μέγα τὸ κάρυον ἔχειν· τὸ δ' ἐκτὸς οὐ σαρκῶδες ἀλλὰ δερματωδέστερον· ἐσθιόμενον δὲ οὐχ οὕτω γλυκὺν ὡς εὔστομον· καὶ τὸν οἶνον ὃν ἐξ αὐτοῦ ποιοῦσιν οὐ διαμένειν ἀλλ' ἢ δύο ἢ τρεῖς ἡμέρας εἶτ' ὀξύνειν. ἡδίω μὲν οὖν τὸν καρπὸν τὸν ἐν τοῖς Λωτοφάγοις, ξύλον δὲ κάλλιον τὸ ἐν Κυρηναίᾳ· θερμοτέραν δὲ εἶναι τὴν χώραν τὴν τῶν Λωτοφάγων· τοῦ ξύλου δὲ τὴν ῥίζαν εἶναι μελαντέραν μὲν πολὺ πυκνὴν δὲ ἧττον καὶ εἰς ἐλάττω χρησίμην· εἰς γὰρ τὰ ἐγχειρίδια καὶ τὰ ἐπικολλήματα χρῆσθαι τῷ ξύλῳ δὲ εἴς τε τοὺς αὐλοὺς καὶ
5. εἰς ἄλλα πλείω. ἐν δὲ τῇ μὴ ὑομένῃ τῆς Λιβύης ἄλλα τε πλείω φύεσθαι καὶ φοίνικας μεγάλους καὶ καλούς· οὐ μὴν ἀλλ' ὅπου μὲν φοῖνιξ ἁλμυρίδα τε εἶναι καὶ ἔφυδρον τὸν τόπον, οὐκ ἐν πολλῷ δὲ βάθει ἀλλὰ μάλιστα ἐπ' ὀργυίαις

καυσίμοις] UMV Sch.; *εἰς καῦσιν* Ald. Edd.

διαφέρει δὲ] Ald. Edd.; *δὲ* om. UMV. „Deinceps vulgo sequebatur descriptio paliuri, eamque demum sequebatur repetita de loto narratio. Ordinem hic a librariis turbatum recte jam olim Scaliger animadvertit. Igitur sectionem 3 et 4 sedem permutare jussi, quod factum credo lectores intelligentes omnes approbaturos esse“ Sch. Restitui tamen ordinem veterem. Quae enim infra de loto adjungit, tanquam in appendice post absolutam de loto et paliuro narrationem, quam ipse pro certa habuit, ex aliorum dictis referuntur. Deinde veteri ordine servato ad verba *ἔνιοι δὲ — εἶναι* commode e verbis mox praegressis repetere licet *φασὶ*, quo transpositis membris, sicut voluit Sch., aegre caremus.

3. *τῆς κέδρου*] corr. RConst. H. Sch.; is vero in Comm. maluit *ἡλίκας τὰς κεδρίδας*, in Syll. *ἡλίκον τὴν κεδρίδα; τὰς κέδρας* U et sine puncto MV; *τὰς κέδρους* Ald.; *τῷ τῆς κέδρου* St.

ταῖς ῥοαῖς] *αἱ τῆς ῥοιᾶς* St.

4. *θαμνῶδες εἶναι*] *φασὶ* add. St.

εὐπαχὲς] corr. RConst. H. St. Sch.; *εὐσταχὲς* U; *εὔσταχες* MP2 Ald.; *εὐσταθὲς* conj. Steph. in Thes.

μέγα τὸ κ.] corr. RConst. Sch.; *μετὰ τὸ κ.* Ald. H.; *μετὰ τοῦ καρύου* St.; *κατὰ τ. κ.* conj. Salm. Ex. p. 729.

τὸ δ'] corr. Sch.; *τὰ δ'* P2 Ald. Edd.

γλυκὺν] corr. Sch.; *γλυκὺ* P2 Ald. Edd.

δερματωδέστερον] PP2 Edd. post H.; *δερματοδ.* Ald.

ὀξύνειν] corr. RConst. H. St. Sch.; *ὀξύνει* UMVP2 Ald.

τὸν ἐν τοῖς] UP2 Sch.syll.; *τὸν* om. Ald. Edd.; *τοῦ ἐν τοῖς* Sch.cont.

κάλλιον] UP2 Sch.syll.; *κάλλιστον* Ald. Edd.

τὸ ἐν κυρ.] H. St. Sch.syll., addito etiam *τῇ* ante *κυρ.*; *τῶ ἐν κυρ.* U; *τοῦ ἐν κυρ.* Ald.; *τὸ ἐν τῇ κυρήνῃ* P2.

τὴν τῶν] UMV Sch.; *τὴν* om. Ald. Edd.

τοῦ ξύλου δὲ] UMV Sch.syll.; *τουδὲ ξ.* Ald. Edd.

αὐλοὺς] P, corr. RConst. e vers. G., *tibiis*, et Plin., H. St. Sch.; *αὐτοὺς* Ald.

5. *Λιβύης*] *λίβυης* Ald. Cam.

φύεσθαι] *φασιν* i. u. add. St.

οὐκ ἐν πολλῷ δὲ βάθει] U; *οὐ δὲ ἐν πολλῷ βάθει* Ald. Edd.; *οὐ* om. P. — Quae sequuntur *ἀλλὰ μάλιστα — μὲν γλυκὺ* desunt in ceteris, praebet solus U, qui *ὀργύαις* exhibet. Exc. P2 sic: *ὅτι ἐν τῇ μὴ ὑομένῃ τῆς λιβύης ἔνθα μὲν εἰσι φοίνικες καὶ ὕδωρ εὑρίσκεται βάθει ἐπ' ὀργυιαῖς τρισὶν εἶτ' οὖν τέταρσιν* — St. fecerat *βάθει σφόδρα; ἐνθάδε ἡδέων καὶ ἁλικῶν [ὑδάτων] πλησίων ὄντων ἀλλ.* — Paulo ante vetus *ἔφυδρον* restitui; *ὕφυδρον* Sch.

τρισίν. τὸ δ' ὕδωρ ἔνθα μὲν γλυκὺ σφόδρα ἔνθα δὲ ἁλυκὸν πλησίον ὄντων ἀλ-
λήλοις· ὅπου δὲ τὰ ἄλλα φύεται ξηρὸν καὶ ἄνυδρον· ἐνιαχοῦ δὲ καὶ τὰ φρέατα
εἶναι ἑκατὸν ὀργυιῶν, ὥστε ὑποζυγίοις ἀπὸ τροχηλιᾶς ἀνιμᾶν· δι' ὃ καὶ θαυ-
μαστὸν πῶς ποτε ὠρύχθη τηλικαῦτα βάθη· τὸ δ' οὖν τῶν ὑδάτων τῶν ὑπὸ τοὺς
φοίνικας καὶ ἐν Ἄμμωνος εἶναι διαφορὰν ἔχον τὴν εἰρημένην. φύεσθαι δὲ
ἐν τῇ μὴ ὑομένῃ τὸ θάμνον πολὺ καὶ ἄλλα ἴδιά τε καὶ πλείω γίνεσθαι ἐνταῦθα,
καὶ πτῶκα καὶ δορκάδα καὶ στρουθὸν καὶ ἕτερα τῶν θηρίων. ἀλλὰ ταῦτα μὲν 6.
ἄδηλον εἰ ἐκτοπίζει που πιόμενα· διὰ γὰρ τὸ τάχος δύναται μακράν τε καὶ τα-
χὺ παραγενέσθαι, ἄλλως τε κεἰ δι' ἡμερῶν τινων πίνουσι καθάπερ καὶ τὰ
ἥμερα παρὰ τρίτην ἢ τετάρτην ποτίζεται ταῦτα· τὸ δὲ τῶν ἄλλων ζώων οἷον
ὄφεων σαυρῶν καὶ τῶν τοιούτων φανερὸν ὅτι ἄποτα. τοὺς δὲ Λίβυας λέγειν
ὅτι τὸν ὄνον ἐσθίει ταῦτα ὃς καὶ παρ' ἡμῖν γίνεται, πολύπουν τε καὶ μέλαν συ-
σπειρώμενον εἰς ἑαυτό· τοῦτον δὲ πολύν τε γίνεσθαι σφόδρα καὶ ὑγρὸν τὴν
φύσιν εἶναι. δρόσον δὲ ἀεὶ πίπτειν ἐν τῇ μὴ ὑομένῃ πολλήν, ὥστε δῆλον ὅτι 7.
τὸν μὲν φοίνικα καὶ εἴ τι ἄλλο φύεται ἐν ἀνύδροις τό τε ἐκ τῆς γῆς ἀνιὸν ἐκ-
τρέφει καὶ πρὸς τούτῳ ἡ δρόσος. ἱκανὴ γὰρ ὡς κατὰ μεγέθη καὶ τὴν φύσιν αὐ-
τῶν ξηρὰν οὖσαν καὶ ἐκ τοιούτων συνεστηκυῖαν. καὶ δένδρα μὲν ταῦτα πλεῖ-
στα καὶ ἰδιώτατα. περὶ δὲ τοῦ σιλφίου λεκτέον ὕστερον ποῖόν τι τὴν φύσιν.

ἁλυκὸν] U Sch.syll.; *ἁλικῶν* Ald. Edd.; *ἁλικὸν* Vo.

πλησίον] *πλήσίον* U.

ὅπου δὲ] MVPP2 Sch.; *ὅ. τε* U Ald. Edd.

φύεται ξηρόν] UMVP2 Sch.; *φ. καὶ ξ.* Ald. Edd.

φρέατα] *φασιν* i. u. add. St.

ὀργυιῶν] P2 Ald.; *ὀργυῶν* St.

τροχηλιᾶς] *τροχηλιᾶς* U.

τηλικαῦτα βάθη] *τηλικούτῳ βάθει* P2, quod nescio an praestare oporteat.

τὸ δ' οὖν] *ταὐτὸ δ' οὖν* St.

Ἄμμωνος] *φασὶν* add. St.

διαφορὰν ἔχον] U Sch.syll.; *δ. δὲ ἔχον* Ald. H.; *δ. δὲ ἔχειν* St.; *δ. τε ἔχον* Sch.cont.

ὑομένῃ] *τῆς Λιβύας* add. St.

θάμνον] UMV Ald. Sch.syll.; *θύμον* m Bas. H. St. Sch.

δορκάδα] *δορκάδων* M.

6. *διὰ — παραγενέσθαι*] om. G.; *μακράν τε* Sch. ex UMVP, om. Ald. H. St. — *παραγενέσθαι* U P Ald.; *παραγίνεσθαι* MV H. St. Sch.; *πάχος* MV.

κεἰ] *καὶ* Ald. H.; *καὶ εἰ* St. Sch.

καθάπερ] UMV Ald. Sch.; *καὶ καθάπερ* H. St.

ταῦτα] U Ald. Sch.syll., in cont. secluserat h. v.; *τινα* H., om. St.

τὸ δὲ τῶν ἄλλων ζ.] U Sch.syll.; *τὰ δὲ τῶν ζ.* Ald. H. Sch.; *τινὰ δὲ τῶν ζ.* St.

Λίβυας] *Λίβύας* U.

ἐσθίει] corr. Scal. et RConst. Sch.; *ἐσθίειν* Ald. Edd.

ὃς καὶ] Vo. RConst. St. Sch.; *qui et apud nos* G.; *ὥστε* MV; *ὡς καὶ* Ald. H.

πολύπουν τε] U Sch.syll.; *π. τι* Ald. Edd.

συσπειρώμενον] Sch.; *συσπειρόμενον* Ald. Edd.

πολύν τε] U Sch.syll.; *τε* om. cett.

7. *πίπτειν*] U Sch.syll.; om. cett.

ἐν ἀνύδροις] Ald. Edd.; *ἐφύδροις* U; *ἐφ' ὕδροις* M; *ἐφύδρους* V. — Post *ἀνιόν* addit i. u. *ὕδωρ* St.

τούτῳ] UMV Sch.; *τούτοις* Ald. H.; *τοῦτο* St.

ὡς κατὰ] cum Scal. St.; *pro magnitudine* G.; *ὥστε τὰ* Ald. H. et Sch. addito *τρέφειν* post *συνεστηκυῖαν.*

ξηρὰν οὖσαν] Ald. Edd.; *ξηρα νοῦσαν,* in rasura *ι* fuit, U. — Deinceps *καὶ* U et Sch. e vers. G., om. Ald. Edd.

δένδρα — ἰδιώτατα] U Sch.syll; *ταῦτα* om. Ald. Edd., ejus loco *οὖν ἐκεῖ* scr. St. — Sch.cont. fecerat: *καὶ τὰ μὲν τῆς Λιβύης δένδρα τὰ πλεῖστα καὶ ἰδιώτατα ταῦτα καὶ τοιαῦτα.* — *δένδροι* Cam.

Cap. IV. Ἐν δὲ τῇ Ἀσίᾳ παρ' ἑκάστοις ἴδι' ἄττα τυγχάνει· τὰ μὲν γὰρ φέρουσιν αἱ χῶραι τὰ δ' οὐ φύουσιν· οἷον κιττὸν καὶ ἐλάαν οὔ φασιν εἶναι τῆς Ἀσίας ἐν τοῖς ἄνω τῆς Συρίας ἀπὸ θαλάττης πένθ' ἡμερῶν· ἀλλ' ἐν Ἰνδοῖς φανῆναι κιττὸν ἐν τῷ ὄρει τῷ Μηρῷ καλουμένῳ, ὅθεν δὴ καὶ τὸν Διόνυσον εἶναι μυθολογοῦσι. δι' ὃ καὶ Ἀλέξανδρος ἐξ Ἰνδίας λέγεται ἀπιὼν ἐστεφανωμένος κιττῷ εἶναι καὶ αὐτὸς καὶ ἡ στρατιά· τῶν δὲ ἄλλων ἐν Μηδίᾳ μόνον· περικλείειν γὰρ αὕτη δοκεῖ καὶ συνάπτειν πως τῷ πόντῳ. καίτοι γε διεφιλοτιμήθη Ἅρπαλος ἐν τοῖς παραδείσοις τοῖς περὶ Βαβυλῶνα φυτεύων πολλάκις καὶ πραγματευόμενος· ἀλλ' οὐδὲν ἐποίει πλέον· οὐ γὰρ ἐδύνατο ζῆν ὥσπερ τἆλλα τὰ ἐκ τῆς Ἑλλάδος. τοῦτο μὲν οὖν οὐ δέχεται ἡ χώρα διὰ τὴν τοῦ ἀέρος κρᾶσιν· ἀναγκαίως δὲ δέχεται καὶ πύξον καὶ φίλυραν· καὶ γὰρ περὶ ταῦτα πονοῦσιν οἱ ἐν τοῖς παραδείσοις. ἕτερα δὲ ἴδια φέρει καὶ δένδρα καὶ ὑλήματα·

Cap. IV.

ἐλάαν] de conj. Sprengelii; *ἐλάτην* Edd. o. Primum enim *piceam* in Asia superiori frequentem esse peregrinatores asseverant, deinde veterum scriptorum testimonia plura exstant quae in istis locis oleam non crescere testantur; cf. Herod. 1, 19, 3. Xenoph. Anab. 6, 2, 6 et 4, 4, 13. Arr. Ind c. 40. Nearch. in Huds. Geogr. min. 1. p. 22. 24. 34. Strab. 11. p. 508 et 15. p. 181. 188.

ἡμερῶν] *ὁδὸν* add. Sch.

κιττὸν ἐν τῷ] dedi de conj.; *καὶ τὴν ἐν τ.* UMV Sch. syll.; *καὶ τῷ* Ald. H.; *καὶ ἐν τ.* St. Et sequentia docent hoc loco de *hedera* sermonem esse, et confirmatur id loco Arriani Anab. 5, 1, ubi Macedones, inventa hedera diu desiderata, sertis ex ea factis capita coronasse Dionysoque hymnos cantasse narrantur. Quodsi hedera hic non nominaretur, *φανῆναι* ad utramque supra dictarum et *oleam* et *hederam* referendum esset. Quum vero quae hic narrantur ad solam *hederam* pertineant, necessario ea nominanda erat.

δι' ὃ — στρατία] Locum spinosum sicut potui de conjectura emendavi. *διὸ καὶ Ἀλ. ἀπ' ἐξοδίας ποτὲ ἀπιὼν ἐστεφανώμενος εἶτα μεῖναι* U; *διὸ καὶ ὁ Ἀλ. ἀπ' ἐξοδίας ποτὲ ἀπιὼν ἐστεφανόμενος εἶτα μὴ εἶναι* etc. MVP; *διὸ καὶ ὁ Ἀλ. ἐξ ἰνδίας ποτὲ ἀπιὼν ἐστεφανωμένος ·X· εἶτα μὴ εἶναι* Ald. Schn.; pro *εἶτα μὴ εἶναι* posuit *ᾔει* Cam. H., *κιττῷ ᾔει* St. Primum *ποτὲ* vitiosum certe alieno loco positum est. Solus RConst., quem secutus est St., vidit in verbis vitiosis nomen hederae latere; quam vero proposuit emendationem parum commoda est, nec meliora excogitavit Scal. Verba *ἀπ' ἐξοδίας*, quae in Syllabo restituit Sch., quomodo intelligi velint non reperio. Neque tamen Aldinae lectio *ἐξ Ἰνδίας* satis tuta esse videtur, quum fere soleant *ἐξ Ἰνδῶν* dicere. Spreng. pro *εἶτα μὴ εἶναι* e Diod. 17, 106 et Plut. Alex. c. 67 *ἑπτὰ ἡμέρας* legendum esse censet.

στρατιά] Ald. Edd.; *στρατεία* UM.

τῶν δὲ — μόνον] cum Codd. Ald., in MVP *μηδεία*. Haec mutila esse apertum est. Ut nunc sunt non possunt aliter explicari nisi: *τῶν δ' ἄλλων τῆς Ἀσίας χωρῶν κιττὸν ἐν Μηδίᾳ μόνον εἶναί φασι;* causa editur in commate sequenti, quod Media ponto (i. e. euxino) tanquam accingit se atque adjacet, ut probabile videatur hederam, quae Graeciae indigena est, trans pontum euxinum eo usque pertinere, in ulteriore Asia vero, Indis modo exceptis, non inveniri. Sed minime haec explicatio probanda, neque quae nunc sequuntur *καίτοιγε* etc. sic cum illis conveniunt. Verba igitur corrupta esse videntur. Comparato loco Plut. Sympos. 3, 2. p. 648, ubi hic Theophrasti locus laudatur, nonnulla hic excidisse vel alium in locum transposita esse colligit Sch. Totum comma *τῶν δ' ἄλλων — πόντῳ* omisit G. Alii alia conati sunt. RConst.: *τῶν δ' ἄλλων (χωρῶν τῆς Ἀσίας) μὴ εἶναι ἐν Μ. μ.;* St.: *τῶν δ' ἄλλων ὀρέων ἐν Μ. μ.;* Spr.: *τῶν δ' ἄλλων ἐλαία ἐν Μ. μ.*, vertitque *Von den übrigen Bäumen wächst der Oelbaum in Medien allein; denn er scheint sich bis zum (kaspischen) Meer hin zu erstrecken und daran anzuschliessen.*

περικλείειν] U Sch.; *περικλίειν* Ald.; *περικλίνειν* conj. Spr.

αὕτη] corr. Schn.; *αὐτῆι* U; *αὐτὴ* Ald.; *αὐτὴν* St.

τἆλλα] Sch.; *τάλλα* Ald.

οὖν οὐ δέχεται] corr. Schn. addito *οὐ* quod sensus postulat; *οὐ* om. U Ald.; *οὐ δέχ.* m Bas. Vo. H. St. — Ceterum *τοῦτο* U Ald. Edd.; *τοῦτον* Sch.

καὶ ἔοικεν ὅλως ὁ τόπος ὁ πρὸς ἀνατολὰς καὶ μεσημβρίαν ὥςπερ καὶ ζῶα καὶ φυτὰ φέρειν ἴδια παρὰ τοὺς ἄλλους· οἷον ἥ τε μηδία χώρα καὶ Περσὶς ἄλλα τε ἔχει πλείω καὶ τὸ μῆλον τὸ μηδικὸν ἢ τὸ περσικὸν καλούμενον. ἔχει δὲ τὸ δένδρον τοῦτο φύλλον μὲν ὅμοιον καὶ σχεδὸν ἴσον τῷ τῆς ἀνδράχλης, ἀκάνθας δὲ οἵας ἄπιος ἢ ὀξυάκανθος, λείας δὲ καὶ ὀξείας σφόδρα καὶ ἰσχυράς· τὸ δὲ μῆλον οὐκ ἐσθίεται μέν, εὔοσμον δὲ πάνυ καὶ τὸ φύλλον τοῦ δένδρου· κἂν εἰς ἱμάτια τεθῇ τὸ μῆλον ἄκοπα διατηρεῖ. χρήσιμον δ' ἐπειδὰν τύχῃ τις πεπωκὼς φάρμακον καὶ πρὸς στόματος εὐωδίαν· ἐὰν γάρ τις ἑψήσῃ ἐν ζωμῷ ἢ ἐν ἄλλῳ τινὶ τὸ ἔσωθεν τοῦ μήλου ἐκπιέσῃ εἰς τὸ στόμα καὶ καταροφήσῃ ποιεῖ τὴν ὀσμὴν ἡδεῖαν. σπείρεται δὲ τοῦ ἦρος εἰς πρασιὰς ἐξαιρεθὲν τὸ σπέρμα διειργασμένας ἐπιμελῶς, εἶτα ἀρδεύεται διὰ τετάρτης ἢ πέμπτης ἡμέρας· ὅταν δὲ ἁδρυνθῇ διαφυτεύεται πάλιν τοῦ ἔαρος εἰς χωρίον μαλακὸν καὶ ἔφυδρον καὶ οὐ λίαν λεπτόν· φιλεῖ γὰρ τὰ τοιαῦτα. φέρει δὲ τὰ μῆλα πᾶσαν ὥραν· τὰ μὲν γὰρ ἀφήρηται τὰ δὲ ἀνθεῖ τὰ δὲ ἐκπέττει. τῶν δὲ ἀνθῶν ὅσα ὥςπερ εἴπομεν ἔχει καθάπερ ἠλακάτην ἐκ μέσου τιν' ἐξέχουσαν ταῦτά ἐστι γόνιμα, ὅσα δὲ μὴ ἄγονα. σπείρεται δὲ καὶ εἰς ὄστρακα διατετρημένα καθάπερ καὶ οἱ φοίνικες. τοῦτο μὲν οὖν ὥςπερ εἴρηται περὶ τὴν Περσίδα καὶ τὴν Μηδίαν

2. *ὅλως*] *ὅλος* St.

ζῶα] *ζῶια* U.

καὶ περσὶς] U Ald.; *καὶ ἡ π.* St. et Schn. ex Athenaeo.

ἢ τὸ περσ.] UP Athenae. Schn.syll.; *εἴτ' οὖν π.* P2; *καὶ τὸ π.* Ald. Edd.; *τὸ καὶ π.* conj. Salm. Exerc. p. 666.

τῷ τῆς ἀνδράχλης] *τῷ τῆς δάφνης ἀνδράχνης καὶ καρύας* Athenae.; *τ. τ. ἀνδράχνης* Ald. Edd. o.

ἀκάνθας] UMV Ald. St. Schn.; *ἀκάνθαν* solus H.

ἄπιος ἢ ὀξυ.] Salm. Ex. p. 675 *ἢ* omitti jubet. „*ἄπιος* hic *ἀντὶ τοῦ ἀχρὰς*" RConst.; *ἄπιος ἀχρὰς ἢ ὀξυακ.* St.

εὔοσμον δὲ] *εὐ. καὶ* St.

καὶ τὸ φύλλον] UMVP2Ald. Sch.syll.; *καὶ αὐτὸ τὸ φ.* H. St.; *καὶ αὐτὸ καὶ τὸ φ.* Schn. cont. ex Athenaeo.

τύχῃ τις πεπωκὼς] dedi ex Athenaeo.; *τύχῃ πεπωκὼς* UMVP; *τύχῃ πεπωκώτις* Ald.; *τ. πεπωκώ, τις* Cam.; *τ. πεπωκώς τις* Bas. H. St. Sch. Athenaeus l. l.: *ἐπειδὰν καὶ τύχῃ τις πεπωκὼς θανάσιμον φάρμακον· δοθὲν γὰρ ἐν οἴνῳ διακόπτει τὴν κοιλίαν καὶ ἐξάγει τὸ φάρμακον. καὶ πρὸς στόματος εὐωδίας.*, unde Schn. Th. verba sic interpolanda esse censet *φάρμακον [θανάσιμον· δοθὲν γὰρ ἐν οἴνῳ διακόπτει τὴν κοιλίαν καὶ ἐξάγει τὸ φάρμακον]· καὶ* etc.

καὶ πρὸς] Schn. ex Athen.; *ἢ πρὸς* Ald. Edd.

ἐν ζωμῷ] Schn. ex Athen.; *ἐν τῷ ζωμῷ* Ald. Edd.

τὸ ἔσωθεν] UMV Ald. Sch.syll.; *τὸ ἔξωθεν* H. St. Sch.; *εἴσω* Athen.; *interna pomi* G.

3. *διειργασμένας*] St. Sch.; *καὶ εἰργασμένας* M Ald.; *διειργασμένον* cum Athenaeo H. — *ἐξαιρεθὲν* Ald. Edd.; *ἐξαιρεθῇ* MV.

ἁδρυνθῇ] corr. Schn. in Comm. et Syll.; *ἁδράν τι* UMV; *ἁδρόν* (cum cruce) *τι* Ald.; *ἁδρὸν ᾖ* Athenae. Vo. Sch.cont. St.

διαφυτεύεται] Athenae. Vo. St. Sch.; *διαφυτεύηται* Ald. H.

πάλιν] *πάλην* Ald. sol.

φιλεῖ γὰρ τὰ τοιαῦτα] Schn.; *φιλεῖ ποιεῖ γὰρ τὰ τοιαῦτα* UM et omisso *τὰ* V; *φιλοποιεῖ γὰρ τὰ τοι.* P; *φιλεῖ γὰρ τοιαῦτα* Ald. Edd. — Dein *φέροι* M1.

ἀφήρηται] PP2; ex Athen. Scal. H. St. Sch.; *ἀφήρῃ* Ald.

ἐκπέττει] *ἐκπέπτει* H. St.; *ἐκπίπτει* Edd. Athenaei.

καθάπερ καὶ] UMVP Sch.; *καὶ* om. Ald. Edd.

Μηδίαν] Ald. Edd.; *μήδειαν* U; *μηδείαν* M.

4.4H St. ἐστίν. ἡ δὲ ἰνδικὴ χώρα τήν τε καλουμένην ἔχει συκῆν ἣ καθίησιν ἐκ τῶν κλάδων τὰς ῥίζας ἀν' ἕκαστον ἔτος ὥςπερ εἴρηται πρότερον· ἀφίησι δὲ οὐκ ἐκ τῶν νέων ἀλλ' ἐκ τῶν ἔνων καὶ ἔτι παλαιοτέρων· αὗται δὲ συνάπτουσαι τῇ γῇ ποιοῦσιν ὥςπερ δρύφακτον κύκλῳ περὶ τὸ δένδρον, ὥστε γίνεσθαι καθάπερ σκηνὴν οὗ δὴ καὶ εἰώθασι διατρίβειν. εἰσὶ δὲ αἱ ῥίζαι φυόμεναι διάδηλοι πρὸς τοὺς βλαστούς· λευκότεραι γὰρ καὶ δασεῖαι καὶ σκολιαὶ καὶ ἄφυλλοι. ἔχει δὲ καὶ τὴν ἄνω κόμην πολλὴν καὶ τὸ ὅλον δένδρον εὔκυκλον καὶ τῷ μεγέθει μέγα σφόδρα· καὶ γὰρ ἐπὶ δύο στάδια ποιεῖν φασι τὴν σκιάν· καὶ τὸ πάχος τοῦ στελέχους ἔνια πλειόνων ἢ ἑξήκοντα βημάτων, τὰ δὲ πολλὰ τετταράκοντα. τὸ δέ γε φύλλον οὐκ ἔλαττον ἔχει πέλτης, καρπὸν δὲ σφόδρα μικρὸν ἡλίκον ἐρέβινθον ὅμοιον δὲ σύκῳ· δι' ὃ καὶ ἐκάλουν αὐτὸ οἱ Ἕλληνες συκῆν· ὀλίγον δὲ θαυμαστῶς τὸν καρπὸν οὐχ ὅτι κατὰ τὸ τοῦ δένδρου μέγεθος ἀλλὰ καὶ τὸ ὅλον.

5. φύεται δὲ καὶ τὸ δένδρον περὶ τὸν Ἀκεσίνην ποταμόν. ἔστι δὲ καὶ ἕτερον δένδρον καὶ τῷ μεγέθει μέγα καὶ ἡδύκαρπον θαυμαστῶς καὶ μεγαλόκαρπον· καὶ χρῶνται τροφῇ τῶν Ἰνδῶν οἱ σοφοὶ καὶ μὴ ἀμπεχόμενοι. ἕτερον δὲ οὗ τὸ φύλλον τὴν μὲν μορφὴν πρόμηκες τοῖς τῶν στρουθῶν πτεροῖς ὅμοιον, ἃ παρατίθενται παρὰ τὰ κράνη, μῆκος δὲ ὡς διπηχυαῖον. ἄλλο τέ ἐστιν οὗ ὁ καρπὸς μακρὸς καὶ οὐκ εὐθὺς ἀλλὰ σκολιὸς ἐσθιόμενος δὲ γλυκύς. οὗτος ἐν τῇ κοιλίᾳ δηγμὸν ἐμποιεῖ καὶ δυσεντερίαν δι' ὃ Ἀλέξανδρος ἀπεκήρυξε μὴ ἐσθίειν. ἔστι δὲ καὶ ἕτερον οὗ ὁ καρπὸς ὅμοιος τοῖς κρανέοις. καὶ ἕτερα δὲ πλείω καὶ διαφέροντα τῶν ἐν τοῖς Ἕλλησιν ἀλλ' ἀνώνυμα. θαυμαστὸν δ' οὐδὲν τῆς ἰδιότητος· σχεδὸν γὰρ ὥς γε δή τινές φασιν οὐθὲν ὅλως τῶν δένδρων οὐδὲ τῶν ὑλημάτων οὐδὲ τῶν ποιωδῶν ὅμοιόν ἐστι τοῖς ἐν τῇ Ἑλλάδι πλὴν ὀλίγων.

4. *ἐκ τῶν κλ.*] *ἐκ τοῦ κλ.* St.

ὥςπερ εἴρηται] Cf. 1, 7, 3.

δρύφακτον] MVP et U, qui *δρύφάκτον* exhibet; *δρύφρακτον* Ald. Edd. o.

οὗ δὴ καὶ] dedi e conj.; *αἷς δ. κ.* UMV Ald.; *ὑφ' αἷς δ. κ.* H. St. Sch.; *quo etiam morari homines solent* G. Ceterum *καὶ* om. M1.

καὶ ἄφυλλοι] dedi e conj. Dalecampii; *καὶ δίφυλλοι* UV Ald. St. Sch.; *δίφυλλοι* omisso *καὶ* M H.

καὶ τὴν] UMV Sch.; *καὶ* om. Ald. H.

ἔνια] P2 Ald. H. Sch.; *ἐνίοις* St.; *ἐνίοτε* conj. Dalec. Schn. mavult *ἐνίαις*.

ἑξήκοντα — τετταράκοντα] *ἓξ — τεττάρων* corr. Salm. Ex. 715.

ἐρέβινθον] corr. St. Sch.; *ἐρέβινθος* Ald. H.

ὅμοιον δὲ] *μορφὴν* add. St.

σύκῳ] UMVPP2 Ald. St. Sch.; *σύκη* Bas.; *σύκα* Cam. H.

ὀλίγον] *καὶ* anteposuit Sch.

θαυμαστῶς] *θαυμαστὸν* P.

Ἕλληνες] *ἕλληνηνες* U; *ἕληνες* P2.

φύεται δὲ καὶ] *καὶ* solus habet U.

5. *καὶ μὴ ἀμπεχόμενοι*] P Schn.syll.; *καὶ μὴ ἀπεχόμενοι* UMV; *καὶ ἀπεχόμενοι* Ald. Edd.; *οὐκ ἀμπεχόμενοι* conj. Salmas. Ex. p. 210; *γρ. ἀπεχόμενοι* P in marg.

τοῖς τ. στρ.] *καὶ* anteposuit St.

ἐν τῇ] *γὰρ τῇ* P.

ἐμποιεῖ] U Sch.syll.; *ποιεῖ* Ald. Edd.

δι' ὃ Ἀλέξανδρος] UMV; *διὸ καὶ ὁ Ἀ.* Ald. Edd.; *διὸ καὶ Ἀ.* Sch.syll.

ἔστι δὲ καὶ] UMV; *καὶ* om. Ald. Edd.; *ἔτι δὲ καὶ* Schn.

κρανέοις] Ald. H.; *κρανείοις* St.; *κρανίοις* Schn. in Syll., i. e. fructibus *τῆς κρανείας*, quem sequitur Spr. qui vertit *Cornellen*.

οὐθὲν ὅλ.] UP Sch.syll.; *οὐδὲν ὅλ.* Ald. Edd.

ὅμοιόν ἐστι] *ὅμοιον δ' ἐστὶ* MP.

ἴδιον δὲ καὶ ἡ ἐβένη τῆς χώρας ταύτης· ταύτης δὲ δύο γένη, τὸ μὲν εὔξυλον 6.
καὶ καλὸν τὸ δὲ φαῦλον. σπάνιον δὲ τὸ καλὸν θάτερον δὲ πολύ. τὴν δὲ χρόαν
οὐ θησαυριζομένη λαμβάνει τὴν εὔχρουν ἀλλ' εὐθὺς τῇ φύσει. ἔστι δὲ τὸ δέν-
δρον θαμνῶδες ὥσπερ ὁ κύτισος. φασὶ δ' εἶναι καὶ τέρμινθον, οἱ δ' ὅμοιον 7.
τερμίνθῳ, ὃ τὸ μὲν φύλλον καὶ τοὺς κλῶνας καὶ τἆλλα πάντα ὅμοια ἔχει τῇ
τερμίνθῳ τὸν δὲ καρπὸν διάφορον· ὅμοιον γὰρ ταῖς ἀμυγδαλαῖς. εἶναι γὰρ καὶ
ἐν Βάκτροις τὴν τέρμινθον ταύτην καὶ κάρυα φέρειν ἡλίκα ἀμύγδαλα διὰ τὸ μὴ
μεγάλα καὶ τῇ ὄψει δὲ παρόμοια, πλὴν τὸ κέλυφος οὐ τραχὺ, τῇ δ' εὐστομίᾳ
καὶ ἡδονῇ κρείττω τῶν ἀμυγδάλων. δι' ὃ καὶ χρῆσθαι τοὺς ἐκεῖ μᾶλλον. ἐξ 8.
ὧν δὲ τὰ ἱμάτια ποιοῦσι τὸ μὲν φύλλον ὅμοιον ἔχει τῇ συκαμίνῳ τὸ δὲ ὅλον
φυτὸν τοῖς κυνορόδοις ὅμοιον. φυτεύουσι δὲ ἐν τοῖς πεδίοις αὐτὸ κατ' ὄρχους,
δι' ὃ καὶ πόρρωθεν ἀφορῶσι ἄμπελοι φαίνονται. ἔχει δὲ καὶ φοίνικας ἔνια
μέρη πολλούς. καὶ ταῦτα μὲν ἐν δένδρου φύσει. φέρει δὲ καὶ σπέρματα ἴδια 9.
τὰ μὲν τοῖς χεδροποῖς ὅμοια τὰ δὲ τοῖς πυροῖς καὶ ταῖς κριθαῖς. ἐρέβινθος μὲν
γὰρ καὶ φακὸς καὶ τἆλλα τὰ παρ' ἡμῖν οὐκ ἔστιν· ἕτερα δ' ἐστὶν ὥστε παρα-
πλήσια ποιεῖν τὰ ἑψήματα καὶ μὴ διαγιγνώσκειν ὥς φασιν ἂν μή τις ἀκούσῃ.
κριθαὶ δὲ καὶ πυροὶ καὶ ἄλλο τι γένος ἀγρίων κριθῶν ἐξ ὧν καὶ ἄρτοι ἡδεῖς καὶ
χόνδρος καλός. ταύτας οἱ ἵπποι ἐσθίοντες τὸ πρῶτον διεφθείροντο, κατὰ μι-
κρὸν δὲ οὖν ἐθισθέντες ἐν ἀχύροις οὐδὲν ἔπασχον. μάλιστα δὲ σπείρουσι τὸ 10

6. *ἐβένη*] Ald. Edd.; *ἐβέννη* UP.
ταύτης] seclusit Sch.syll.
θάτερον] H. St. Sch.; *θατέρου* MP Ald.
θησαυριζομένη] corr. H. St. Sch.; *θησαυριζομένην* UMV Ald.; *recondita* G. An *θησαυριζόμενον* scriptum fuit?
τὸ δένδρον θαμνῶδες] Sic libri. Schn., quod apud Plinium 12, 4 s. 9 plura leguntur, quae ex hoc Theophrasteo loco ducta esse videntur, hunc mutilum et lacunosum ratus sic interpolavit: *δένδρον ἔχον τὸ στέλεχος λεῖον, τὸ δὲ ἕτερον θαμνῶδες*. Sed debebat scribere: *ἔστι δὲ τὸ μὲν δένδρον* vel *δενδρῶδες* etc. ut in Commentario praecepit. Sed minime hoc probari potest; etenim Theo. si genera hoc modo distinguere voluisset eam differentiam ab initio exposuisset, sic fere: *τὸ μὲν δενδρῶδες εὔξυλον καὶ καλὸν, τὸ δὲ θαμνῶδες ὥσπερ ὁ κύτισος φαῦλον*. Praeterquam quod Plinius saepe veris falsa immiscuit, vix dubium quin iis quae a Theophrasto petivit alia etiam et ab aliis auctoribus dicta adtexuerit.
κύτισος] mBas. H. St. Sch., G. et Plin.; *ὁ τικὸς* in ras. quatuor literarum vestigia U, *ὁ κυντικὸς* MV Ald.
7. *τέρμινθον*] *τούρμινθον* ac dein *τουρμίνθῳ* P2.
ὅμοιον τερμίνθῳ] UMV Schn.; *τῇ* interserunt Ald. H., *τι τῇ* St.
ταῖς ἀμυγδαλαῖς] *τοῖς ἀμυγδάλοις* St.
ἡλίκα ἀμύγδαλα] U Sch.syll.; *τὰ* interserunt P2 Ald. Edd.
διὰ — μεγάλα] *διότι μὴ* — St. Sch. ut spuria seclusit. Equidem pro corruptis habeo.
πλὴν τὸ κέλυφος — εὐστομίᾳ] U; Sch. syll. om. *οὐ*; om. ceteri.
ἡδονῇ] *ἡ ἡδονὴ* U Ald. Edd.; *τῇ ἡδονῇ* Sch.syll.
κρείττω] dedi de conj.; *κρείττων* Ald. Edd.
διὸ καὶ χρῆσθαι] H. St. Schn.; *διὸ κεχρῆσθαι* UMP2 Ald.
8. *τὸ μὲν φ.*] *ταῦτα μὲν φ.* St.
τὸ δὲ ὅλον φυτὸν] *calyce pomi cynorrhodo* Plin. 12 s. 13, unde Bod. *τὸν δὲ κύτινον* vel *τὸν δὲ κύτινον τοῦ μήλου* conjecit: illud dedit St.
ὄρχους] *ὀρχούς* U; *αὐτὰ* pro *αὐτὸ* scripsit St.
9. *τἆλλα τὰ*] Ald. Edd.; *τὰ* om. UMV. — Laudat haec Apollon. Hist. Mir. s. 32.
διαγιγνώσκειν] U; *διαγιν.* Ald. Edd.
κριθαὶ] Hic nonnulla excidisse ostendit Schn. ex 8. 4, 2.
ἄλλο τι] M St. Sch.; *ἀλλ' ὅτι* Ald. H.
οἱ ἵπποι] *τῶν Ἑλλήνων* add. mBas. Sch. cum G.
10. *μάλιστα δὲ*] U Sch.syll.; *μᾶλλον δὲ* Ald. Edd.

καλούμενον ὄρυζον ἐξ οὗ τὸ ἕψημα. τοῦτο δὲ ὅμοιον τῇ ζειᾷ καὶ περιπτισθὲν οἷον χόνδρος εὔπεπτον δέ, τὴν ὄψιν πεφυκὸς ὅμοιον ταῖς αἴραις καὶ τὸν πολὺν χρόνον ἐν ὕδατι, ἀποχεῖται δὲ οὐκ εἰς στάχυν ἀλλ' οἷον φόβην ὥσπερ ὁ κέγχρος καὶ ὁ ἔλυμος. ἄλλο δὲ ὃ ἐκάλουν οἱ Ἕλληνες φακόν· τοῦτο δὲ ὅμοιον μὲν τῇ
11. ὄψει καὶ τὸ βούκερας, θερίζεται δὲ περὶ Πλειάδος δύσιν. διαφέρει δὲ καὶ αὕτη ἡ χώρα τῷ τὴν μὲν φέρειν ἔνια τὴν δὲ μὴ φέρειν· ἡ γὰρ ὀρεινὴ καὶ ἄμπελον ἔχει καὶ ἐλάαν καὶ τὰ ἄλλα ἀκρόδρυα· πλὴν ἄκαρπον τὴν ἐλάαν, καὶ σχεδὸν καὶ τὴν φύσιν μεταξὺ κοτίνου καὶ ἐλάας ἐστὶ καὶ τῇ ὅλῃ μορφῇ· καὶ τὸ φύλλον
12. τοῦ μὲν πλατύτερον τοῦ δὲ στενότερον. ταῦτα μὲν οὖν κατὰ τὴν Ἰνδικήν. ἐν δὲ τῇ Ἀρίᾳ χώρᾳ καλουμένῃ ἄκανθά ἐστιν ἐφ' ἧς γίνεται δάκρυον ὅμοιον τῇ σμύρνῃ καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ· τοῦτο δὲ ὅταν ἐπιλάμψῃ ὁ ἥλιος καταρρεῖ. πολλὰ δὲ καὶ ἄλλα παρὰ τὰ ἐνταῦθα καὶ ἐν τῇ χώρᾳ καὶ ἐν τοῖς ποταμοῖς γίνεται. ἐν ἑτέροις δὲ τόποις ἐστὶν ἄκανθα λευκὴ τρίοζος, ἐξ ἧς καὶ σκυτάλια καὶ βακτηρίας ποιοῦσιν· ὀπώδης δὲ καὶ μανή· ταύτην δὲ καλοῦσιν Ἡρακλέους. ἄλλο δὲ ὕλημα μέγεθος μὲν ἡλίκον ῥάφανος, τὸ δὲ φύλλον ὅμοιον δάφνῃ καὶ τῷ μεγέθει καὶ τῇ μορφῇ. τοῦτο δ' εἴ τι φάγοι ἐναποθνήσκει. δι' ὃ καὶ ὅπου ἵπποι
13. τούτους ἐφύλαττον διὰ χειρῶν. ἐν δὲ τῇ Γεδρωσίᾳ χώρᾳ πεφυκέναι φασὶν ἓν μὲν ὅμοιον τῇ δάφνῃ φύλλον ἔχον, οὗ τὰ ὑποζύγια καὶ ὁτιοῦν εἰ φάγοι μικρὸν

ὄρυζον] Alibi *ὄρυζα* audit. Cf. Strabo 15 p. 713.

ἕψημα] *ἕψημα* U. Om. haec Gaza. — Deinde St. fecit *καὶ περιπτισθὲν ὅμοιον· καὶ χόνδρος εὔπεπτος.*

καὶ τὸν — ὕδατι] Videtur verbum excidisse, quod sationis vel culturae mentionem habuerit; *πεφυκὸς* vix huc referri potest.

φόβην] H. St. Sch.; *φόρβην* UMV Ald.; *veluti jubam* G. Cf. 8, 3, 4.

ὁ κέγχρος] Hanc vocem in suspicionem traxit Link in Act. Acad. Berol. 1817 p. 137.

ὁ ἔλυμος] Ald. Edd. o.; Schn. in Syll. et Indice correxit *ἡ μελίνη*, quod mihi justo audacius fecisse videtur. Cf. ad 8, 1, 1.

ἄλλο δὲ] *τι* add. St.

τὸ βουκ.] *τῷ β.* St.

δὲ περὶ] UM G. Sch.; *δὲ καὶ περὶ* Ald. Edd.

11. *αὕτη ἡ χώρα*] corr. Sch.; *αὐτῆι τῆι χώραι* U; *αὐτῇ τῇ χώρᾳ* Ald. H.; *αὐτὴ ἡ χώρα* St.

ἄκαρπον] mBas. Vo. H. St. Sch.; *ἄρπον* Ald.

καὶ σχεδὸν — μορφῇ] dedi de conj.; Ald.: *σχεδὸν δὲ καὶ τὴν φύσιν ὥσπερ μεταξὺ κοτίνου καὶ ἐλαίας. ἔστι δὲ τῇ ὅλῃ μορφῇ καὶ τ. φ.*; *καὶ* ab in. addit U; *ἐλαίαν, ἔτι δὲ τῇ ὅλῃ μορφῇ καὶ σχεδὸν τὴν φύσιν ὥσπερ μεταξὺ κοτίνου καὶ ἐλαίας· καὶ τ. φ.* Sch.

τοῦ μὲν πλατ.] *τῆς μὲν πλ.* Sch. — Post *μορφῇ* add. i. u. *διάφορος* St.

στενότερον] U Sch.syll.; *στενώτερον* Ald. Edd.

12. *Ἀρίᾳ*] *Ἀριάνῃ* St.; *ἀρείᾳ* P2.

τῇ σμύρνῃ] corr. Schn. e comparatione 9, 1, 2 et Plin. 12, 8 s. 18. *τῇ ἰλλυρίᾳ* Ald. H.; *τῇ ἐν ἰλλυρίᾳ* St.

ἐν τῇ χ.] Ald. Edd.; *ἐν* om. UMV. An scribendum *κατὰ τὴν χώραν?*

λευκὴ] *ἡ λευκὴ* St.

σκυτάλια] *σκυταλία* U.

Ἡρακλέους] U Sch.syll.; *ἡρακλέα* MV Ald. Cam.; *ἡρακλέαν* Bas.; *ἡρακλείαν* St.; *Herculaceam* G.

ὕλημα] UP2 H. St. Sch.; *ὕλη* MV Ald.

δ' εἴ τι φάγοι ἐναποθνήσκει] Ald.; *εἴ τις* mBas. Edd. o.; *δ' εἴ τι φάγοιεσν ἀποθνήσκει* U; *δὴ τὶ φάγοι ἐναποθ.* M; *δέ τις φάγοι ἐναποθ.* V; *δ' εἴ τις φάγειεν, ἀποθνήσκει* P2.

διὸ — χειρῶν] Nonnulla excidisse suspicatur Sch.

13. *Γεδρωσίᾳ*] H. St. Sch.; *κεδρωσίᾳ* U MV Ald.; *Codrosia* G.

ἓν μὲν] Ald. H. Sch.; *ὃ μὲν* UMV; *ἓν μὲν τι* St.

ὁτιοῦν εἰ φάγοι] Ald. Edd.; *ὁτιοῦν τι φ.* M; *ὅτι οὖν ιβφάγοι* cum pp. quadratis super *ου* et uno sub *β* U; *ὁτιοῦν τι φάγῃ* P.

ἐπισχόντα διεφθείροντο παραπλησίως διατιθέμενα καὶ σπώμενα ὁμοίως τοῖς ἐπιλήπτοις. ἕτερον δὲ ἄκανθάν τινα εἶναι· ταύτην δὲ φύλλον μὲν οὐδὲν ἔχειν πεφυκέναι δ' ἐκ μιᾶς ῥίζης· ἐφ' ἑκάστῳ δὲ τῶν ὄζων ἄκανθαν ἔχειν ὀξεῖαν σφόδρα καὶ τούτων δὲ καταγνυμένων ἢ προστριβομένων ὀπὸν ἐκρεῖν πολὺν ὃς ἀποτυφλοῖ τἄλλα ζῷα πάντα καὶ πρὸς τοὺς ἀνθρώπους εἴ τις προσραίνειεν αὐτοῖς. ἐν δὲ τόποις τισὶ πεφυκέναι τινὰ βοτάνην ὑφ' ᾗ συνεσπειρωμένους ὄφεις εἶναι μικροὺς σφόδρα· τούτοις δ' εἴ τις ἐμβὰς πληγείη θνήσκειν. ἀποπνίγεσθαι δὲ καὶ ἀπὸ τῶν φοινίκων τῶν ὠμῶν εἴ τις φάγοι, καὶ τοῦτο ὕστερον κατανοηθῆναι. τοιαῦται μὲν οὖν δυνάμεις καὶ ζώων καὶ φυτῶν ἴσως καὶ παρ' ἄλλοις εἰσί. περιττότερα δὲ τῶν φυομένων καὶ πλεῖστον ἐξηλλαγμένα 14. 6 H. 6 St.
πρὸς τὰ ἄλλα τὰ εὔοσμα τὰ περὶ Ἀραβίαν καὶ Συρίαν καὶ Ἰνδούς, οἷον ὅ τε λιβανωτὸς καὶ ἡ σμύρνα καὶ ἡ κασία καὶ τὸ ὀποβάλσαμον καὶ τὸ κινάμωμον καὶ ὅσα ἄλλα τοιαῦτα· περὶ ὧν ἐν ἄλλοις εἴρηται διὰ πλειόνων. ἐν μὲν οὖν τοῖς πρὸς ἕω τε καὶ μεσημβρίαν καὶ ταῦτ' ἴδια καὶ ἕτερα δὲ τούτων πλείω ἐστίν.

Cap. V. Ἐν δὲ τοῖς πρὸς ἄρκτον οὐχ ὁμοίως· οὐθὲν γὰρ ὅτι ἄξιον λόγου λέγεται παρὰ τὰ κοινὰ τῶν δένδρων ἃ καὶ φιλόψυχρά τε τυγχάνει καὶ ἔστι καὶ παρ' ἡμῖν, οἷον πεύκη δρῦς ἐλάτη πύξος διοσβάλανος φίλυρα καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτα· σχεδὸν γὰρ οὐδὲν ἕτερον παρὰ ταῦτά ἐστιν ἀλλὰ μᾶλλον τῶν ἄλλων ὑλημάτων ἔνια ἃ τοὺς ψυχροὺς ζητεῖ τόπους καθάπερ κενταύριον ἀψίνθιον, ἔτι δὲ τὰ φαρμακώδη ταῖς ῥίζαις καὶ τοῖς ὀποῖς οἷον ἐλλέβορος ἐλατήριον σκαμμω-

διεφθείροντο] U a. m. pr., mutatum in *διεφθείρετο* quod Ald. Edd. tenent.
ἕτερον] P; *ἑτέραν* Ald. Edd. o.
ταύτην] *δὲ*] UP2; *δὲ* om. cett.
καταγνυμένων] P2, U e correctione; Sch. de conj.; *καταμιγνυμένων* Ald. H.; *καταρρηγνυμένων* St.; *fracto* G.
v
ἐκρεῖν] Ald. Edd.; *ἐκρεῖν* U; *ἐκ ῥεινῶν* MV; *ἐκρεῖ* P2 qui etiam *ὀπὸς* et *ὃς* habet.
ἀποτυφλοῖ] U, sed in rasura *οὖν* agnoscitur.
τἄλλα] Schn.; *τάλλα* MP2; *τὰ ἄλλα* Ald. Edd.
εἴ τις προσραίνειεν αὐτοῖς] U; *εἰ προσραίνειέ τις αὐτοῖς* Sch.syll.; in Ald. *τίς αὐτοῖς* pone lacunam; MV *ἐ τις αὐτοῖς* cum lacuna; *εἰ προσραίνοι τις αὐτό* P2; *ετίς αὐτοῖς* P.
ὑφ' ᾗ] corr. Schn. cum G. et e Strab. 15, 172; *ἐφ' ᾗ* Ald. Edd.; *ἐφ' ἧς* P2.
συνεσπειρωμένους] corr. Schn.; *συνεσπειραμένους* UP2 Ald. Edd.; *qui cum ea nascuntur* G.
ἐμβὰς] *ἀμβὰς* P2.
φοινίκων τῶν] P2 Ald. Edd.; *φοινίκων καὶ τῶν* U Schn.syll.
14. *ἐξηλλαγμένα*] Edd.; *ἐξηλαγ.* Ald.
τὰ ἄλλα] U; *τἄλλα* Ald. H.; *τἄλλα* Sch.
ἡ κασία] UMV Ald. H.; *ἡ* om. H. St.
τὸ ὀποβάλσαμον] *ὁ βάλσαμος* St.
τὸ κινάμωμον] H. Sch.; *τὸ ὀποκινάμωμον* UMV Ald.; *ὁ κιν—ος* St.
ἐν ἄλλοις] *ἐν* om. H.
τούτων πλείω] UMV Sch.; *πλείω τούτων* Ald. Edd.

Cap. V.

φιλόψυχρά τε] U Schn.syll.; *φυλόψυχρα* Ald. Cam.; *φυλλόψυχρα* Bas.; *φιλόψυχρα* P H. St. Sch.
δρῦς] *δρῦς* U — *διοσβάλανος* U.
φίλυρα] Edd. post H.; *φίλλυρα* Ald.
τὰ ἄλλα] U: *τἄλλα* Ald. Edd.; *τἄλλα* Sch. Deinceps *δὲ* omittendum esse censet Sch.
ἔνια ἃ] Schn. de suo; *ἃ* om. Ald. Edd.
ζητεῖ] sic correxi; *ἐζήτει* UMV Ald.; *ἐκζητεῖ* cum RConst. H. St. Schn.
κενταύριον] *καὶ* add. St.
ἔτι δὲ] *ἔστι δὲ* St.
τὰ φαρμ.] UM Sch.; *τὰ* om. Ald. Edd. — Deinceps *τινα* add. St.
ἐλλέβορος] Sch.; *ἐλέβορος* PM Ald.; *ἑλλέβορος* H. St. Vide ad 6, 2, 9. — Deinceps *καὶ ὁ σίκυος ὁ ἄγριος ἐξ οὗ τὸ* auct. RConst. addit St.
σκαμμωνία] *καὶ ἡ σκ.* St.; *σκαμωνία* P.

2. νία σχεδὸν πάντα τὰ ῥιζοτομούμενα. τὰ μὲν γὰρ ἐν τῷ Πόντῳ καὶ τῇ Θρᾴκῃ
γίνεται τὰ δὲ περὶ τὴν Οἴτην καὶ τὸν Παρνασὸν καὶ τὸ Πήλιον καὶ τὴν Ὄσσαν
καὶ τὸ Τελέθριον· καὶ ἐν τούτοις δέ τινές φασι πλεῖστον· πολλὰ δὲ καὶ ἐν τῇ
Ἀρκαδίᾳ καὶ ἐν τῇ Λακωνικῇ· φαρμακώδεις γὰρ καὶ αὗται. τῶν δὲ εὐωδῶν
οὐδὲν ἐν ταύταις πλὴν ἶρις ἐν τῇ Ἰλλυρίδι καὶ περὶ τὸν Ἀδρίαν· ταύτῃ γὰρ
χρηστὴ καὶ πολὺ διαφέρουσα τῶν ἄλλων· ἀλλ' ἐν τοῖς ἀλεεινοῖς καὶ τοῖς πρὸς
μεσημβρίαν ὥσπερ ἀντικείμενα τὰ εὐώδη. ἔχουσι δὲ καὶ κυπάριττον οἱ ἀλεει-
νοὶ μᾶλλον ὥσπερ Κρήτη Λυκία Ῥόδος, κέδρον δὲ καὶ τὰ Θρᾴκια ὄρη καὶ τὰ
3. Φρύγια. τῶν δὲ ἡμερουμένων ἥκιστά φασιν ἐν τοῖς ψυχροῖς ὑπομένειν δάφνην
καὶ μυρρίνην, καὶ τούτων δὲ ἧττον ἔτι τὴν μυρρίνην· σημεῖον δὲ λέγουσιν ὅτι
ἐν τῷ Ὀλύμπῳ δάφνη μὲν πολλὴ μύρρινος δὲ ὅλως οὐκ ἔστιν. ἐν δὲ τῷ
Πόντῳ περὶ Παντικάπαιον οὐδ' ἕτερον καίπερ σπουδαζόντων καὶ πάντα μηχα-
νωμένων πρὸς τὰς ἱεροσύνας· συκαῖ δὲ πολλαὶ καὶ εὐμεγέθεις καὶ ῥοιαὶ δὲ
περισκεπαζόμεναι· ἄπιοι δὲ καὶ μηλέαι πλεῖσται καὶ παντοδαπώταται καὶ χρη-
σταί· αἱ δ' ἐαριναὶ πλὴν εἰ ἄρα ὄψιαι· τῆς δὲ ἀγρίας ὕλης ἐστὶ δρῦς πτελέα
μελία καὶ ὅσα τοιαῦτα· πεύκη δὲ καὶ ἐλάτη καὶ πίτυς οὐκ ἔστιν οὐδὲ ὅλως
οὐδὲν ἔνδαδον· ὑγρὰ δὲ αὕτη καὶ χείρων πολὺ τῆς σινωπικῆς ὥστ' οὐδὲ πολὺ
χρῶνται αὐτῇ πλὴν πρὸς τὰ ὑπαίθρια. ταῦτα μὲν οὖν περὶ τὸν Πόντον ἢ ἐν
4. τισί γε τόποις αὐτοῦ. ἐν δὲ τῇ Προποντίδι γίνεται καὶ μύρρινος καὶ δάφνη πολ-
λαχοῦ ἐν τοῖς ὄρεσιν. ἴσως δ' ἔνια καὶ τῶν τόπων ἴδια θετέον· ἕκαστοι γὰρ

σχεδὸν] *καὶ σχεδὸν* Sch.; *ὡς καὶ σχ.* St.

2. *ἐν τῷ π.*] Edd. post H.: *ἐν* om. U Ald.

Θρᾴκῃ] *Θραίκηι* U.

Τελέθριον] corr. Schn.; *Πελέθριον* UMVP; *Παρθένιον* Ald. Edd. Gaza. — *ὄσσαν* P Ald., *οσσαν* M; *ὄσαν* V; *ὄσσην* H. St. — Margo Bas. adscriptum habet in sequentibus ὅ quod quo pertineat incertum.

καὶ — πλεῖστον] *δι* sed mutatum in *δὲ* habet U, Gaza haec omisit. Non sunt vitiosa, ut Schn. putat.

καὶ αὗται] U Sch.syll.; *καὶ* om. Ald. Edd.

ταύτῃ] Sch.syll.; *αὕτη* sed in rasura ab initio agnosci potest *ταυ* U; *αὕτη* Ald. Edd.

γὰρ χρ.] U; *δὲ χρ.* Ald. Edd.

ἀλεεινοῖς] *ἐλεεινοῖς* P.

καὶ τοῖς πρὸς] *καὶ ἐν τοῖς π.* M1; *καὶ ἐν τοῖς π.* M2.

ἀντικείμενα] scil. *τοῖς φαρμακώδεσιν.* — *ἀντικειμένοις [τοῖς φαρμακώδεσι]* St. partim e conj. RConst.

κυπάριττον] U; *τὴν κυπ.* Ald. Edd.

κέδρον δὲ καὶ] Ald. Edd.; *κέδρον δὲ γὰρ καὶ* U; *κέδρον καὶ γὰρ* MV.; *κέδρον — Φρύγια* om. Gaza.

3. *δὲ ἧττον ἔτι τήν μυρρίνην*] mBas. Schn. et St., qui *καὶ* pro *δὲ* posuit; *δὲ ἧττον ἐπὶ τῶν μυρρινῶν* U et Ald., qui *μυρρίνων* habet.

μύρρινος] *μυρρίνη* St.; *μήρρινος* Cam.

Παντικάπαιον] e corr. RConst. St. Schn.; *παντικαποιον* U; *παντὶ, καὶ ποῖον* Ald. H.; *in Ponto autem toto neutrum est.* G.

συκαῖ εὐμεγέθεις] UMV Vo. cod.Cas. Sch.; et St. qui post *πολλὰς* inseruit *ἐκεῖ.*; *συκὰς δὲ πολλὰς καὶ εὐμεγέθεις* Ald.; *συκὰς δὲ πολλὰς ἔχει κ. ε.* H.

ῥοιαὶ] U Ald.; *ῥόαι* Sch.

ἄπιοι δὲ] Ald. Edd.; *ἄπιοι δὴ* U; *ἄπ. δὲ δὴ* V.

μηλέαι] Ald. Edd.; *μηλίαι* U, qui solus additum *πλεῖσται* dat.

αἱ δ' ἐαριναὶ] UMV Ald., quae *αἳ* habet; *αἱ ἐαρ.* St.; *καὶ ἐαρ.* H.; *καὶ αἱ ἐαρ. δὲ* Schn.; *μὴ ἐαρ.* conj. Spr. — Dein *αἱ ὄψιαι* St. Fortasse *εἰσὶ δ' ἐαριναὶ* scribendum.

δρῦς] *δρὺς* U.

μελία] Ald. Edd.; *μηλία* U; *μηλέα* V; *μελέα* M.

ὁ. πολὺ] correctum videtur in *πολοι* U, unde *πολλοὶ* Schn. in Syll., minus bene. — *πλὼν* pro *πλὴν* U.

4. *μύρρινος*] *μυρρίνη* St

ἔχουσι τὰ διαφέροντα ὥςπερ εἴρηται κατὰ τὰς ὕλας οὐ μόνον τῷ βελτίω καὶ
χείρω τὴν αὐτὴν ἔχειν ἀλλὰ καὶ τῷ φέρειν ἢ μὴ φέρειν· οἷον ὁ μὲν Τμῶλος
ἔχει καὶ ὁ μύσιος Ὄλυμπος πολὺ τὸ κάρυον καὶ τὴν διοςβάλανον ἔτι δὲ ἄμπε-
λον καὶ μηλέαν καὶ ῥόαν· ἡ δὲ Ἴδη τὰ μὲν οὐκ ἔχει τούτων τὰ δὲ σπάνια·
περὶ δὲ Μακεδονίαν καὶ τὸν πιερικὸν Ὄλυμπον τὰ μὲν ἔστι τὰ δ᾽ οὐκ ἔστι τού-
των· ἐν δὲ τῇ Εὐβοίᾳ καὶ περὶ τὴν Μαγνησίαν τὰ μὲν εὐβοϊκὰ πολλὰ τῶν δὲ
ἄλλων οὐθέν· οὐδὲ δὴ περὶ τὸ Πέλιον οὐδὲ τὰ ἄλλα τὰ ἐνταῦθα ὄρη. βραχὺς 5.
δ᾽ ἐστὶ τόπος ὃς ἔχει καὶ ὅλως τὴν ναυπηγήσιμον ὕλην· τῆς μὲν γὰρ Εὐρώπης
δοκεῖ τὰ περὶ τὴν Μακεδονίαν καὶ ὅσα τῆς Θράκης καὶ περὶ Ἰταλίαν· τῆς δὲ
Ἀσίας τά τε ἐν Κιλικίᾳ καὶ τὰ ἐν Σινώπῃ καὶ Ἀμίσῳ ἔτι δὲ ὁ μύσιος Ὄλυμ-
πος καὶ ἡ Ἴδη πλὴν οὐ πολλήν· ἡ γὰρ Συρία κέδρον ἔχει καὶ ταύτῃ χρῶνται
πρὸς τὰς τριήρεις. ἀλλὰ καὶ τὰ φίλυδρα καὶ τὰ παραποτάμια ταὔθ᾽ ὁμοίως· 6. 7H
ἐν μὲν γὰρ τῷ Ἀδρίᾳ πλάτανον οὔ φασιν εἶναι πλὴν περὶ τὸ Διομήδους ἱερόν·
σπανίαν δὲ καὶ ἐν Ἰταλίᾳ πάσῃ· καίτοι πολλοὶ καὶ μεγάλοι ποταμοὶ παρ᾽ ἀμ-
φοῖν· ἀλλ᾽ οὐκ ἔοικε φέρειν ὁ τόπος· ἐν Ῥηγίῳ γοῦν ἃς Διονύσιος πρεςβύτερος
ὁ τύραννος ἐφύτευσεν ἐν τῷ παραδείσῳ αἵ εἰσι νῦν ἐν τῷ γυμνασίῳ φιλοτιμη-
θεὶς οὐ δεδύνηνται λαβεῖν μέγεθος. ἔνιοι δὲ πλείστην ἔχουσι πλάτανον, οἱ δὲ 7.
πτελέαν καὶ ἰτέαν, οἱ δὲ μυρίκην ὥςπερ ὁ Αἷμος. ὥστε τὰ μὲν τοιαῦτα καθά-
περ ἐλέχθη τῶν τόπων ἴδια θετέον ὁμοίως ἔν τε τοῖς ἀγρίοις καὶ τοῖς ἡμέροις.
οὐ μὴν ἀλλὰ τάχ᾽ ἂν εἴη καὶ τούτων ἐπί τινων ὥστε διακοσμηθέντων δύ-
νασθαι τὴν χώραν φέρειν, ὃ καὶ νῦν ξυμβαῖνον ὁρῶμεν καὶ ἐπὶ ζώων ἐνίων καὶ
φυτῶν.

τὰς ὕλας] Ald. H. St.; *τὴν ὕλην* Sch. Pluralis indicat diversa materiae genera.— *βελτίῳ* Ald.

ἢ μὴ φέρειν] St. et Sch. i. u.; om. Ald. H.

μύσιος] Edd. post H.; *μύρσινος* UMV; *μυσινὸς* Ald.

διοσβάλανον] U; *Διος βάλανον* Ald. Edd.

ἔτι δὲ ἄμπ.] UMV Schn. syll.; *ἔτι δὲ καὶ ἄ.* Ald. Edd. o.

ῥόαν] Ald. H. Sch.; *ῥοιὰν* St.

εὐβοϊκὰ] *κάρυα* i. u. anteposuit St.

5. *βραχὺς — ὅλως*] corr. Sch. Idem cum G. sic scribi posse conj.: *καὶ ὅλως δὲ βραχύς ἐστι τόπος ὅς ἔχει τὴν ναυπ. ὕ.*; *βραχὺς δ᾽ ἐστὶ τόπος ἐκεῖ καὶ ὅλως τὴν ναυπ. ὕ.* UMV Ald.; post *ὅλως* inserunt *πρὸς* mBas. H. St.

Ιταλίαν] *μόνον ἔχειν* i. u. add. Sch. St. omisso *δοκεῖ* scripsit *Θράκης ὄρη καὶ περὶ Ἰταλίαν ἔχει.*

Ἀμίσῳ] corr. Sch.; *Αμυσῷ* Ald. Edd.; *Αμυσὸν* U; *Ἄμυσον* M.

πολλὴν] Schn. e conj.; *πολ.*, dein rasura in qua *λ* agnoscas, *ὺ* sequente rasura U; *πολὺ* Ald. Edd.

6. *φίλυδρα*] *δένδρα* i. u. add. St.

ὁμοίως] *ἔχει* i. u. add. St. Sch.

τῷ Ἀδρίᾳ] *τῇ Ἀ.* St.

σπανίαν] Cf. Plinium 12, 1.

π. καὶ μεγ.] *καὶ* om. H.

Ρηγίῳ] mBas. cod. Cas. H. St. Sch.; *ῥητῶι* U; *ῥητῷ* Ald.

ἃς] seclusit Schn. Structura sane laborat atque vox *φιλοτιμηθεὶς* loco haud commodo posita est.

πρεσβύτερος] *ὁ* anteposuit cum Stackh. Sch.

αἵ εἰσι] *αὗται μέν εἰσι* St.

φιλοτιμηθεὶς] *φιλοτιμηθεῖσαι* St.

οὐ δενδύνηνται] U Sch. syll.; *οὐδὲ δύνανται* Ald. Edd.

7. *ἔνιοι δὲ*] scil. *τόποι*, quod i. u. add. St.

Αἷμος] Ald. Edd.; *εἷμος* U. (*αι* supra lineam)

ἴδια] Bas. Sch.; *ἰδία* Ald. Cam.; *ἰδίᾳ* H. St.; *locorum propria* G.

οὐ μὴν ἀ.] *οὐ μὴ ἀ* Sch.

διακοσμηθέντων] Recte habet; significat *θεραπείας ἱκανῆς τυχόντων*, genitivo ad *τινων* relato. Sch. mavult *διακοσμηθεῖσαν*; *καὶ τούτων τινὰ οὕτως διακοσμηθέντα* St.

ξυμβαῖνον] Ald. Edd.; *ξυμβαίνειν* U. — *ζώιων* U.

Cap. VI. Μεγίστην δὲ διαφορὰν αὐτῆς τῆς φύσεως τῶν δένδρων καὶ ἁπλῶς τῶν ὑλημάτων ὑποληπτέον ἣν καὶ πρότερον εἴπομεν ὅτι τὰ μὲν ἔγγαια τὰ δ' ἔνυδρα τυγχάνει καθάπερ τῶν ζώων καὶ τῶν φυτῶν· οὐ μόνον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις καὶ τοῖς ποταμοῖς γὰρ ἀλλὰ καὶ ἐν τῇ θαλάττῃ φύεται καὶ ὑλήματα ἔνια ἔν τε τῇ ἔξω καὶ δένδρα· ἐν μὲν γὰρ τῇ περὶ ἡμᾶς μικρὰ πάντα τὰ φυόμενα καὶ οὐδὲν ὑπερέχον ὡς εἰπεῖν τῆς θαλάττης· ἐν ἐκείνῃ δὲ καὶ
2. τὰ τοιαῦτα καὶ ὑπερέχοντα, καὶ ἕτερα δὲ μείζω δένδρα. τὰ μὲν οὖν περὶ ἡμᾶς ἐστι τάδε· φανερώτατα μὲν καὶ κοινότατα πᾶσιν τό τε φῦκος καὶ τὸ βρύον καὶ ὅσα ἄλλα τοιαῦτα· φανερώτατα δὲ καὶ ἰδιώτατα κατὰ τοὺς τόπους ἐλάτη συκῆ δρῦς ἄμπελος φοῖνιξ. τούτων δὲ τὰ μὲν πρόςγεια τὰ δὲ πόντια τὰ δ' ἀμφοτέρων τῶν τόπων κοινά. καὶ τὰ μὲν πολυειδῆ καθάπερ τὸ φῦκος, τὰ δὲ μίαν ἰδέαν ἔχοντα. τοῦ γὰρ φύκους τὸ μέν ἐστι πλατύφυλλον ταινιοειδὲς χρῶμα ποῶδες ἔχον, ὃ δὴ καὶ πράσον καλοῦσί τινες, οἱ δὲ ζωστῆρα· ῥίζαν δὲ ἔχει δασεῖαν ἔξωθεν ἔνδοθεν δὲ λεπυριώδη μακρὰν δὲ ἐπιεικῶς καὶ εὐπαχῆ παρομοίαν τοῖς
3. κρομυογητείοις. τὸ δὲ τριχόφυλλον ὥςπερ τὸ μάραθον, οὐ ποῶδες ἀλλ' ἔξωχρον οὐδὲ ἔχον καυλὸν ἀλλ' ὀρθόν πως ἐν αὑτῷ· φύεται δὲ τοῦτο ἐπὶ τῶν ὀστράκων καὶ τῶν λίθων, οὐχ ὥςπερ θάτερον πρὸς τῇ γῇ· πρόςγεια δ' ἄμφω,

Cap. IV.

τῶν ὑλημάτων] „An fuit olim additum *καὶ τῶν ποωδῶν?*" Sch.

ἣν καὶ] corr. Sch.; *ἦ καὶ* UM VAld. Cam.; *ἦ καὶ* Bas. H. St.

πρότερον] UMV Sch.; *πρότερόν γε* Ald. Edd. — *εἴπωμεν* Bas. sola.

ἔγγαια] U Sch.syll.; *ἄγγαια* MV; *ἔγγεια* Ald. Edd. — *ζώιων* U.

οὐ μόνον] UMV Ald.; *οὐ γὰρ μόνον* H. St. Sch.

ἕλεσι] *ἔλεσι* U.

ποταμοῖς γὰρ] UMV Ald.; *γὰρ* omitt. H. St. Sch.

ἀλλὰ καὶ — καὶ δένδρα] UMV. Verte: *sed in mari etiam nascuntur et fruticuli et in extero etiam arbores*, ut fere G. *ἀλλὰ καὶ ἐν τῇ θαλ. φύεται ὑλήματα ἔνια ἔν τε τῇ ἔξω καὶ τῇ περὶ ἡμᾶς καὶ δ.* Ald. H.; — *ἔνια καὶ δένδρα ἐν τῇ ἔξω καὶ ἐν τῇ περὶ ἡμᾶς* St. — *θαλ. τῇ περὶ ἡμᾶς φύεται ὑλήματα ἔνια· ἐν δὲ τῇ ἔξω καὶ δ.* Sch.

τὰ φυόμενα] U, Sch. e conj.; *τὰ* om Ald. Edd.

ὑπερέχον] *ὑπερέχοντα* St.

τῆς θαλάττης] corr. Scalig. et Palm. Ex. p. 595. St. Sch.; *τῆς ἐλάτης* Ald. H.; *super mare emicat* G.

δὲ καὶ τὰ τοιαῦτα] U Ald. Edd.; *καὶ* om. MV Sch.

2. *φανερώτατα μὲν*] sic Ald.; *φανερώτα τὰ μὲν* Bas.; *τὰ μὲν φανερώτατα* Schn. Ald. sic exhibet: *φανερώτατα μὲν καὶ κοινότατα καὶ ἰδιώτατα,* quae mutila esse cum Dalec. vidit Schn. Lacunam explevit U, qui verba *πᾶσιν — φανερώτατα δὲ,* in Ald. Edd. omissa, praebuit, pro *φῦκος* vero dat *φοικος.*

κατὰ τοὺς τ.] U St. Sch. e conj.; *κατὰ* om. Ald. H.

φοῖνιξ] *φοίνιξ* Ald.

τὸ φῦκος] U Sch.; *ὁ φύκος* Ald.

ταινιοειδὲς] e conj. Dalecamp. et Palmer. Exerc. p. 595. Sch. quae verisimillima est; *τετανοειδὲς* UP_2 Ald. H. St.; *τα τενοειδὲς* MV; *πλατύφυλλόν τε καὶ τανοειδὲς* vel *τανυειδὲς* scribi vult Salm. Ex. p. 805; om G.

πράσον] *πράσσον* P_2.

ἔνδοθεν δὲ λεπυριώδη] UP_2 Sch. de conj.; *ἔνδοθεν δὲ λεπυρίῳ* MV; *ἔνδοθεν δὲ λεπύρια* P; *ἄνωθεν δὲ λεπύρια* Ald. H.; *ἄνωθεν δὲ καὶ λεπυρώδη* St.; *ἔξωθεν δὲ πυῤῥὰν* conj. Salm. Ex. l. l., *ἄνωθεν δὲ καυλὸν λεπτόν* conj. Sch. in Comm.

κρομμυογητείοις] corr. Sch.; *κρομμυγητείοις* UVP_2 Ald.; *κρομμυγηθείοις* M; *κρομμυογηθείοις* H.

3. *μάραθον*] corr. Sch.syll.; *μάραθρον* P_2 Ald. Edd.

ἀλλ' ἔξωχρον] corr. St. Sch.; *οὐ δὲ ἔξ.* P_2 Ald. H. — Dein *ἔχων αὐτῷ* P_2.

καὶ τῶν λίθ.] U Sch.syll.; *καὶ ἐπὶ τῶν λ.* Ald. Edd. o.

καὶ τὸ μὲν τριχόφυλλον πρὸς αὐτῇ τῇ γῇ πολλάκις δὲ ὥςπερ ἐπικλύζεται μό-
νον ὑπὸ τῆς θαλάττης, θάτερον δὲ ἀνωτέρω. γίνεται δὲ ἐν μὲν τῇ ἔξω τῇ περὶ 4.
Ἡρακλέους στήλας θαυμαστόν τι τὸ μέγεθος ὥς φασι καὶ τὸ πλάτος μεῖζον ἢ
παλαιστιαῖον. φέρεται δὲ τοῦτο εἰς τὴν ἔσω θάλατταν ἅμα τῷ ῥῷ τῷ ἔξωθεν
καὶ καλοῦσιν αὐτὸ πράσον· ἐν ταύτῃ δ᾽ ἔν τισι τόποις ὥστ᾽ ἐπάνω τοῦ ὀμφαλοῦ.
λέγεται δὲ ἐπέτειον εἶναι καὶ φύεσθαι μὲν τοῦ ἦρος λήγοντος ἀκμάζειν δὲ τοῦ
θέρους τοῦ μετοπώρου δὲ φθίνειν κατὰ δὲ τὸν χειμῶνα ἀπόλλυσθαι καὶ ἐκπί-
πτειν. ἅπαντα δὲ καὶ τἆλλα τὰ φυόμενα χείρω καὶ ἀμαυρότερα γίνεσθαι τοῦ
χειμῶνος. ταῦτα μὲν οὖν οἷον πρόςγεια περί γε τὴν θάλατταν. τὸ δὲ πόντιον
φῦκος ὃ οἱ σπογγιεῖς ἀνακολυμβῶσι πελάγιον· καὶ ἐν Κρήτῃ δὲ φύεται πρὸς 5.
τῇ γῇ ἐπὶ τῶν πετρῶν πλεῖστον καὶ κάλλιστον ᾧ βάπτουσιν οὐ μόνον τὰς ται-
νίας ἀλλὰ καὶ ἔρια καὶ ἱμάτια· καὶ ἕως ἂν ᾖ πρόςφατος ἡ βαφὴ πολὺ καλλίων
ἡ χρόα τῆς πορφύρας· γίνεται δ᾽ ἐν τῇ προςβόρρῳ καὶ πλεῖον καὶ κάλλιον ὥς-
περ αἱ σπογγιαὶ καὶ ἄλλα τοιαῦτα. ἄλλο δ᾽ ἐστὶν ὅμοιον τῇ ἀγρώστει· καὶ γὰρ 6.
τὸ φύλλον παραπλήσιον ἔχει καὶ τὴν ῥίζαν γονατώδη καὶ μακρὰν καὶ πεφυκυῖαν
πλαγίαν ὥςπερ ἡ τῆς ἀγρώστιδος· ἔχει δὲ καὶ καυλὸν καλαμώδη καθάπερ ἡ
ἄγρωστις· μεγέθει δὲ ἔλαττον πολὺ τοῦ φύκους. ἄλλο δὲ τὸ βρύον ὃ φύλλον μὲν
ἔχει ποῶδες τῇ χρόᾳ, πλατὺ δὲ καὶ οὐκ ἀνόμοιον ταῖς θριδακίναις, πλὴν ῥυτι-
δωδέστερον καὶ ὥςπερ συνεσπασμένον. καυλὸν δὲ οὐκ ἔχει ἀλλ᾽ ἀπὸ μιᾶς ἀρχῆς
πλείω τὰ τοιαῦτα καὶ πάλιν ἀπ᾽ ἄλλης· φύεται δὲ ἐπὶ τῶν λίθων τὰ τοιαῦτα

καὶ τὸ μὲν τρ.] *ἄλλα* St.
αὐτῇ τῇ γῇ] UMVP Sch.; *τῇ* om. Ald. H. St.; *τῇ ἀκτῇ* P2; *Aliud folio crinito, terrae ipsae adhaerens* Gaza, qui proxima *τὸ δὲ τριχ.* ἄμφω omittit.
ὥςπερ ἐπικλύζεται] UMV Ald.; *ὥςπερ ἐπικλύζεσθαι* H. St.; *ὥστε ἐπικλύζεσθαι* Schn. G. *saepeque a mari tantum alluitur.*
4. *Ἡρακλέους* UP2 Sch.syll.; *ἡρακλείας* Ald. Edd.
ἢ παλ.] corr. Sch.; *ὡς παλ.* UMV Ald.
φέρεται] U Cam. H. St. Schn.; *φαίνεται* MVP; *φαίρεται* Ald.
ἅμα τῷ ῥῷ] U Sch.syll.; *ἅμα* om. cett. — *θάλασσαν* M.
καὶ καλοῦσιν αὐτὸ] U Sch.syll.; *καλοῦσιν αὐτὸ* MV; *καλοῦσι δὲ αὐτὸ* Ald. Edd.
ἐν ταύτῃ — ὀμφαλοῦ] om. G. Post *τόποις* addunt *τοσοῦτον αὐξάνεται* (*-ετον* H.) St. H.; ab initio *ταύτης δ᾽ ἔν τισι* scripsit St. Dalecamp. vertit: *Ibidem et in aliis quibusdam locis tam alte surgit ut hominum umbilicum altitudine superet* subridicule. Medela vitii adhuc exspectatur.
καὶ τἆλλα] corr. Sch.; *καὶ ἄλλα* Ald. H.; *ὡς καὶ ἄλλα* St.
πρόςγεια] *ἐστι* add. St.
ἀνακολυμβῶσι πελάγιον] *ἀνάγουσι κολυμβῶντες* P2, mira discrepantia.

5. *ἕως ἂν ᾖ*] UP2 St. Sch.; *ἕως ᾖ* MVP; *ἕως ᾖ ἂν* Ald. St.
δ᾽ ἐν τῇ] UMV Sch.; *δὲ καὶ ἐν τῇ* Ald. Edd. — *προςβόρῳ* P.
χρόα τῆς] *χρόα ἡ τῆς* St.
πλεῖον καὶ κάλλιον] corr. Sch.; *πλεῖον καὶ καλλον* U; *πλ. κ. καλὸν* Ald.; *πλειόνα καὶ καλλίω* St.
σπογγιαὶ] P Edd. post H.; *σπογγειαὶ* V Ald.
6. *ἄλλο δ᾽ ἐστὶν ὅμοιον*] corr. Dalec. St. Sch.; *ἄλλα γάρ ἐστιν ὅμοια* Ald. H.
καὶ μακρὰν] PMV Sch.cont.; *radice geniculata, longa, oblique adherente* G.; *καρτερὰν* U Sch.syll.; om. Ald. Edd.
ἡ τῆς] corr. St. Sch.; *τῇ τῆς* Ald.
ἔλαττον] *ἐλάττω* H. St. — Post *φύκους* addit *προτέρου* i. u. St.
ἄλλο δὲ τὸ βρύον] corr. Sch.syll.; *ἄλλο δὲ τό βότρυον* U; *ἄλλο δὲ βότρυον* Ald. H.; *ἄ. δὲ ὡς βότρυον* St. Correctio *βρύον* debetur Scaligero, ducta e vers. Gazae et Plinio; *ἄλλο δὲ βρύον* vult Salm. Ex. p. 805. — Dein *μὲν* solus dat U.
ῥυτιδωδέστερον] corr. Scal. St. Sch.; *rugosiori* G., *rugosa* Plin.; *χρυσιωδέστερον* Ald.; *ῥυσιωδέστερον* mBas. — *πλὴν* om. M.

7. πρὸς τῇ γῇ καὶ τῶν ὀστράκων. καὶ τὰ μὲν ἐλάττω σχεδὸν ταῦτ᾽ ἐστίν. ἡ δὲ
δρῦς καὶ ἡ ἐλάτη παράγειοι μὲν ἄμφω· φύονται δ᾽ ἐπὶ λίθοις καὶ ὀστράκοις
ῥίζας μὲν οὐκ ἔχουσαι προςπεφυκυῖαι δὲ ὥςπερ αἱ λοπάδες. ἀμφότεραι μὲν
οἷον σαρκόφυλλα· προμηκέστερον δὲ τὸ φύλλον πολὺ καὶ παχύτερον τῆς ἐλά-
της πέφυκε καὶ οὐκ ἀνόμοιον τοῖς τῶν ὀσπρίων λοβοῖς κοῖλον δ᾽ ἔνδοθεν καὶ
οὐδὲν ἔχον ἐν αὐτῷ· τὸ δὲ τῆς δρυὸς λεπτὸν καὶ μυρικωδέστερον· χρῶμα δ᾽
ἐπιπόρφυρον ἀμφοῖν. ἡ δὲ ὅλη μορφὴ τῆς μὲν ἐλάτης ὀρθὴ καὶ αὐτῆς καὶ τῶν
8. ἀκρεμόνων, τῆς δὲ δρυὸς σκολιωτέρα καὶ μᾶλλον ἔχουσα πλάτος· γίνεται δὲ
ἄμφω καὶ πολύκαυλα καὶ μονοκαυλότερον δὲ ἡ ἐλάτη· τὰς δὲ ἀκρεμονικὰς
ἀποφύσεις ἡ μὲν ἐλάτη μακρὰς ἔχει καὶ εὐθείας καὶ μανὰς ἡ δὲ δρῦς βραχυ-
τέρας καὶ σκολιωτέρας καὶ πυκνοτέρας. τὸ δ᾽ ὅλον μέγεθος ἀμφοτέρων ὡς
πυγωνιαῖον ἢ μικρὸν ὑπεραῖρον, μεῖζον δὲ ὡς ἁπλῶς εἰπεῖν τὸ τῆς ἐλάτης.
χρήσιμον δὲ ἡ δρῦς εἰς βαφὴν ἐρίων ταῖς γυναιξίν. ἐπὶ μὲν τῶν ἀκρεμόνων
προςηρτημένα τῶν ὀστρακοδέρμων ζώων ἔνια· καὶ κάτω δὲ πρὸς αὐτῷ τῷ
καυλῷ περιπεφυκότων τινῶν γ᾽ ὅλῳ, ἐν τούτοις δεδυκότες ὀνίννοι τε καὶ ἄλλ᾽
ἄττα καὶ τὸ ὅμοιον πολύποδι. ταῦτα μὲν οὖν πρόςγεια καὶ ῥᾴδια θεωρηθῆναι·
9. φασὶ δέ τινες καὶ ἄλλην δρῦν εἶναι ποντίαν ἣ καὶ καρπὸν φέρει, καὶ ἡ βάλανος

καὶ τῶν ὀ.] *καὶ ἐπὶ τ. ὀ* St.

7. *παράγειοι*] UM Sch. syll.; *πρόςγειοι* Ald. Edd.

φύονται] Ald. Edd.; *φύεται* UMV.

ἔχουσαι] *ἔχουσαις* U.

λοπάδες] UMV Sch.syll.; *λεπάδες* Ald. Edd.; *λοπάδους* P2.

σαρκόφυλλα] Ald. H.; *-λαι* St.; *-λοι* Sch. P2.

προμηκέστερον — πέφυκε] dedi de conj.; *προμηκέστερον δὲ τὸ φύλλον παχὺ, καὶ παχύτερον τῆς ἐλάτης. πολὺ δὲ καὶ οὐκ ἀν.* Ald. et Schn. sed *παχὺ* et *δὲ* seclusis, atque *πολὺ* retracto ad superiora. *Oblongius crassumque et abieti crassius frequens* G. Bodaeus dicit verisimile esse, quoniam plantae marinae a similitudine plantarum terrestrium nominatae sunt, similitudinem a foliorum figura potissimum petitam esse, collegit itaque verba *ἐλάτης* ac *δρυός* hic sedem suam permutasse, superiore igitur *δρυὸς* inferiore *ἐλάτης* scribendum esse. Inde St.: *προμηκέστερον δὲ τὸ φύλλον τῆς δρυὸς καὶ παχύτερον τῆς ἐλάτης, καὶ οὐκ ἀν.*, tamen vero dein pergit: *τὸ δὲ τῆς δρυὸς λεπτόν* etc. At Bod. perperam ratiocinatus est: similitudo enim non a foliorum figura sed ab universa plantarum figura, inprimis dispositione ramorum, petita fuit, ut proxima ostendunt.

τοῖς τῶν ὀ.] *τῶν* om. Sch.cont.

κοῖλον δ᾽ ἐνδόθεν] *δὲ κοῖλον. ἐνδόθεν* H.

αὐτῷ] dedi de corr., vult enim ad *φύλλον* referri; *αὐτοῖς* Ald. H. St.; *αὐτοῖς* Sch.

8. *πολύκαυλα καὶ μ.*] *καὶ* om. St.

ἀκρεμονικὰς ἀποφύσεις] H. St. Sch.; *καὶ* interserit Ald.

ἡ μὲν ἐλάτη] U Sch. e conj.; *μὲν ἐλάτη* MV; *ἐλάτη μὲν* Ald. H.; *ἡ ἐλ. μὲν* St.

μακρὰς] H. St. Sch.; *longi* G.; *μικρὰς* UMV Ald.

πυγωνιαῖον ἢ μικρὸν] Ald. Edd.; *πυγων.* (o) *καὶ μ.* M; *πυγονιαῖον καὶ μ.* V; *πηγωνιαῖον ἢ μικρὸν* P2; *πηχυαῖον* Vo. — *ὑπεραίρον* H. St.

χρήσιμον] UMV Sch.; *χρήσιμος* Ald. Edd.

προσηρτημένα] *εὑρίσκεται* i. u. add. Sch.; *εἰσὶ* St.

τινῶν γ᾽ ὅλῳ] dedi de conj.; *τινῶν ὅλων* Ald. Sch.cont.; *τινῶν γε ὅλων* U Sch.syll.; *τινῶν ἰούλων* e conj. RConst. H. St.; *τινῶν ἄλλων* conj. Scal. Schn. conj. *προσπέφυκέ τινα τῶν ὀστράκων, καὶ ἐν τούτοις ἐνδεδυκότες ὀνίσκοι.* Gaza: *ad quaedam tota obesae ingrediuntur millepedae*, qui pro *ἐν τούτοις* videtur *εὔτροφοι* legisse. Nisi haererem adhuc in *τινῶν* et *γε*, quae non satis apta esse videntur, scripturam supra positam pro certa venderem. Notissimum est stipitem fucorum saepe totum phytozois et ostracodermis obtectum esse. Hiat structura in verbis *ἐν τούτοις*.

ὀνίννοι τε] U Sch.syll.; *οἱ ὀνίννοι* P Ald.; *οἱ ὀνίσκοι* e conj. RConst. H. St.

πολύποδι] *πολυποδη* U; *πουλύποδι* M.

9. *καρπὸν φέρει*] *καρποφόρον φέρει* U; *ποντιὰν καρποφόρον* omisso *φέρει* P2.

αὐτῆς χρησίμη· τοὺς δὲ σκινθοὺς καὶ κολυμβητὰς λέγειν ὅτι καὶ ἕτεραι μεγάλαι τινὲς τοῖς μεγέθεσιν εἴησαν. ἡ δὲ ἄμπελος ἀμφοτέρωσε γίνεται· καὶ γὰρ πρὸς τῇ γῇ καὶ ποντία· μείζω δ' ἔχει καὶ τὰ φύλλα καὶ τὰ κλήματα καὶ τὸν καρπὸν ἡ ποντία. ἡ δὲ συκῆ ἄφυλλος μὲν τῷ δὲ μεγέθει οὐ μεγάλη, χρῶμα δὲ τοῦ φλοιοῦ φοινικοῦν. ὁ δὲ φοῖνιξ ἐστι μὲν πόντιον βραχυστέλεχες δὲ 10.
σφόδρα καὶ σχεδὸν εὐθεῖαι αἱ ἐκφύσεις τῶν ῥάβδων κάτωθεν οὐ κύκλωθεν αὗται καθάπερ τῶν ῥάβδων αἱ ἀκρεμόνες, ἀλλ' ὡςὰν ἐν πλάτει κατὰ μίαν συνεχεῖς, ὀλιγαχοῦ δὲ καὶ ἐπαλλάττουσαι. τῶν δὲ ῥάβδων ἢ τῶν ἀποφύσεων τούτων ὁμοία τρόπον τινὰ ἡ φύσις τοῖς τῶν ἀκανθῶν φύλλοις τῶν ἀκανικῶν οἷον σόγκοις καὶ τοῖς τοιούτοις, πλὴν ὀρθαὶ καὶ οὐχ ὥςπερ ἐκεῖνα περικεκλασμέναι καὶ τὸ φύλλον ἔχουσαι διαβεβρωμένον ὑπὸ τῆς ἅλμης· ἐπεὶ τό γε δι' ὅλου ἥκειν τὸν μέσον γε καυλὸν καὶ ἡ ἄλλη ὄψις παραπλησία. τὸ δὲ χρῶμα καὶ τούτων καὶ τῶν καυλῶν καὶ ὅλου τοῦ φυτοῦ ἐξέρυθρόν τε σφόδρα καὶ φοινικοῦν. καὶ τὰ μὲν ἐν τῇδε τῇ θαλάττῃ τοσαῦτά ἐστιν. ἡ γὰρ σπογγιὰ καὶ αἱ ἀπλυσίαι καλούμεναι καὶ εἴ τι τοιοῦτον ἑτέραν ἔχει φύσιν.

Cap. VII. Ἐν δὲ τῇ ἔξω τῇ περὶ Ἡρακλέους στήλας τό τε πράσον ὥςπερ εἴρηται φύεται καὶ τὰ ἀπολιθούμενα ταῦτα οἷον θῦμα καὶ τὰ δαφνοειδῆ καὶ τὰ ἄλλα. τῆς δὲ ἐρυθρᾶς καλουμένης ἐν τῇ Ἀραβίᾳ μικρὸν ἐπάνω Κόπτου ἐν μὲν 8 H. St.
τῇ γῇ δένδρον οὐδὲν φύεται πλὴν τῆς ἀκάνθης τῆς διψάδος καλουμένης· σπανία δὲ καὶ αὕτη διὰ τὰ καύματα καὶ τὴν ἀνυδρίαν· οὐχ ὕει γὰρ ἀλλ' ἢ δι' ἐτῶν

σκινθοὺς] „Vox vitiosa“ Sch.; *σπογγεῖς* St.; *σκινθοὺς* etiam P2.

ποντία] P St. Sch.; *pelagica* G.; *πόντιαι* Ald. H.

τῷ δὲ μεγέθει οὐ] U Sch.syll.; *τῷ μεγέθει δ' οὐ* Ald. H. St.; *τῷ μεγέθει οὐ* MV Sch.cont.

10. *φοῖνιξ*] *φοῖνιξ πόντιος ἐστι μὲν βραχυστελέχης σφ.* St.

πόντιον] Ald. Edd. o.; *πόντιος* P.

βραχυστέλεχες δὲ] U, Sch. e conj.; *δὲ* om. Ald. H.

καὶ σχεδὸν — ἐπαλλάττουσαι] Locus adeo depravatus ut nulla emendationis via pateat. Schn. conj.: *τῶν ῥάβδων τῶν κάτωθεν, οὐ κύκλῳ τεθεῖσαι καθάπερ τῶν δένδρων οἱ ἀκρέμονες.* — *ὀλιγαχοῦ* dant UMV et mP; *ἐνιαχοῦ* P Ald. Edd. Dein *ἐπαλλάττουσαι* St. Schn. e conj.; *ἀπαλλάττ.* Ald. H.

φύλλοις] *φύλοις* Ald. Cam.

τῶν ἀκανικῶν] *ἢ τοῖς τῶν ἀκανωδῶν* St.

σόγκοις — τοιούτοις] *σόγκων καὶ τῶν τοιούτων* St.

ὀρθαὶ] Ald. Bas. St. Sch.; *ὀρθὰς* Cam.; *ὀρθὰ* H. — Deinceps *καὶ* accessit ex UMVP, omissum in Ald. Edd. — *οὐκ* H. St.

περικεκλασμέναι] cum Scal. St. Sch.; *καὶ περ.* Ald. H.; *περικεκλασμένα* MV.

ἐ. τό γε] U; *ἐπεὶ τῷ γε* Ald. H. Sch.; *ἔτι τῷ γε δι' ὅλου φύλλου* St. Verba vitiosa esse videntur; Sch. conjicit: *τῷ τε διόλου ἥκειν τὸν μέσον γε καυλὸν καὶ τῇ ἄλλῃ ὄψει παραπλήσιαι.*

καὶ τούτ.] U Sch.syll.; *καὶ* om. cett.

καυλῶν] P Ald. Sch.; *κλάδων* cum RConst. H. St.

ἀπλυσίαι] e corr. RConst. H. St. Sch.; *πλύσιαι* U Ald., *πλυσίαι* M, *πλουσίαι* V.

ἑτέραν] *ταῦτ' ἑτ.* St.

Cap. VII.

Ἡρακλέους] P2 Ald. Edd.; *ἡρακλείας* Sch.

πράσον] *πράσι* M; *πράσϊ* et *ον* superscr. a m. rec. V.

θῦμα] *τὰ θῦμα* St.

τῆς — καλουμένης] *πρὸς δὲ τῇ ἐρύθρᾳ καλουμένῃ θαλάσσῃ* cum Bod. St. Schn., etsi verba ineptissima esse iudicat, nihil mutat.

Κόπτου] e corr. Scaligeri H. St. Sch.; *Capto* G. et Plin. 13, 25 s. 50; *κόπου* MV; *κόλπου* Ald.

τῇ Ἀρ.] U Sch.syll.; *τῇ* om. cett.

διψάδος] *δὲ ψάδος* M.

καὶ τὴν ἀν.] U Sch.syll.; *κα διὰ τὴν ἀν.* Ald. Edd.

τεττάρων ἢ πέντε καὶ τότε λάβρως καὶ ἐπ ὀλίγον χρόνον. ἐν δὲ τῇ θαλάττῃ
2. φύεται, καλοῦσι δ' αὐτὰ δάφνην καὶ ἐλάαν. ἔστι δὲ ἡ μὲν δάφνη ὁμοία τῇ
ἀρίᾳ ἡ δὲ ἐλάα τῷ φύλλῳ· καρπὸν δὲ ἔχει ἡ ἐλάα παραπλήσιον ταῖς ἐλάαις·
ἀφίησι δὲ καὶ δάκρυον ἐξ οὗ οἱ ἰατροὶ φάρμακον ἔναιμον συντιθέασιν ὃ γίνεται
σφόδρα ἀγαθόν. ὅταν δὲ ὕδατα πλείω γένηται μύκητες φύονται πρὸς τῇ θα-
λάττῃ κατά τινα τόπον, οὗτοι δὲ ἀπολιθοῦνται ὑπὸ τοῦ ἡλίου. ἡ δὲ θάλαττα
θηριώδης· πλείστους δὲ ἔχει τοὺς καρχαρίας ὥστε μὴ εἶναι κολυμβῆσαι. ἐν
δὲ τῷ κόλπῳ τῷ καλουμένῳ Ἡρώων ἐφ' ὃν καταβαίνουσιν οἱ ἐξ Αἰγύπτου φύ-
εται μὲν δάφνη τε καὶ ἐλάα καὶ θύμον, οὐ μὴν χλωρά γε ἀλλὰ λιθοειδῆ τὰ
ὑπερέχοντα τῆς θαλάττης ὅμοια δὲ καὶ τοῖς φύλλοις καὶ τοῖς βλαστοῖς τοῖς
χλωροῖς. ἐν δὲ τῷ θύμῳ καὶ τὸ τοῦ ἄνθους χρῶμα διάδηλον ὡςὰν μήπω τε-
3. λέως ἐξηνθηκός. μήκη δὲ τῶν δενδρυφίων ὅσον εἰς τρεῖς πήχεις. οἱ δέ, ὅτε
ἀνάπλους ἦν τῶν ἐξ Ἰνδῶν ἀποσταλέντων ὑπὸ Ἀλεξάνδρου, τὰ ἐν τῇ θαλάττῃ
φυόμενα μέχρι οὗ μὲν ἂν ᾖ ἐν τῷ ὑγρῷ χρῶμά φασιν ἔχειν ὅμοιον τοῖς φυκί-
οις, ὁπόταν δ' ἐξενεχθέντα τεθῇ πρὸς τὸν ἥλιον ἐν ὀλίγῳ χρόνῳ ἐξομοιοῦσθαι τῷ
ἁλί. φύεσθαι δὲ καὶ σχοίνους λιθίνους παρ' αὐτὴν τὴν θάλατταν οὓς οὐδεὶς ἂν
διαγνοίη τῇ ὄψει πρὸς τοὺς ἀληθινούς. θαυμασιώτερον δέ τι τούτου λέγουσι·
φύεσθαι γὰρ δενδρύφι' ἄττα τὸ μὲν χρῶμα ἔχοντα ὅμοιον κέρατι βοὸς τοῖς δὲ
ὄζοις τραχέα καὶ ἀπ' ἄκρου πυρρά· ταῦτα δὲ θραύεσθαι μὲν εἰ συγκλῴη τις·
ἐκ δὲ τούτων πυρὶ ἐμβαλλόμενα καθάπερ τὸν σίδηρον διάπυρα γινόμενα πάλιν

θαλάττῃ] Auctore RConst. *ἐρυθρᾷ δένδρά τινα* addidit H., *δένδρά τινα* St.

καλοῦσι δ' αὐτὰ] UMVP Sch. syll.; *καὶ καλοῦσιν αὐτὰ* Ald. Edd.

2. *ἀρίᾳ*] *ἀρείᾳ* P2.

ἐλάα] U; *ἐλαία* Ald. Edd.

τῶ φύλλῳ] *τῷ φέλλῳ* cum RConst. St. Locus mutilus esse videtur.

παραπλήσιον] Ald. H. et St. *δὲ* addunt, quod omisit Sch. — Dein *τοῖς ἐλαίοις* St.

πλείστους] UP Ald. Sch.; *πλείους* M H. St.

Ἡρώων] sic monente Sch. correxi. Cf. 9, 4, 4 et 9. Strabo 17, p. 836; *ἡρώῳ* P2 Ald. Edd. — Verba *τῷ κόλπῳ* om. St.

ὅμοια δὲ] P2 Ald. Edd.; *ὅμοιά γε* corr. Sch.

ὡςὰν — ἐξηνθηκός] Sic Ald., sed vocibus singulis non recte distinctis: *ὡς ἂν μή πωτε λέως ἐξ.*, et Bas. MVP; *ὡςὰν — ἐξηνθηκὼς* U; *ὡς ἂν μήπω τε λίαν ἐξηνθηκὸς* Cam., unde *ὡςὰν μήποτε λίαν* H. St.

μήκη] U mBas. St. Sch.; *μήκει* MV Ald. H.; *μῆκος* P2.

3. *οἱ δὲ ὅτε ἀνάπλους*] H. St. Sch.; *οἱ δὲ ὅτι ἀνάπλους* Ald.; *ἡ δὲ ὅτι ἄρα πλοῦς* UMV.

ὑπὸ] corr. H. St. Sch.; *ἀπὸ* Ald. M. — *Ἀλέξανδρον* M.

μέχρι — φασιν] U Sch. syll.; *μέχρις οὗ ἂν ᾖ ἐν τῷ ὑγρῷ χρῶμά φ.* Ald. Edd.; *μέχρει οὗ ἂν ᾖ ἐν ὑγρῶμα φ.* MV; *μέχρις οὗ ἂν ᾖ ἐν τῷ ὑγρῷ φασιν* P.

φυκίοις] *φυκοῖς* St.

ἐξενεχθέντα] H. St. Sch.; *ἐξεναχθέντα* Ald.

σχοίνους] *σχίνους* (οι) P2.

δέ τι τούτου] *τι* solus praebet U, Sch. syll.; *θαυμασιωτέρους δὲ τούτου* P2.

δενδρύφι' ἄττα] Ald.; *δενδρύφια ἄττα* H. St.; *δενδιφίαττα* M.

πυρρά] M St. Sch.; *πυρά* P2 Ald. H.

συγκλῴη] P2 Ald. H. Schn.; *συγκρούῃ* St. cum RConst.

πυρὶ ἐμββαλλόμενα] H. St. Sch.; *πῦρ ἐμβ.* UMV Ald. Ceterum locus haud integer est. *ἐκτὸς δὲ τούτου* St. Exc. P2: *ταῦτα εἰς πῦρ μὲν ἐμβαλλόμενα πυρακτοῦται, ὡς σίδηρος· ἐκβληθέντα δὲ καὶ ψυχρανθέντα, πάλιν τὰ αὐτὰ διαμένει.*

γινόμενα πάλιν] U, unde *γενόμενα πάλιν* Sch. syll.; *γενόμενα πλὴν* Ald. Edd. o.

ὅταν ἀποψύχοιτο καθίστασθαι καὶ τὴν αὐτὴν χρόαν λαμβάνειν. ἐν δὲ ταῖς νή- 4.
σοις ταῖς ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομέναις δένδρα μεγάλα πεφυκέναι
ἡλίκα πλάτανοι καὶ αἴγειροι αἱ μέγισται· συμβαίνειν δὲ ὅθ' ἡ πλημμυρὶς ἐπέλ-
θοι τὰ μὲν ἄλλα κατακρύπτεσθαι ὅλα τῶν δὲ μεγίστων ὑπερέχειν τοὺς κλάδους
ἐξ ὧν τὰ πρυμνησία ἀνάπτειν, εἶθ' ὅτε πάλιν ἄμπωτις γίνοιτο ἐκ τῶν ῥιζῶν.
ἔχειν δὲ τὸ δένδρον φύλλον μὲν ὅμοιον τῇ δάφνῃ, ἄνθος δὲ τοῖς ἴοις καὶ τῷ
χρώματι καὶ τῇ ὀσμῇ, καρπὸν δὲ ἡλίκον ἐλάα καὶ τοῦτον εὐώδη σφόδρα· καὶ
τὰ μὲν φύλλα οὐκ ἀποβάλλειν τὸ δὲ ἄνθος καὶ τὸν καρπὸν ἅμα τῷ φθινοπώρῳ
γίνεσθαι τοῦ δὲ ἔαρος ἀπορρεῖν. ἄλλα δ' ἐν αὐτῇ τῇ θαλάττῃ πεφυκέναι, ἀεί- 5.
φυλλα μὲν τὸν δὲ καρπὸν ὅμοιον ἔχειν τοῖς θέρμοις. περὶ δὲ τὴν Περσίδα τὴν
κατὰ τὴν Καρμανίαν καθ' ὃ ἡ πλημμυρὶς γίνεται δένδρα ἐστὶν εὐμεγέθη ὅμοια
τῇ ἀνδράχλῃ καὶ τῇ μορφῇ καὶ τοῖς φύλλοις· καρπὸν δὲ ἔχει πολὺν ὅμοιον τῷ
χρώματι ταῖς ἀμυγδάλαις ἔξωθεν τὸ δ' ἐντὸς συνελίττεται καθάπερ συνηρτη-
μένον πᾶσιν. ὑποβέβρωται δὲ ταῦτα τὰ δένδρα πάντα κατὰ μέσον ὑπὸ τῆς
θαλάττης καὶ ἕστηκεν ὑπὸ τῶν ῥιζῶν ὥσπερ πολύπους. ὅταν γὰρ ἡ ἄμπωτις
γένηται θεωρεῖν ἐστιν. ὕδωρ δὲ ὅλως οὐκ ἔστιν ἐν τῷ τόπῳ· καταλείπονται δέ 6.
τινες διώρυχες δι' ὧν διαπλέουσιν· αὗται δ' εἰσὶ θαλάττης· ᾧ καὶ δῆλον οἴονταί
τινες ὅτι τρέφονται ταύτῃ καὶ οὐ τῷ ὕδατι πλὴν εἴ τι ταῖς ῥίζαις ἐκ τῆς γῆς
ἕλκουσιν. εὔλογον δὲ καὶ τοῦθ' ἁλμυρὸν εἶναι· καὶ γὰρ οὐδὲ κατὰ βάθους αἱ
ῥίζαι. τὸ δὲ ὅλον ἓν τὸ γένος εἶναι τῶν τ' ἐν τῇ θαλάττῃ φυομένων καὶ τῶν
ἐν τῇ γῇ ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομένων· καὶ τὰ μὲν ἐν τῇ θαλάττῃ

ἀποψύχοιτο] Ald. Edd.; *ἀποψύχηται* RConst. Sch.; Cf. Kühner ad Xen. Mem. 4, 1, 2. Schneid. ad Plat. Civ. 3. p. 412 D.

4. *καὶ αἴγειροι αἱ μέγισται*] UMV Sch.; om. Ald. H. St.

συμβαίνειν] corr. RConst. H. St. Sch.; *συμβαίνει* Ald.

γίνοιτο] *γίγνοιτο* M.

τὰ δένδρα] *ταῦτα* add. St.

τοῖς ἴοις] mBas. et Sch., qui *λευκοΐοις* dare voluisse videtur; *ἴσοις* UMV; *οἴσοις* Ald. H.; *λευκοΐοις* St.; *violis* G.; *flos violae et odore et colore* Plin. 13 s. 51. Arrian. Anab. 6, 22, 10. *καὶ τὸ ἄνθος εἶναι τῷ λευκῷ μάλιστα ἴῳ προσφερές.*

ἐλάα] U; *ἐλαία* Ald. Edd.

5. *θέρμοις*] *θερμύοις* M.

κατὰ τὴν καρ.] U, Sch.syll.; *τὴν* om. Ald. Edd. o.; *κατὰ τὴν* om. P.

καθ' ὃ ἡ] UMVP Sch.; *qua maris aestus fieri solet* G.; *καθ' ἣν ἡ* Ald. Edd.

καρπὸν δ' ἔχει πολὺν] *ἄνθη δ' ἔχει πολλὰ ὅμοια* etc. St.; *ἔχειν* dat U.

ἀμυγδάλαις] Ald. Edd.; *ἀμυγδαλαῖς* Sch. Cf. ad 1, 11, 2.

τὸ δ' ἐντὸς] H. St. Sch.; *τὸ δ' ἐκτὸς* UMV Ald.; *interna vero singulis quasi connexa involutantur* G. *συνηρημένον* P et auct. RConst. H.; *συνηρτημένα ἐν π.* St. Plin. 12, 9 *pomumque amygdalis, intus contortis nucleis.* Locus satis obscurus, vix integer.

θαλάττης] Comma insequens *ὅταν — ἐστιν* hic interseruit Sch. Equidem veterem ordinem servavi.

ὑπὸ τ. ῥ.] *ἐπὶ τ. ῥ.* St. — *πουλύπους* U.

6. *οὐκ ἔστιν*] UMVP Sch.; om. Ald. H.; *ὕδ. δὲ οὐδὲν ὅλως τότε ἐν* St.; *οὐδὲν* addit jam mBas.

δέ τινες] U Sch.syll.; *γάρ τινες* Ald. Edd.

διαπλέουσιν] *διαρέουσιν. ταῦτα δ' εἰσὶ ἐν θαλάττῃ* St.

ᾧ καὶ] U, St. et Sch. cum G. et Plin.; *ὃ καὶ* Ald. Edd.

ὅτι τρεφ.] U Sch.syll.; *ὅτι* om. MV; *ὡς τ.* Ald. Edd. — Deinceps *οὔπω ὕδ.* M.

ἕλκουσιν] U Sch.syll.; *ἕλκονται* Ald. Edd.

τῶν τ' ἐν τ.] UMP Vo. Sch.; *τῶν δ' ἐν τ.* Ald.; *τῶν ἐν τῇ* H. St.

μικρὰ καὶ φυκώδη φαινόμενα, τὰ δ' ἐν τῇ γῇ μεγάλα καὶ χλωρὰ καὶ ἄνθος εὔ-
7.9H.St. οδμον ἔχοντα, καρπὸν δὲ οἷον θέρμος. ἐν Τύλῳ δὲ τῇ νήσῳ, κεῖται δ' αὕτη
ἐν τῷ ἀραβίῳ κόλπῳ, τὰ μὲν πρὸς ἕω τοσοῦτο πλῆθος εἶναί φασι δένδρων ὅτ'
ἐκβαίνει ἡ πλημμυρὶς ὥστ' ἀπηχυρῶσθαι. πάντα δὲ ταῦτα μεγέθη μὲν ἔχειν
ἡλίκα συκῆ, τὸ δὲ ἄνθος ὑπερβάλλον τῇ εὐωδίᾳ, καρπὸν δὲ ἄβρωτον ὅμοιον
τῇ ὄψει τῷ θέρμῳ. φέρειν δὲ τὴν νῆσον καὶ τὰ δένδρα τὰ ἐριοφόρα πολλά.
ταῦτα δὲ φύλλον μὲν ἔχειν παρόμοιον τῇ ἀμπέλῳ πλὴν μικρὸν, καρπὸν δὲ οὐ-
δένα φέρειν. ἐν ᾧ δὲ τὸ ἔριον ἡλίκον μῆλον ἐαρινὸν συμμεμυκός· ὅταν δὲ ὡ-
ραῖον ᾖ ἐκπετάννυσθαι καὶ ἐξείρειν τὸ ἔριον, ἐξ οὗ τὰς σινδόνας ὑφαίνουσι, τὰς
8. μὲν εὐτελεῖς τὰς δὲ πολυτελεστάτας. γίνεται δὲ τοῦτο καὶ ἐν Ἰνδοῖς ὥσπερ
ἐλέχθη καὶ ἐν Ἀραβίᾳ. εἶναι δὲ ἄλλα δένδρα τὸ ἄνθος ἔχοντα ὅμοιον τῷ
λευκοΐῳ πλὴν ἄοδμον τῷ μεγέθει καὶ τετραπλάσιον τῶν ἴων. καὶ ἕτερον δέ τι
δένδρον πολύφυλλον ὥσπερ τὸ ῥόδον· τοῦτο δὲ τὴν μὲν νύκτα συμμύειν ἅμα δὲ
τῷ ἡλίῳ ἀνιόντι διοίγνυσθαι, μεσημβρίας δὲ τελέως διεπτύχθαι, πάλιν δὲ τῆς
δείλης συνάγεσθαι κατὰ μικρὸν καὶ τὴν νύκτα συμμύειν· λέγειν δὲ καὶ τοὺς
ἐγχωρίους ὅτι καθεύδει. γίνεσθαι δὲ καὶ φοίνικας ἐν τῇ νήσῳ καὶ ἀμπέλους
καὶ τἄλλα ἀκρόδρυα καὶ συκᾶς οὐ φυλλορροούσας. ὕδωρ δὲ οὐράνιον γίνεσθαι
μὲν, οὐ μὴν χρῆσθαί γε πρὸς τοὺς καρπούς· ἀλλ' εἶναι κρήνας ἐν τῇ νήσῳ

φυκώδη φαινόμενα τὰ δ' ἐν] dedi e conj.; *φυκώδη φυόμενα δ' ἐν* MV Ald. Schn. retraxit *φυόμενα* post *θαλάττῃ* et scripsit dein *τὰ δ' ἐν*. U habet *φενόμενα* scriptura dubia, quare *φαινόμενα* scribendum esse conjicio. Ceterum MV verba *καὶ τῶν ἐν τῇ γῇ — καταλαμβανομένων* ac post *μικρὰ καὶ* omittunt. — *et marina quidem pusilla et ficus specie provenire* G., unde *συκώδη* mBas. adnotavit.

ἄνθος εὔοδμον mBod. St. Sch.; *ἀνθοδμον* Ald.; *ἄνθ' ὄδμον* V.; *ἀνθ οδμον* literis 2 erasis U.

θέρμος] *θέρμοις* P.

7. *δ' αὕτη*] Vo. Sch.; *δ' αὐτὴ* Ald. Edd.

ἀραβίῳ] MVP2; *ἀραβίωι* U; *ἀραβικῷ* Ald. Edd.

ἕω] Sch.; *ἠῶ* Ald. Edd.; *ἐν τοῖς πρὸς ἠῶ* St. — *τοσοῦτο* U, *τοσοῦτον* Ald. Edd.

ἀπηχυρῶσθαι] UMV Ald. Sch.syll.; *ἀπωχυρῶσθαι* H. St. Sch.cont.

ἔχειν — συκῆ] *ἔχει — ἡ συκῆ* St.

δένδρα τὰ ἐριοφ.] St. et Sch.; *δ. καὶ τὰ ἐ.* Ald. H.

παρόμοιον] U; *ὅμοιον* Ald. Edd.; *οἷον* P.

μικρὸν] *μικρότερον* St.

οὐδένα] P2 H. St. Sch.; *οὐδὲν* MV Ald.

ἐξείρειν] sic correxi; *ἐξειαίρειν* P2; *ἐξαίρειν* Ald. Edd. o.; *excipi* G.; *ἐξαιρεῖσθαι* malebat Schn.

εἶναι δὲ] *φασι* i. u. addit St. Mox idem *τὸ* ante *ἄνθος* omittit.

8. *λευκοΐῳ* P H. St. Sch.; *λευκείῳ* Ald.

πλὴν ἄοδμον] corr. H. Steph. in Thes. et Scal., H. St. Sch.; *πλείονα ὄδμον* UM Ald.

μεγ. καὶ] UMVP Sch.; *καὶ* om. Ald. Edd. — *τραλάσιον* MV. Dein *οἴων* P.

ἕτερον δὲ] UMVP Sch.; *δὲ* om. Ald. Edd.

ῥόδον] *δένδρον* P2.

ἀνιόντι διοίγνυσθαι] *ἐξανιοντιαν οἴγνυσθαι* P2 sic.

διεπτύχθαι] PP2 corr. Scal. et H. Steph. in Thes., H. St. Sch.; *διεπτύσθαι* Ald.

συνάγεσθαι κατὰ μικρὸν] St. Sch.; *συν. τὴν μικρὸν* UMV; *συν. καὶ κατὰ μικρὸν* Ald. H.

συμμύειν] U St. Sch.; *συμβαίνειν* MV Ald.; *σημαίνειν* RConst. H. Antea *καὶ* om. Ald. H.

ἐγχωρίους] Edd. post H.; *ἐκχωρ.* Ald.

ἐν τῇ νήσῳ] H. St. Sch.; *ἐν νήσῳ* Ald.; *ἐν τήσω* M; *εν τή σῶ* V. — Ante *φοίνικας* habent *τοὺς* Ald. Edd., om. U Sch.syll. —

συκᾶς οὐ φυλλορροούσας] dedi de conj.; *συκᾶς αἳ φυλλορροοῦσιν* Ald. H.; *σ. αἳ οὐ φυλλ.* St.; *συκᾶς αἳ οὐδέποτε φυλλορροοῦσιν* mBas. Schn. Negatio necessario inserenda est, eamque habent G. et Plin.

κρήνας ἐν] U Sch. syll.; *κρήνας μὲν ἐν* Ald. Edd.

πολλὰς ἀφ' ὧν πάντα βρέχειν ὃ καὶ συμφέρειν μᾶλλον τῷ σίτῳ καὶ τοῖς δένδρεσιν. δι' ὃ καὶ ὅταν ὕσῃ τοῦτο ἐπαφιέναι καθαπερεὶ καταπλύνοντας ἐκεῖνο. καὶ τὰ μὲν ἐν τῇ ἔξω θαλάττῃ δένδρα τά γε νῦν τεθεωρημένα σχεδὸν τοσαῦτά ἐστιν.

Cap. VIII. Ὑπὲρ δὲ τῶν ἐν τοῖς ποταμοῖς καὶ τοῖς ἕλεσι καὶ ταῖς λίμναις μετὰ ταῦτα λεκτέον. τρία δέ ἐστιν εἴδη τῶν ἐν τούτοις, τὰ μὲν δένδρα τὰ δ' ὥςπερ ποιώδη τὰ δὲ λοχμώδη. λέγω δὲ ποιώδη μὲν οἷον τὸ σέλινον τὸ ἕλειον καὶ ὅσα ἄλλα τοιαῦτα· λοχμώδη δὲ κάλαμον κύπειρον φλεὼ σχοῖνον βούτομον ἅπερ σχεδὸν κοινὰ πάντων τῶν ποταμῶν καὶ τῶν τοιούτων τόπων. ἐνιαχοῦ δὲ καὶ βάτοι καὶ παλίουροι καὶ τὰ ἄλλα δένδρα καθάπερ ἰτέα λεύκη πλάτανος. τὰ μὲν οὖν μέχρι τοῦ κατακρύπτεσθαι, τὰ δὲ ὥστε μικρὸν ὑπερέχειν, τῶν δὲ αἱ μὲν ῥίζαι καὶ μικρὸν τοῦ στελέχους ἐν τῷ ὑγρῷ τὸ δὲ ἄλλο σῶμα πᾶν ἔξω. τοῦτο γὰρ καὶ ἰτέᾳ καὶ κλήθρᾳ καὶ πλατάνῳ καὶ φιλύρᾳ καὶ πᾶσι τοῖς φιλύδροις συμβαίνει. σχεδὸν δὲ καὶ ταῦτα κοινὰ πάντων τῶν ποταμῶν ἐστιν· ἐπεὶ καὶ ἐν τῷ 2.
Νείλῳ πέφυκεν· οὐ μὴν πολλή γε ἡ πλάτανος, ἀλλὰ σπανιωτέρα ἔτι ταύτης ἡ λεύκη, πλείστη δὲ μελία καὶ βουμέλιος. τῶν γοῦν ἐν Αἰγύπτῳ φυομένων τὸ μὲν ὅλον πολὺ πλῆθός ἐστιν πρὸς τὸ ἀριθμήσασθαι καθ' ἕκαστον· οὐ μὴν ἀλλ' ὥς γε ἁπλῶς εἰπεῖν ἅπαντα ἐδώδιμα καὶ χυλοὺς ἔχοντα γλυκεῖς. διαφέρειν δὲ δοκεῖ τῇ γλυκύτητι καὶ τῷ τρόφιμα μάλιστα εἶναι τρία ταῦτα ὅ τε πάπυρος καὶ τὸ καλούμενον σάρι καὶ τρίτον ὃ μνάσιον καλοῦσι. φύεται δὲ ὁ πάπυρος 3.
οὐκ ἐν βάθει τοῦ ὕδατος ἀλλ' ὅσον ἐν δύο πήχεσιν, ἐνιαχοῦ δὲ καὶ ἐν ἐλάττονι. πάχος μὲν οὖν τῆς ῥίζης ἡλίκον καρπὸς χειρὸς ἀνδρὸς εὐρώστου, μῆκος δὲ ὑπὲρ

ὃ καὶ συμφέρειν] corr. Sch.; *ἃ καὶ συμφέρει* Ald. Edd., sed *ὃ* etiam St. et *συμφέρειν* U.

καθαπερεὶ καταπλύνοντας] Sch.; *κ. καταπλύοντας* U; *καθάπερ εἴη καταπλύναντες* M; *καθαπερεὶ οἱ καταπλύνοντες* Ald. et omisso *οἱ* St.

θαλάττῃ] UMV Sch.syll.; *θαλάσσῃ* Ald. Edd.

τεθεωρημένα] U Sch.; *τεθεωρουμένα* M VP; *θεωρούμενα* Ald. H. St.

Cap. VIII.

ἐν τοῖς ποταμοῖς] *περὶ τοὺς ποταμοὺς* St.

καὶ τοῖς ἕλεσι] MV Sch.syll.; *καὶ ἐν τοῖς ἑλ.* Ald. Edd.; *καὶ τοῖς ἕλουσι* U.

παλίουροι καὶ τὰ ἄλλα δένδρα καθάπερ] UMV Sch. syll.; *παλίουροι καὶ τὰ ἄλλα. δένδρα δὲ καθάπερ* Ald. Edd.

τὰ μὲν οὖν μέχρι τοῦ κατακρύπτ.] Sch. syll.; in cont. dederat *τὰ μὲν οὖν ὥστε ὑπὸ τοῦ ὕδατος κατακρ.*, *οὖν* assumto e V, verbis *ὑπὸ* et *ὕδατος* ab H. et St.; *τὰ μὲν ὥστε τοῦ κατακρ.* M Ald.; *τὰ μὲν οὖν ὥστε τοῦ κατακρ.* V; *τὰ μὲν ὥστε μέχρι τοῦ κατακρ.* U.

σῶμα πᾶν] UMV Sch.; *πᾶν σῶμα* Ald. Edd.

2. *ἀλλὰ σπ. ἔτι ταύτης ἡ λεύκη*] UMV Ald. Sch.; *ἀλλὰ σπ. ἐστι ταύτης. καὶ ἡ λεύκη* H. St.

βουμέλιος] MV Ald. H.; *βουμέλινος* U; *βουμελία* St. Sch. Equidem codices secutus et hic et 3, 11, 4 *βουμέλιος* scripsi.

πρὸς τὸ ἀριθμήσασθαι] UMV Sch.syll.; *εἰς τὸ ἀρ.* Ald. H. St.; *εἰς τὸν ἀριθμὸν* Sch.cont.

ὥς γε] U Schn.syll.; *ὥστε* Ald. Edd.

τρίτον ὃ μνάσιον] Ald Edd.; *τρ. ὃ μνάσι* U; *τρίον ὄμνασι* M; *τρίλι ὃ μνάσι* P.

3. *ῥίζης—ἀνδρὸς*] Verba *ἡλίκον* et *χειρὸς* solus dat U; *ῥίζης καρπὸς ἀνδρὸς* Ald. Edd.; St. *ὡς* inseruit post *ῥίζης*.

δέκα πήχεις· φύεται δὲ ὑπὲρ τῆς γῆς αὐτῆς πλαγίας ῥίζας εἰς τὸν πηλὸν καθιεῖσα λεπτὰς καὶ πυκνάς, ἄνω δὲ τοὺς παπύρους καλουμένους τριγώνους, μέγεθος ὡς τετραπήχεις, κόμην ἔχοντας ἀχρεῖον ἀσθενῆ καρπὸν δὲ ὅλως οὐδένα·
4. τούτους δ' ἀναδίδωσι κατὰ πολλὰ μέρη. χρῶνται δὲ ταῖς μὲν ῥίζαις ἀντὶ ξύλων οὐ μόνον τῷ κάειν ἀλλὰ καὶ τῷ σκεύη ἄλλα ποιεῖν ἐξ αὐτῶν παντοδαπά· πολὺ γὰρ ἔχει τὸ ξύλον καὶ καλόν. αὐτὸς δὲ ὁ πάπυρος πρὸς πλεῖστα χρήσιμος· καὶ γὰρ πλοῖα ποιοῦσιν ἐξ αὐτοῦ καὶ ἐκ τῆς βίβλου ἱστία τε πλέκουσι καὶ ψιάθους καὶ ἐσθῆτά τινα καὶ στρωμνὰς καὶ σχοινία τε καὶ ἕτερα πλείω. καὶ ἐμφανέστατα δὴ τοῖς ἔξω τὰ βιβλία· μάλιστα δὲ καὶ πλείστη βοήθεια πρὸς τὴν τροφὴν ἀπ' αὐτοῦ γίνεται. μασῶνται γὰρ ἅπαντες οἱ ἐν τῇ χώρᾳ τὸν πάπυρον καὶ ὠμὸν καὶ ἑφθὸν καὶ ὀπτόν· καὶ τὸν μὲν χυλὸν καταπίνουσι τὸ δὲ μάσημα ἐκβάλλουσιν. ὁ μὲν οὖν πάπυρος τοιοῦτός τε καὶ ταύτας παρέχεται τὰς χρείας. γίνεται δὲ καὶ ἐν Συρίᾳ περὶ τὴν λίμνην ἐν ᾗ καὶ ὁ κάλαμος ὁ εὐώδης· ὅθεν
5. καὶ Ἀντίγονος εἰς τὰς ναῦς ἐποιεῖτο τὰ σχοινία. τὸ δὲ σάρι φύεται μὲν ἐν τῷ ὕδατι περὶ τὰ ἕλη καὶ τὰ πεδία ἐπειδὰν ὁ ποταμὸς ἀπέλθῃ, ῥίζαν δὲ ἔχει σκληρὰν καὶ συνεστραμμένην, καὶ ἐξ αὐτῆς φύεται τὰ σαρία καλούμενα· ταῦτα δὲ μῆκος μὲν ὡς δύο πήχεις πάχος δὲ ἡλίκον ὁ δάκτυλος ὁ μέγας τῆς χειρός· τρίγωνον δὲ καὶ τοῦτο καθάπερ ὁ πάπυρος καὶ κόμην ἔχον παραπλήσιον. μασώμενοι δὲ ἐκβάλλουσι καὶ τοῦτο τὸ μάσημα, τῇ ῥίζῃ δὲ οἱ σιδηρουργοὶ χρῶν-
6. ται· τὸν γὰρ ἄνθρακα ποιεῖ χρηστὸν διὰ τὸ σκληρὸν εἶναι τὸ ξύλον· τὸ δὲ

ὑπὲρ τῆς γῆς αὐτῆς] Varia conati sunt interpretes in hoc loco. Jos. Scalig. ad Guilandin. de Papyro p. 27 corr. *ὑπὲρ τῆς γῆς αὕτη, πλαγίας — καθιεῖσα. λεπτοὺς δὲ καὶ πυκνοὺς ἄνω τοὺς παπύρους.* Salm. Ex. p. 37 *φύει δὲ ὑπὸ τῆς γῆς αὕτη.* Schn. conjicit: *αὐτὴ πλαγία, ῥίζας εἰς — πυκνάς.* Spreng. ad h. l.: *Man muss dem Text keine Gewalt anthun, um Theophrast's Untrüglichkeit zu erweisen.* Recte!

δέκα πήχεις — τετραπήχεις] Bartels Reise nach Sicilien und Calabrien 3, 857, 862. animadvertit longitudinem radicis et culmi permutatas locumque corrigendum esse, quod probavit Schn., ipse tamen non fecit.

ἀχρεῖον] U Sch.syll.; *ἀχρείαν* Ald. Edd.

4. *κάειν*] U; *καίειν* Ald. Edd. In hac voce scribenda sequor codicem optimum, qui praeter hunc locis 9 (H. 4, 14, 10. 6, 8, 5. C. 2, 1, 7. 2, 5, 4. 2, 7, 5. 3, 19, 1. 5, 12, 2. 5, 15, 6. 6, 5, 2.) formam atticam, tribus vero (C. 3, 9, 5. 3, 20, 5. 5, 14, 8.) vulgarem praebet. Praeterea Ald. H. 4, 14, 11 bis ac 4, 14, 12 formam atticam, H. 4, 11, 13 ac cum P2 H. 6, 6, 6 formam vulgarem praebet, quibus locis varietas nulla adnotata est.

σκεύη ἄλλα] *ἄλλα* om. G.. Schn. seclusit.

αὐτῶν] corr. RConst. St. Schn.; *αὐτοῦ* Ald. H.

ἔχει] Ald. H. St.; *ἔχουσι* Schn. auctore RConst. At sine negotio *ῥίζα* subauditur.

ἱστία] *ἴστία* Ald.

ἐσθῆτά τινα] UMV Sch.syll.; *ἐσθῆτάς τινας* Ald. Edd.; *vestem quandam* G.

τὰ βιβλία] *chartae* G. Damnavit haec verba Jos. Scalig.. quod omissa sint a Plinio. Schneider dubitat utrum *βιβλία* sint *funes* h. l. an *libri*. Mihi vix dubium esse videtur, quin *libri* significentur. Cf. C. A. Böttiger's kleine Schriften v. Sillig. 3, p. 382.

τὸν πάπυρον] UMV Sch.; *τὸν* om. Ald. Edd.

καὶ ταύτας] U Sch. syll.; *καὶ τοιαύτας* Ald. Edd,

καὶ ἐν Συρίᾳ] UMVP Sch.; *καὶ* om. Ald. Edd., habent G. et Plinius.

Ἀντίγονος] *Ἀντιγόνος* M.

ναῦς] om. UMV, habent Ald. Edd., G. et Plin. *in navalibus rebus.*

5. *σάρι*] Hesych. vocat *σαρὶν, σαρὸν.* Plin. 13, 23 s. 45 *Sari*, ubi alii codices *sariphu* exhibent.

τρίγωνον δὲ καὶ] UMP Sch.; *καὶ* om. Ald. Edd.

τοῦτο τὸ] *τούτον τὸ* St.

μνάσιον ποιῶδές ἐστιν, ὥστ' οὐδεμίαν παρέχεται χρείαν πλὴν τὴν εἰς τροφήν.
καὶ τὰ μὲν γλυκύτητι διαφέροντα ταῦτά ἐστι. φύεται δὲ καὶ ἕτερον ἐν τοῖς
ἕλεσι καὶ ταῖς λίμναις ὃ οὐ συνάπτει τῇ γῇ, τὴν μὲν φύσιν ὅμοιον τοῖς κρίνοις
πολυφυλλότερον δὲ καὶ παρ' ἄλληλα τὰ φύλλα καθάπερ ἐν διστοιχίᾳ· χρῶμα δὲ
χλωρὸν ἔχει σφόδρα. χρῶνται δὲ οἱ ἰατροὶ πρός τε τὰ γυναικεῖα αὐτῷ καὶ
πρὸς τὰ κατάγματα. ταῦτα δὲ γίνεται καὶ ἐν τῷ ποταμῷ εἰ μὴ ὁ ῥοῦς ἐξέφε-
ρεν· συμβαίνει δὲ ὥστε ἀποφέρεσθαι καὶ ἕτερα ἐν αὐτῷ πλείω. ὁ δὲ κύαμος 7.
φύεται μὲν ἐν τοῖς ἕλεσι καὶ λίμναις, καυλὸς δὲ αὐτοῦ μῆκος μὲν ὁ μακρότα- 10 H. St.
τος εἰς τέτταρας πήχεις, πάχος δὲ δακτυλιαῖος, ὅμοιος δὲ καλάμῳ μαλακῷ
ἀγονάτῳ. διαφύσεις δὲ ἔνδοθεν ἔχει δι' ὅλου διειλημμένας ὁμοίας τοῖς κηρίοις·
ἐπὶ τούτῳ δὲ ἡ κωδύα, παρομοία σφηκίῳ περιφερεῖ, καὶ ἐν ἑκάστῳ τῶν κυττά-
ρων κύαμος μικρὸν ὑπεραίρων αὐτῆς, πλῆθος δὲ οἱ πλεῖστοι τριάκοντα. τὸ δὲ
ἄνθος διπλάσιον ἢ μήκωνος, χρῶμα δὲ ὅμοιον ῥόδῳ κατακορές· ἐπάνω δὲ τοῦ
ὕδατος ἡ κωδύα. παραφύεται δὲ φύλλα μεγάλα παρ' ἕκαστον τῶν κυάμων,
ὧν ἴσα τὰ μεγέθη πίλῳ θετταλικῇ τὸν αὐτὸν ἔχοντα καυλὸν τῷ τῶν κυάμων.

6. *μνάσιον*] H. St. Sch.; *μναύσιον* UMV Ald.; *mnasium* G.

πλὴν τὴν] UMVP Sch.; *τὴν* om. Ald. Edd.

διστοιχίᾳ] *διστοιχειαι* U; *et folia inter sese quasi uno condita versu* G.

καὶ—κατάγματα] Haec omisit G.

ταῦτα δὲ γίνεται—ἐν αὐτῷ πλείω] Haec exhibui fere ad mentem Schneideri, commatis transpositis et singulis verbis, ut opus esse videbatur, mutatis. Ald.: *σημαίνει δὲ ὥςπερ καὶ ἀποφέρεσθαι· ἕτερα δὲ ἀπ' αὐτῶν τὰ πλεῖα· ταῦτα δὲ γίνεται ἐν τῷ ποταμῷ· εἰ μὴ ὁ ῥοῦς ἐξέφερεν.* In Urb. est *αὐτῶν πλείω.* St.: *συμβαίνει δ' ὥςπερ ἀποφέρεσθαι· ἕτερα δὲ ἀπ' αὐτῶν πλείω ταῦτά· γίνεται δὲ ἐν τῷ π.* etc. Schn. edidit: *ταῦτα δὲ γίνεται [καὶ] ἐν τῷ ποταμῷ εἰ μὴ ὁ ῥοῦς ἐξέφερεν· συμβαίνει δὲ ὥςτε ἀποφέρεσθαι, [ὥςπερ καὶ] ἕτερα πλείω τὰ ἐπ' αὐτῷ;* sed in Comm. paullo aliter haec scribi voluit. Gaza omnia haec omisit. Aliorum interpretum commenta referre non juvat. Omnino haec verba cum ceteris non cohaerent, quare aut aliunde huc immigrasse aut quaedam excidisse suspicor.

7. *φύεται μὲν*] *ἐν Αἰγύπτῳ* add. St.

μαλακῷ ἀγονάτῳ] Ald. H. Sch.; *μακρῷ ἀγόνατος* St.; *μακρῷ ἀγονάτῳ* Athenae. 3 p. 72; *calamo molli non geniculato* G.; *nec genicula habet molli calamo* Plin. 18, 12 s. 30.

τοῖς κηρίοις] H. Schn. ex Athen. l. l.; *τοῖς κρίνοις* Ald.; *lilii modo* G. Verba *διειλημμένας—κρίνοις* omisit St.

κωδύα] UM Sch.; *κωδία* Ald. Edd. et Athen. l. l. Sed in Athenaeo scribendum esse *κωδύα* colligas ex Eustath. p. 999 et 1616.

σφηκίῳ] Vo. Cam. H. St. Sch.; *σφηκείωι* U; *σφοκίῳ* PV Ald.; *favo orbiculato vesparum non absimile* G.

κυττάρων] auctore RConst. H. St. Sch.; *κυτάρων* U; *κητάρων* M Ald. Vide ad lib. 2 extr.

αὐτῆς] UMV Ald. Sch.syll.; *αὐτοῦ* cum RConst. H. St. Sch.cont.

κωδύα] UM Sch.; *κωδία* Ald. Edd.

τῶν κυάμων] Schn. suspicatur *τῶν καυλῶν* a Theo. scriptum fuisse: Spreng. contra hic et mox *κωδίων* substituendum esse censet. Neutrum verum. Manifestum *κύαμον* et totam plantam et fructum audivisse, id quod et Graecorum et aliarum gentium lingua fieri solet.

ὧν ἴσα] dedi de conj.; *ὧν καὶ* Ald. Edd. Sch. *ἴσα* post *θετταλικῇ* i. u. posuit, St. ibidem *ἔοικεν* interseruit.

πίλῳ θεττ.] Ald. H. St.; *πετάσῳ* dedit Schn. quod *πίλῳ* non sexu foemineo usurpetur, dein quod infra § 9 folia loti ipsa *πετάσοι* nominentur, tum quod Dioscorid. 2, 123, qui aperte Theophrastum excerpserit, *ἔχει δὲ φύλλον μέγα ὡς πέτασον* scripserit.

τὸν αὐτὸν] Haec usque ad *κυάμων* om. G. Equidem *τὸν αὐτὸν* pro *ὅμοιον* dictum esse vix credo, quare haec verba vitiosa esse suspicor.

συντρίψαντι δ' ἕκαστον τῶν κυάμων φανερόν ἐστι τὸ πικρὸν συνεστραμμένον ἐξ
8. οὗ γίνεται ὁ πῖλος. τὰ μὲν οὖν περὶ τὸν καρπὸν τοιαῦτα. ἡ δὲ ῥίζα παχυτέρα
τοῦ καλάμου τοῦ παχυτάτου καὶ διαφύσεις ὁμοίως ἔχουσα τῷ καυλῷ. ἐσθί-
ουσι δ' αὐτὴν καὶ ὠμὴν καὶ ἑφθὴν καὶ ὀπτὴν, καὶ οἱ περὶ τὰ ἕλη τούτῳ σίτῳ
χρῶνται. φύεται μὲν οὖν ὁ πολὺς αὐτόματος· οὐ μὴν ἀλλὰ καὶ καταβάλλουσιν
ἐν πηλῷ ἀχυρώσαντες εὖ μάλα πρὸς τὸ κατενεχθῆναί τε καὶ μεῖναι καὶ μὴ
διαφθαρῆναι· καὶ οὕτω κατασκευάζουσι τοὺς κυαμῶνας· ἂν δ' ἅπαξ ἀντιλάβη-
ται μένει διὰ τέλους. ἰσχυρὰ γὰρ ἡ ῥίζα καὶ οὐ πόρρω τῆς τῶν καλάμων πλὴν
ἐπακανθίζουσα· δι' ὃ καὶ ὁ κροκόδειλος φεύγει μὴ προςκόψῃ τῷ ὀφθαλμῷ τῷ
μὴ ὀξὺ καθορᾶν· γίνεται δὲ οὗτος καὶ ἐν Συρίᾳ καὶ κατὰ Κιλικίαν, ἀλλ' οὐκ
ἐκπέττουσιν αἱ χῶραι· καὶ περὶ Τορώνην τῆς Χαλκιδικῆς ἐν λίμνῃ τινὶ μετρίᾳ
9 τῷ μεγέθει· καὶ αὕτη πέττει καὶ τελεοκαρπεῖ. ὁ δὲ λωτὸς καλούμενος φύεται
μὲν ὁ πλεῖστος ἐν τοῖς πεδίοις ὅταν ἡ χώρα κατακλυσθῇ. τούτου δὲ ἡ μὲν
τοῦ καυλοῦ φύσις ὁμοία τῇ τοῦ κυάμου καὶ οἱ πέτασοι δὲ ὡσαύτως πλὴν ἐλάτ-
τους καὶ λεπτότεροι. ἐπιφύεται δὲ ὁμοίως ὁ λωτὸς τῷ τοῦ κυάμου. τὸ ἄν-
θος αὐτοῦ λευκὸν ἐμφερὲς τῇ στενότητι τῶν φύλλων τοῖς τοῦ κρίνου, πολλὰ δὲ
καὶ πυκνὰ ἐπ' ἀλλήλοις φύεται. ταῦτα δὲ ὅταν μὲν ὁ ἥλιος δύῃ συμμύει καὶ συγ-

τὸ πικρὸν] UMV Ald. Sch.; *πικρὸν* om. H.; *τι μικρὸν* auctore Scaligero St. *πικρὸν* tuetur Sch. e Dioscor. l. l.

ὁ πῖλος] UMV; *ἡ πίλος* Ald. St. et sine accentu H.; *ἡ πῖλος* Sch. Equidem haec verba vitiosa esse et scriptum fuisse nomen censeo, quod medicamen sive praeparatum medicum indicarit. Sch. *ὁ βλαστὸς* substituendum esse suspicatur.

8. *τοῦ καλάμου*] Ald. H. St.; *τοῦ* ejecit Sch., sine causa idonea. — Dein *διφύσεις* P.

ὁμοίως] Ald. H. St.; *ὁμοίας* Schn.

σίτῳ] *ὡς σίτῳ* St.

οὖν ὁ πολὺς] U Sch.syll.; *οὖν καὶ πολὺς* Ald., Edd.

οὐ μὴν — πηλῷ] dedi cum Ald. inserto *καὶ* ante *καταβάλλουσιν*; sic quoque UMV, sed *καταβάλλουσι δ' ἐν* habent. Schn. dedit: *οὐ μὴν ἀλλὰ καὶ σπείρουσι· καταβάλλουσι δ' ἐν π.* Verbum *σπείρουσι* e Gazae versione ducere sibi visus est Schn.; at is v. *καταβάλλουσι* expressit per *seritur*. MV *πιλῷ*.

ἀχυρώσαντες] Ald. H. St.; *paleis large admistis* G.; *φυράσαντες* Sch. e conj. Salmas. Exerc. p. 679. Si genuina est vulgata sic explicanda est: semina nelumbii involvebantur limo tecta paleis, ut ne a nimia humiditate perderentur sed certius germinarent; sic *ἀχυρώσαντες* ad *διὰ τὸ μὴ διαφθαρῆναι* referendum est. An *ὀχυρώσαντες*, *limi tegmento tanquam vallo munientes*, legendum?

μὴ διαφθαρῆναι] cod.Casaub., Schn.; *μὴ* om. Ald. H.; *ut descendat incorruptaque maneat* G.; *πρὸς τὸ μὴ κατενεχθῆναι καὶ διαφθαρῆναι* subridicule St.

κυαμῶνας] U, Sch. e conj.; *κυάμονας* Ald. Edd.

πλὴν — καθορᾶν] Haec omnia huc removenda et post *καλάμῳ μαλακῷ ἀγονάτῳ* § 7. ponenda esse censet Sch., absque causa probabili.

πέττει καὶ τελεοκαρπεῖ] sic Athen. l. l.; *πέττει καὶ τελειοῖ καὶ τελεοκαρπεῖ* Ald. Edd. Equidem cum Schneidero *καὶ τελειοῖ* e scripturae varietate orta esse censeo, quare omisi: ille seclusit. An scribendum *καὶ αὐτοῦ πέττεται τελέως καὶ τελεοκαρπεῖ?* — Paullo ante *αὕτη* dedi cum Schn.; *αὐτὴ* Ald. Edd. — *περὶ δὲ τορ.* scr. St.

9. *οἱ πέτασοι*] UMV Bas. Schn.syll.; *οἱ πεττοὶ* P; *οἱ πέττασοι* Ald. Cam. H. St.; *αἱ πέτασοι* Sch.cont.

ὁμοίως] *ὅμοιόν τι* St.

ὁ λωτὸς] Sch. conj. *ὁ καυλὸς*, mihi vero *ὁ καρπὸς* scribendum esse videtur.

τὸ ἄνθος] *καὶ* anteposuit St.; idem post *ἐμφερὲς* addit *δὲ*.

τοῦ κρίνου] U Sch.syll.; *τῶν κρίνων* Ald. Edd. — Antea *τοῖς* om. P.

ἐπ' ἀλλήλοις] corr. Sch.; *ἐπαλλήλους* Ald. H.; *ἐπαλλήλως* St.

δύῃ συμμύει καὶ συγκ.] dedi cum St.; *συμμύει καὶ συγκ.* MV; *συμμύῃ καὶ συγκ.* U; *συμμύῃ, συγκ.* Ald. H.; *δύηται, συμμύει καὶ συγκ.* Schn.; *sole occidente se comprimunt caputque integunt* G.

καλύπτει τὴν κωδύαν, ἅμα δὲ τῇ ἀνατολῇ διοίγεται καὶ ὑπὲρ τοῦ ὕδατος γί-
νεται. τοῦτο δὲ ποιεῖ μέχρι ἂν ἡ κωδύα ἐκτελεωθῇ καὶ τὰ ἄνθη περιρρυῇ.
τῆς δὲ κωδύας τὸ μέγεθος ἡλίκον μήκωνος τῆς μεγίστης καὶ διέζωσται ταῖς 10.
κατατομαῖς τὸν αὐτὸν τρόπον τῇ μήκωνι· πλὴν πυκνότερος ἐν ταύταις ὁ καρ-
πός. ἔστι δὲ παρόμοιος τῷ κέγχρῳ. ἐν δὲ τῷ Εὐφράτῃ τὴν κωδύαν φασὶ καὶ
τὰ ἄνθη δύνειν καὶ ὑποκαταβαίνειν τῆς ὀψίας μέχρι μεσῶν νυκτῶν καὶ τῷ βά-
θει πόρρω· οὐδὲ γὰρ καθιέντα τὴν χεῖρα λαβεῖν εἶναι. μετὰ δὲ ταῦτα ὅταν
ὄρθρος ᾖ πάλιν ἐπανιέναι καὶ πρὸς ἡμέραν ἔτι μᾶλλον, ἅμα τῷ ἡλίῳ φανερὸν
ὂν ὑπὲρ τοῦ ὕδατος καὶ ἀνοίγειν τὸ ἄνθος, ἀνοιχθέντος δὲ ἔτι ἀναβαίνειν· συ-
χνὸν δὲ τὸ ὑπεραῖρον εἶναι τὸ ὕδωρ. τὰς δὲ κωδύας ταύτας οἱ Αἰγύπτιοι συν- 11.
θέντες εἰς τὸ αὐτὸ σήπουσιν· ἐπὰν δὲ σαπῇ τὸ κέλυφος ἐν τῷ ποταμῷ κλύζον-
τες ἐξαιροῦσι τὸν καρπὸν, ξηράναντες δὲ καὶ πτίσαντες ἄρτους ποιοῦσι καὶ
τούτῳ χρῶνται σιτίῳ. ἡ δὲ ῥίζα τοῦ λωτοῦ καλεῖται μὲν κόρσιον, ἐστὶ δὲ
στρογγύλη, τὸ μέγεθος ἡλίκον μῆλον κυδώνιον· φλοιὸς δὲ περίκειται περὶ αὐ-
τὴν μέλας ἐμφερὴς τῷ κασταναϊκῷ καρύῳ· τὸ δὲ ἐντὸς λευκὸν, ἑψόμενον
δὲ καὶ ὀπτώμενον γίνεται λεκιθῶδες, ἡδὺ δὲ ἐν τῇ προσφορᾷ· ἐσθίεται δὲ καὶ
ὠμὴ, ἀρίστη δὲ ἐν τῷ ὕδατι ἑφθὴ καὶ ὀπτή. καὶ τὰ μὲν ἐν τοῖς ὕδασιν σχεδὸν
ταὐτά ἐστιν. ἐν δὲ τοῖς ἀμμώδεσι χωρίοις, ἅ ἐστιν οὐ πόρρω τοῦ ποταμοῦ, 12.
φύεται κατὰ γῆς ὃ καλεῖται μαλιναθάλλη, στρογγύλον τῷ σχήματι μέγεθος δὲ
ἡλίκον μέσπιλον ἀπύρηνον δὲ ἄφλοιον· φύλλα δὲ ἀφίησιν ἀπ᾽ αὐτοῦ ὅμοια κυ-

κωδύαν] UM Sch.; *κωδίαν* Ald. Edd.

μέχρι] UMV; *μέχρις* Ald. Edd.

κωδύα UMV Sch.; *κωδία* Ald. Edd.

ἐκτελεωθῇ] *ἐκτελεσθῇ* P.

10. *ἐν ταύταις*] *καὶ* anteposuit St.

τῷ κέγχρῳ] U Sch.; *τῇ κ.* Ald. Edd.

καὶ τὰ ἄνθη] P Bas. H. St. Sch.; *δὲ τὰ ἄ.* Ald. Cam.

τῆς ὀψιας] dedi de conj.; *vespera* Plin. 13, 18 s. 32; *τῆς ὥρας* UMVP2 Ald. Sch.; *τῆς ὥρας δειλινῆς* cum Dalec. H. St.

μέσων νυκτῶν] UMVP2 Ald. Sch.; *μεσοίννυκτων* H.; *μεσονυκτίου* St.

φανερὸν ὂν] Addidi *ὂν* e conjectura; alioquin structura laborat. Schneid. *γίνεσθαι* deesse putabat, ac post *ἅμα* inseruit *δέ* i. u.

τὸ ὑπεραῖρον εἶναι] *εἶναι τὸ ὑπεραῖρον* St.

11. *τὸ κέλυφος*] ,,Articulum addidit Heinsiana, nec dissentiunt Codices scripti" Schn. et St.; *τὸ* om. Ald.

πτίσαντες] UMV, de conj. Salmas. Exerc. p. 687; *pinsentesque* G.; *siccata tundunt* Plin.; *ὀπτήσαντες* Ald. Edd.

σιτίῳ] *ὡς σιτίῳ* iterum St.; *σίτῳ* tacite dedit Sch.

κασταναϊκῷ] mBas. H. St. Sch.; *κασαναϊκῷ* Ald.; *καναναικῷ* M.

ἑψ. δὲ καὶ] *ἑψ. δὲ ἢ καὶ* St.

ὀπτώμενον] PH. St. Sch.; *ὀπτόμενον* Ald.

λεκιθῶδες] UMVP Ald Bas. St. Sch.; *λεκυθῶδες* Cam. H.

ἐν τῇ π.] *ἐν* om. St.

ἐσθίεται—ὀπτή] sic Sch. de conj.; *ἐσθίεται δὲ καὶ ὠμόν· ἀρίστη δ᾽ ἐν τοῖς ὕδασιν αὐτὴ ὠμή* Ald.; *—ἀοίστη δὲ καὶ τοῖς ὕδασιν αὐτὴν* UMV ac deinceps *ομη* U, *ὠμῆ* V, *ὠμὴ* M; *ἀρίστη δὲ ἐν τῷ ὕδατι* jam Heins. et St., qui deinceps *ἑφθὴ ἢ καὶ ὀπτή* scripsit. Emendationem suam duxit Schn. a Plinio. G.: *manditur etiam crudum. Sed gratius decoctum seu aqua seu pruna.* Ceterum lectionem a Sch. receptam veram non esse arguit articulus ante *ὕδατι* minime aptus. Reputanti literarum ductus in Urbinatis scriptura obtulit se conjectura, quam adponam, etsi non habeo unde confirmem: *ἀρίστη δὲ ἐν τῷ ἀρσινοήτῃ νόμῳ.*

12. *οὐ πόρρω*] Plin. 21, 15 s. 52 negationem non habet.

μαλιναθάλλη] Ald. Edd. G.; *μαλιναν θάλλην* U; *anthalium* Plin. unde *ἀνθάλλιον* Salm. Homon. 199.

δὲ ἄφλοιον] *δὲ καὶ ἄφλοιον* Schn. cum Vo. et St.

πείρῳ· ταῦτα συνάγοντες οἱ κατὰ τὴν χώραν ἑψοῦσιν ἐν βρυτῷ τῷ ἀπὸ τῶν
κριθῶν καὶ γίνεται γλυκέα σφόδρα· χρῶνται δὲ πάντες ὥςπερ τραγήμασι.
13. τοῖς δὲ βουσὶ καὶ τοῖς προβάτοις ἅπαντα μὲν τὰ φυόμενα ἐδώδιμά ἐστιν, ἓν δέ
τι γένος ἐν ταῖς λίμναις καὶ τοῖς ἕλεσι φύεται διαφέρον ὃ καὶ χλωρὸν νέμον-
ται καὶ ξηραίνοντες παρέχουσι κατὰ χειμῶνα τοῖς βουσὶν ὅταν ἐργάσωνται·
14. καὶ τὰ σώματα ἔχουσιν εὖ σίτου ἄλλο λαμβάνοντες οὐθέν. ἔστι δὲ καὶ ἄλλο
παραφυόμενον αὐτόματον ἐν τῷ σίτῳ· τοῦτο δὲ ὅταν ὁ σῖτος ᾖ καθαρὸς ὑπο-
πτήσαντες καταβάλλουσι τοῦ χειμῶνος ὑγρὰν εἰς γῆν· βλαστήσαντος δὲ τε-
μόντες καὶ ξηράναντες παρέχουσι καὶ τοῦτο βουσὶ καὶ ἵπποις καὶ τοῖς ὑποζυγί-
οις σὺν τῷ καρπῷ τῷ ἐπιγινομένῳ· ὁ δὲ καρπὸς μέγεθος μὲν ἡλίκον σήσαμον
στρογγύλος δὲ καὶ τῷ χρώματι χλωρὸς, ἀγαθὸς δὲ διαφερόντως. ἐν Αἰγύπτῳ
μὲν οὖν τὰ περιττὰ σχεδὸν ταῦτα ἄν τις λάβοι.
11. H.St. Cap. IX. Ἕκαστοι δὲ τῶν ποταμῶν ἐοίκασιν ἴδιόν τι φέρειν ὥςπερ καὶ τῶν
χερσαίων. ἐπεὶ οὐδὲ ὁ τρίβολος ἐν ἅπασιν οὐδὲ πανταχοῦ φύεται ἀλλ' ἐν τοῖς
ἑλώδεσι τῶν ποταμῶν· ἐν μεγίστῳ δὲ βάθει πενταπήχει ἢ μικρῷ μείζονι καθ-
άπερ περὶ τὸν Στρυμόνα· σχεδὸν δὲ ἐν τοσούτῳ καὶ ὁ κάλαμος καὶ τὰ ἄλλα.
ὑπερέχει δὲ οὐθὲν αὐτοῦ πλὴν αὐτὰ τὰ φύλλα ὥςπερ ἐπινέοντα καὶ κρύπτοντα
τὸν τρίβολον, ὁ δὲ τρίβολος αὐτὸς ἐν τῷ ὕδατι νεύων εἰς βυθόν. τὸ δὲ φύλλον
2. ἐστὶ πλατὺ προσεμφερὲς τῷ τῆς πτελέας, μίσχον δὲ ἔχει σφόδρα μακρόν· ὁ δὲ
καυλὸς ἐξ ἄκρου παχύτατος ὅθεν τὰ φύλλα καὶ ὁ καρπὸς, τὰ δὲ κάτω λεπτό-
τερος ἀεὶ μέχρι τῆς ῥίζης· ἔχει δὲ ἀποπεφυκότα ἀπ' αὐτοῦ τριχώδη τὰ μὲν
πλεῖστα παράλληλα τὰ δὲ καὶ παραλλάττοντα, κάτωθεν ἀπὸ τῆς ῥίζης μεγάλα
τὰ δὲ ἄνω ἀεὶ ἐλάττω προϊοῦσιν, ὥστε τὰ τελευταῖα μικρὰ πάμπαν εἶναι καὶ

ἑψοῦσιν] *ὑψοῦσιν* P.
ταῦτα — γλυκέα] *τοῦτο — γλυκὺ* St.
13. *ξηραίνοντες*] *ξηραίροντες* H. St.
εὖ σίτου ἄλλο] dedi de conj.; *εὐσιτοῦντα* Ald. Edd., quod neque structura aptum neque significatione. Sch. post *οὐθὲν* add. *ἄλλο* i. u.
14. *ὑποπτήσαντες*] Ald. H. St.; *ὑποπτίσαντες* Sch. e vers. G. *leviter pinsentes*; *ὑποβρέξαντες* conj. Bod., quod probat Spreng.; *ὑποπτίσσαντες* St. Si fas esset mutare *ἀπολοπίσαντες* scriberem.
ὑγρὰν εἰς γῆν] sic correxi; *ὑγρὰν τὴν γῆν* Ald. Edd., ubi articulus et omnino otiosus, et quo loco positus est minime aptus. Neque si pro *ὑποπτήσαντες* scriberes *ὑπαρρώσαντες* vel *ὑπορύξαντες* — ejusmodi enim verbum requirit Sch. — posset *εἰς* abesse. *ὑγρὸν εἰς τὴν γῆν* dedit St. Fortasse plura sunt in vitio, et pro *καθαρὸς* reponendum *ἁδρός*. Ceterum *καταάλλουσι* U.
βλαστήσαντος] *βλαστήσαντες* P.
τῷ ἐπιγινομένῳ] UMV Ald. St. Sch.; *τοῦ ἐπιγινομένου* H.
τὰ περιττὰ] UMV Sch.; *supervacua* G.; *τὰ πάντα* Ald. H. St.

Cap. IX.

χερσαίων] *τόπων* i. u. add. Sch.
ἐν μεγίστῳ δὲ βάθει] *οὐκ ἐν μεγίστῳ βάθει, ἢ* St.
καθάπερ] corr. Sch.; *καθὰ οἱ* Ald. Edd.
Στρυμόνα] Sch.; *στρύμωνα* Ald. Edd.; *Στρυμῶνα* U.
ἐπινέοντα] Ald. Edd.; *ἐπιναίοντα* U; *inflexa* G., qui *ἐπινεύοντα* habuisse videtur.
νεύων] U: *νεύον* M; *νεύει* Ald. Edd.
τῷ τῆς πτ.] *τῆς* om. MP.
2. *παχύτατος*] corr. H. St. Sch. e Dioscor. 4, 15 *καυλὸς δὲ ἐξ ἄκρου παχύς*; *crassiori* G.; *βαθύτατος* UMV Ald.; *ἐξ ἄκρου* om M1.
ὅθεν] *οὐθὲν* M1.
ῥίζης. ἔχει δὲ ἀποπ.] Ald. H. St. Cum G., ubi haec conjuncta continuantur, conjunxit etiam expulso *δὲ* Sch.: *ῥίζης ἔχει ἀποπ.* — Post *τριχώδη* addit *τινα* i. u. St.
κάτωθεν] *μὲν* adjecit Sch., quod nescio an poni necesse sit.
προϊοῦσιν] *procedunt* G., videtur igitur *προϊᾶσι* habuisse.
πάμπαν] *πάντα* V.

τὴν διαφορὰν μεγάλην τὴν ἀπὸ τῆς ῥίζης πρὸς τὸν καρπόν. ἔχει δὲ ἐκ τοῦ ἑνὸς καυλοῦ καὶ παραβλαστήματα πλείω· καὶ γὰρ τρία καὶ τέτταρα, μέγιστον δ' αἰεὶ τὸ πλησιαίτερον τῆς ῥίζης, εἶτα τὸ μετὰ τοῦτο καὶ τὰ ἄλλα κατὰ λόγον. τὸ δὲ παραβλάστημά ἐστιν ὥςπερ καυλὸς ἄλλος λεπτότερος μὲν τοῦ πρώτου τὰ δὲ φύλλα καὶ τὸν καρπὸν ἔχων ὁμοίως. ὁ δὲ καρπὸς μέλας καὶ σκληρὸς σφόδρα. ῥίζαν δὲ ἡλίκην καὶ ποίαν ἔχει σκεπτέον. ἡ μὲν οὖν φύσις τοιαύτη.
φύεται μὲν ἀπὸ τοῦ καρποῦ τοῦ πίπτοντος καὶ ἀφίησι βλαστὸν τοῦ ἦρος· φασὶ 3.
δὲ οἱ μὲν εἶναι ἐπέτειον οἱ δὲ διαμένειν τὴν μὲν ῥίζαν εἰς χρόνον ἐξ ἧς καὶ τὴν βλάστησιν εἶναι τοῦ καυλοῦ. τοῦτο μὲν οὖν σκεπτέον. ἴδιον δὲ παρὰ τἆλλα τὸ τῶν παραφυομένων ἐκ τοῦ καυλοῦ τριχωδῶν· οὔτε γὰρ φύλλα ταῦτα οὔτε καυλός· ἐπεὶ τό γε τῆς παραβλαστήσεως κοινὸν καλάμου καὶ ἄλλων.

Cap. X. Τὰ μὲν οὖν ἴδια θεωρητέον ἰδίως δῆλον ὅτι τὰ δὲ κοινῶς. διαιρεῖν δὲ χρὴ καὶ ταῦτα κατὰ τοὺς τόπους, οἷον εἰ τὰ μὲν ἕλεια τὰ δὲ λιμναῖα τὰ δὲ ποτάμια μᾶλλον ἢ καὶ κοινὰ πάντων τῶν τόπων· διαιρεῖν δὲ καὶ ποῖα ταὐτὰ ἐν τῷ ὑγρῷ καὶ τῷ ξηρῷ φύεται, καὶ ποῖα ἐν τῷ ὑγρῷ μόνον, ὡς ἁπλῶς εἰπεῖν πρὸς τὰ κοινότατα εἰρημένα πρότερον. ἐν δ' οὖν τῇ λίμνῃ τῇ περὶ Ὀρχομενὸν τάδ' ἐστὶ τὰ φυόμενα δένδρα καὶ ὑλήματα, ἰτέα ἐλαίαγνος σίδη κάλαμος

ἀπὸ τῆς ῥ.] St. om. *ἀπὸ* et pro *καρπὸν* scribit *καυλὸν*, quod G. habuit.

ἔχει δὲ ἐκ τοῦ ἑνὸς καυλοῦ] U Sch.syll.; om. cett. Schn. in Auctar. p. 35 *καρποῦ* pro *καυλοῦ* scripsit lapsu calami.

πλησιαίτερον] U Sch.; *πλησιαίστερον* MV; *πλησιέστερον* Ald. Edd. — *αἰεὶ* dedi cum M V; *ἀεὶ* Ald. Edd.

τὸ μετὰ] UMV Sch.; *τὰ μετὰ* Ald. H. St.

3. *φύεται μὲν*] UMV Sch.; *φύεται μέντοι* Ald. Edd.

τοῦ πίπτ.] U, Sch.syll.; *τοῦ* om. Ald. Edd. o.

τήν μὲν ῥίζαν] E commentario colligere licet Schneiderum voluisse *τήν γε ῥίζαν* scribere.

παρὰ τἆλλα τὸ] U, Sch.syll.; *παρὰ τῶν ἄλλων* Ald. H. St.; *παρὰ τὰ τῶν ἄλλων* Sch.cont.

καὶ ἄλλων] U, Sch. e conj.; *aliisque* G.; *καὶ ἄλλου* Ald. Edd.

Cap. X.

τὰ δὲ κοινῶς] Ald. H.; *τὰ δὲ ἄλλα κοινῶς* St.; *τὰ δὲ κοινὰ κοινῶς* Sch.

καὶ ταῦτα κατὰ τοὺς τόπους] U Sch.syll.; *κατὰ τοὺς τόπους* V; *καὶ κατὰ τόπους* Ald. H. St.; *κατὰ τόπους* M; *καὶ κατὰ τοὺς τύπους* Sch.cont.

διαιρεῖν δὲ καὶ] UMVP Sch.; *καὶ* om. Ald. Edd.

ταὐτὰ] corr. Sch.; *ταῦτα* Ald. Edd. Dein ante *τῷ ξηρῷ* addidit *ποῖα* St.

μόνον, ὡς ἁπλῶς] UMV; *μόνον· ὡς δ' ἁπλῶς* Ald. Edd. o.

πρὸς τὰ κοινότατα εἰρημένα πρ.] sic correxi; *κοινότατα προςειρημένα πρότερον* Ald. H. et addito ab initio *τὰ* St.; *πρὸς τὰ εἰρημένα πρότερον κοινότατα* [*διαιρεῖν*] Sch. cont., in Syll. ultimam vocem sustulit; *ad ea quae volumine primo exposuimus maxime communiter digerendum est* G., qui potius *κοινότατα πρὸς τὰ εἰρημένα πρότερον* scriptum legit.

ἐν δ' οὖν] *δ'* habent UMVP Sch.syll., omitt. Ald. Edd. o.

τάδ' ἐστὶ τὰ] H. St. Sch.; *τόδ' ἐστὶ· τὰ* UMV Ald.

ἐλαίαγνος] Ald. H.; *ἐλειάγνος* St.; *ἐλείαγνος* hic et deinde ter scripsit Sch. sed in Syllabo veterem scripturam restituit; *ἐλαία λάγνος* MVP; *ἐλαια αγνος* U; *oleagnusque oleae amerinaeque speciem profert* G. ubi verba sic distinguenda *oleagnus, quae oleae* etc. et haec tanquam interpretamentum addita esse censeo. *ἐλαία ἄγνος* m Bas. Hesych.: *ἐλέαγνος φυτὸν θαμνῶδες.*

ὅ τε αὐλητικὸς καὶ ὁ ἕτερος κύπειρον φλεὼς τύφη, ἔτι γε μήνανθος ἴκμη καὶ
τὸ καλούμενον ἴπνον. ὃ γὰρ προςαγορεύουσι λέμνα τοῦτο πλείω τὸ καθ' ὕδα-
2. τός ἐστι. τούτων δὲ τὰ μὲν ἄλλα γνώριμα· ὁ δ' ἐλαίαγνος καὶ ἡ σίδη καὶ ἡ
μήνανθος καὶ ἡ ἴκμη καὶ τὸ ἴπνον ἴσως μὲν φύεται καὶ ἑτέρωθι προςαγορεύε-
ται δὲ ἄλλοις ὀνόμασι· λεκτέον δὲ περὶ αὐτῶν. ἔστι δὲ ὁ μὲν ἐλαίαγνος φύ-
σει μὲν θαμνῶδες καὶ παρόμοιον τοῖς ἄγνοις, φύλλον δὲ ἔχει τῷ μὲν σχήματι
παραπλήσιον μαλακὸν δὲ ὥσπερ αἱ μηλέαι καὶ χνοῶδες. ἄνθος δὲ τῷ τῆς
λεύκης ὅμοιον ἔλαττον· καρπὸν δὲ οὐδένα φέρει. φύεται δὲ ὁ πλεῖστος μὲν
ἐπὶ τῶν πλοάδων νήσων· εἰσὶ γάρ τινες καὶ ἐνταῦθα πλοάδες ὥςπερ ἐν Αἰ-
γύπτῳ περὶ τὰ ἕλη καὶ ἐν Θεσπρωτίδι καὶ ἐν ἄλλαις λίμναις· ἐλάττων δὲ καθ'
3. ὕδατος· ὁ μὲν οὖν ἐλαίαγνος τοιοῦτον. ἡ δὲ σίδη τὴν μὲν μορφήν ἐστιν ὁμοία
τῇ μήκωνι· καὶ γὰρ τὸ ἄνω κυτινῶδες τοιοῦτον ἔχει πλὴν μεῖζον ὡς κατὰ λό-
γον· μεγέθει δὲ ὅλος ὁ ὄγκος ἡλίκον μῆλον· ἔστι δὲ οὐ γυμνὸν ἀλλὰ ὑμένες
περὶ αὐτὴν λευκοί, καὶ ἐπὶ τούτοις ἔξωθεν φύλλα ποώδη παραπλήσια τοῖς τῶν
ῥόδων ὅταν ἐν κάλυξιν ὦσι, τέτταρα τὸν ἀριθμόν· ἀνοιχθεῖσα δὲ τοὺς κόκκους
ἐρυθροὺς μὲν ἔχει τῷ σχήματι δὲ οὐχ ὁμοίους ταῖς ῥόαις ἀλλὰ περιφερεῖς

κύπειρον] UMVPSch.syll.; *κύπειρος* Ald. H. St. Alibi ut 1, 8, 1 et 1, 10, 5 *κύπειρος* habet Ald. ubi e Codd. nulla varietas affertur. Utroque sexu in usu fuisse videtur.

φλεὼς] Schn.; *φλεῷ* U Ald.; *φλεῶ* V; *φλειῷ* St. *φλεὼς* est Arist. H. An. 10, 27. ed. Bekk.

τύφη] St. Sch.; *τύφῃ* Cam. H.; *τίφη* UMV Ald.

ἔτι γε μήνανθος] U Sch.syll.; *ἔτι γε μὴν ἄνθος* MV; *ἔτι γε μὴν μίνανθος* Ald. et, praeter ipsum plantae nomen, Edd. Hoc enim *μήνανθος* H.; *μηνύανθος* St.; *μενύανθος* Sch.; *μινύανθος* unum probat Salmas. Ex. p. 172; *mensifloram* G.

ἴκμη] U, Sch. e vers. G. *icma*; *λήμι* MV; om. Ald. Edd.

λέμνα] *λέμναν* St.; *λέμμα* vult Dalecamp. H. pl. 1014.

τοῦτο πλείω τὸ καθ' ὑδ.] UM; *τ. πλεῖον τὸ κ. ὑ.* Ald.; *τοῦτο τὸ πλέον καθ' ὑ.* Sch.; *τούτου τὰ πλείω καθ' ὑ.* idem in Syll. G.: *Quod enim lemma vocatur, altius mergitur in aqua*, quem Schneiderus *τοῦτο τὸ πλέον* legisse et a *πλέω*, nato, deduxisse ratus errat. Etenim in versione Gazae *altius* voci *πλεῖον* et *mergitur* v. *κατὰ* respondet.

2. *ὁ δ' ἐλαίαγνος*] Sch.syll.; *ἡ δ' ἐλαίαγνος* Ald. Edd.; *ἐλαια αγνος* U; *ἡ δὲ ἐλαία ὁ ἄγνος* P; *ἡ δ' ἐλειάγνος* Sch.cont.

μήνανθος] UMV H. Sch.syll.; *μηνύανθος* St.; *μενύανθος* Sch.cont.; *μίνανθος* Ald.

ἴκμη] P H. St. Sch.; *icma* G.; *ἰκάμη* Ald.

μὲν φύ.] U Ald. Edd.; *φύ. μὲν* V Sch.

ὁ μὲν ἐλ.] UV Sch.syll.; *ὁ μὲν ἐλ.* M; *ἡ μὲν ἐλ.* Ald. Edd.

φύσει μὲν θαμν.] U, Sch. e conj.; *φύει μὲν θαμν.* MV; *natura fruticosa* G.; *φυτὸν θαμν.* Ald. Edd.

τοῖς ἄγνοις] mBas. Sch.; *nec ceteris amerinis absimilis* G.; *τοῖς ἄλλοις* Ald. H.; *τῷ ἄγνῳ* St.

παραπλήσιον] *τούτῳ* add. i. u. St. Mox idem *τὰ τῆς μηλέας*.

καὶ χνοῶδες· ἄνθος δὲ] Ald. H.; *ἄνθος δὲ χνοῶδες· καρπὸν δὲ οὐδένα* verbis septem omissis St.; *καὶ τὸ ἄνθος δὲ χνοῶδες, τῷ τῆς λ. ὁ* Schn.

ἔλαττον· καρπὸν δὲ οὐδ.] M Ald. Edd.; *ἔλαττον δὲ· καρπὸν οὐδ.* V; *ἔλαττον δὲ καρπὸν δὲ οὐδ.* Sch.

ἐλάττων δὲ καθ' ὕδατος] *sed illae minus aqua implentur* G. e scriptura diversa.

ὁ μὲν οὖν ἐλ.] UMV Sch.syll.; *ἡ μὲν οὖν ἐλ.* Ald. Cam.; *ἡ μὲν οὖν ἐλ.* Bas. H. St.

3 *τῇ μήκωνι*] Hoc in suspicionem trahit H. Mercurialis Var. Lect. 2, 4, nec immerito. Athenae. 14 p. 651 ex Theophrasto haec habet: *λέγεται δέ τι καὶ φυτὸν σίδη ὅμοιον ῥοιᾷ* etc. Certe quod sequitur *τὸ κυτινῶδες* punicae magis quam papaveri convenit.

κυτινῶδες] UMV Ald. Sch.syll.; *κωδιῶδες* H. St. Sch.cont. Ceterum *κατὰ γὰρ τ. α.* St.

τοῖς τῶν ῥόδων] *ῥοῶν* commendavit Bod. propter *κυτινῶδες* praemissum; *ῥόων* St.

ὁμοίους] Ald. Edd.; *ὁμοίως* UMV.

ταῖς ῥόαις] de conj. Bodaei Sch., sumta e Schol. Nicandri Ther. v. 887 *ἡ δὲ σίδη φυτόν ἐστιν ὃ κατὰ Θεόφραστον ἐν Ὀρχο-*

μικροὺς δὲ καὶ οὐ πολλῷ μείζους κέγχρου· τὸν δὲ χυλὸν ὑδατώδη τινὰ καθά-
περ ὁ τῶν πυρῶν. ἁδρύνεται δὲ τοῦ θέρους, μίσχον δὲ ἔχει μακρόν. τὸ δὲ
ἄνθος ὅμοιον ῥόδου κάλυκι μεῖζον δὲ καὶ σχεδὸν διπλάσιον τῷ μεγέθει. τοῦτο
μὲν οὖν καὶ τὸ φύλλον ἐπὶ τοῦ ὕδατος· μετὰ δὲ ταῦτα ὅταν ἀπανθήσῃ καὶ
συστῇ τὸ κατακάρπιον κατακλίνεσθαί φασιν εἰς τὸ ὕδωρ μᾶλλον, τέλος δὲ συν-
άπτειν τῇ γῇ καὶ τὸν καρπὸν ἐκχεῖν. καρποφορεῖν δὲ τῶν ἐν τῇ λίμνῃ τοῦτο 4
καὶ τὸ βούτομον καὶ τὸν φλεών. εἶναι δὲ τοῦ βουτόμου μέλανα τῷ δὲ μεγέθει
παραπλήσιον τῷ τῆς σίδης. τοῦ δὲ φλεὼ τὴν καλουμένην ἀνθήλην, ᾧ χρῶνται
πρὸς τὰς κονίας· τοῦτο δ' ἐστὶν οἷον πλακουντῶδές τι μαλακὸν ἐπίπυρρον. ἔτι
δὲ καὶ τοῦ φλεὼ καὶ τοῦ βουτόμου τὸ μὲν θῆλυ ἄκαρπον, χρήσιμον δὲ πρὸς τὰ
πλόκανα, τὸ δὲ ἄρρεν ἀχρεῖον. περὶ δὲ τῆς ἴκμης καὶ μηνάνθους καὶ τοῦ
ἴπνου σκεπτέον. ἰδιώτατον δὲ τούτων ἐστὶν ἡ τύφη καὶ τῷ ἄφυλλον εἶναι καὶ 5.
τῷ μὴ πολύρριζον τοῖς ἄλλοις ὁμοίως· ἐπεὶ τἆλλα οὐχ ἧττον εἰς τὰ κάτω τὴν
ὁρμὴν ἔχει καὶ τὴν δύναμιν· μάλιστα δὲ τὸ κύπειρον ὥςπερ καὶ ἡ ἄγρωστις δι'
ὃ καὶ δυςώλεθρα καὶ ταῦτα καὶ ὅλως ἅπαν τὸ γένος τὸ τοιοῦτον. ἡ δὲ ῥίζα

μενῷ φύεται ἐν ὕδατι ῥίζα ὂν τηλίκον δὲ ἡλίκον μήκων· ἔχει δὲ κόκκους ἐρυθροὺς ὁμοίους ῥοιᾶς στρογγυλοτέρους δέ; τοῖς τῶν ῥόων St.; *ταῖς ῥίζαις* UMV Ald. H.; *ταῖς ῥυάσι* vel *ῥυάδεσι* conj. Scalig.; etenim G.: *figura non modo papaveris.* Equidem suspicor *τοῖς κνιδίοις* scriptum fuisse. Haec semina usu medico trita ac in vulgus nota erant, atque nomine *κόκκοι* vel solo significabantur; cf. Galen. Lex. H. s. *κόκκωνα.*

κέγχρου] mBas. H. St. Sch.; *κέγχου* U; *κάγχρου* Ald.

τῶν πυρῶν] *τῶν ῥόων* Bod. St.

μακρὸν] U; *μικρὸν* Ald. Edd. o.

ῥόδου καλ.] *ῥόου καλ.* St. Ceterum ex hac inopportune repetita floris descriptione vides locum minime integrum, sed interpolatum aut conturbatum saltem esse.

τοῦτο μὲν οὖν] UM Sch. et Scalig. de conj.; *τούτου μ. ο.* Ald. Edd. — Post *μεῖζον δὲ* add. *καρπόν* i. u. St.

κατακάρπιον] Suspicor *περικάρπιον* scriptum fuisse.

κατακλίνεσθαι] *κατακλίνασθαι* M.

συνάπτειν τῇ γῇ] U Sch.; *σ. ἐπὶ τῇ γῇ* Ald. Edd.; *terram attingere* G.

4 *λίμνῃ τοῦτο*] sic Ald.; *λίμνῃ τρία, τοῦτο μὲν* mBas. Schn. versionem Gazae secuti. *καρποφορεῖ — ὁ βούτομος* St.

τὸν φλεὼν] Sch. cum Schol. ad Aristoph. Ran. 244; *τὸ φλεὼς* Ald. Edd. Cf. Lobeck ad Phryn. 294.

μέλανα] Edd. post H.; *μέλαινα* M Ald.; *καρπὸν μέλανα* St.

τῷ τ. σ.] corr. Sch.; *τοῦ τ. σ.* Ald. Edd.

φλεὼ] corr. Sch.; *φλεὼς* Ald. Edd.

ἀνθήλην] P mBas. H. St. Sch.; *anthelam* G.; *ἀνθήνην* Ald. Post haec verba lacunae signum posuit Schn. At poteris *εἶναι τὸν καρπὸν* repetere: *phlei vero fructum esse quam vocant anthelam.*

πρὸς τὰς κονίας] Ald. H.; *τὰς* om Sch.; *ᾗ — κονιάσεις* St.; *quo ad lixivium utuntur* G.; *κονιάσεις* probat etiam Spr.: *deren man sich zum Tünchpinsel bedient.*

πλακοῦντῶδες] e vers. Gazae *placentaceum* H. St. Sch., idque de fructu dici posse comprobavit Sch.; *πλακαντῶδες* UMV Ald. Vox est vitiosa.

ἐπίπυρρον] UM Sch.syll.; *ἐπίπυρον* Ald. Edd.; *rubidum* G.

φλεὼ] corr. Sch.; *φλεὼς* U Ald.

πλόκανα] UMV Ald. Sch.; *ad nexus utilis* G.; *πλόκαμα* mBas. H. St. Veterem scripturam defendit Sch.

καὶ μηνάνθους] U; *καὶ μηνάνθου* MV; *καὶ τοῦ μινάνθους* P; *καὶ τοῦ μηνάνθους* Sch. in Syll. H.; *καὶ τοῦ μηντάνθους* Ald.; *καὶ τοῦ μηνυάνθους* Sch.cont.; *mensifloram* G.

5. *δὲ τούτ.*] *τὸ τούτ.* Cam.

τύφη] UM St. Sch.; *τίφη* Ald. H.

καὶ τῷ ἄφ.] UMV H. St. Sch.; *καὶ τὸ ἄφ.* Ald. — Pro *ἄφυλλον* cum Dalec. malebant *ἀφύλλανθες* Saracen. ad Dioscor. 3, 133 p. 71 et Bod. Nam Dioscor. l. l. *typhae* tribuit folia.

ἐπεὶ τἆλλα] *ἐ. τἄλλα* Ald.; *ἔπειτα τἆλλα* U. — Dein *ἔχειν* UMVP; *ὁ κύπειρος* St.

ὅλως] *ὅλον* H.

τοῦ κυπείρου πολύ τι τῶν ἄλλων παραλλάττει τῇ ἀνωμαλίᾳ, τῷ τὸ μὲν εἶναι παχύ τι καὶ σαρκῶδες αὐτῆς τὸ δὲ λεπτὸν καὶ ξυλῶδες· καὶ τῇ βλαστήσει καὶ τῇ γενέσει· φύεται γὰρ ἀπὸ τοῦ πρεμνώδους ἑτέρα λεπτὴ κατὰ πλάγιον, εἶτ' ἐν ταύτῃ συνίσταται πάλιν τὸ σαρκῶδες ἐν ᾧ καὶ ὁ βλαστὸς ἀφ' οὗ ὁ καυλός· ἀφίησι δὲ καὶ εἰς βάθος τὸν αὐτὸν τρόπον ῥίζας δι' ὃ καὶ πάντων μάλιστα δυς-
6. ώλεθρον καὶ ἔργον ἐξελεῖν. σχεδὸν δὲ παραπλησίως φύεται ἡ ἄγρωστις ἐκ τῶν γονάτων· αἱ γὰρ ῥίζαι γονατώδεις, ἐξ ἑκάστου δ' ἀφίησιν ἄνω βλαστὸν καὶ κάτωθεν ῥίζαν. ὡσαύτως δὲ καὶ ἡ ἄκανθα κεάνωνος, ἀλλ' οὐ καλαμώδης οὐδὲ γονατώδης ἡ ῥίζα ταύτης. ταῦτα μὲν οὖν ἐπὶ πλεῖον διὰ τὴν ὁμοιότητα εἴρηται. φύεται δ' ἐν ἀμφοῖν καὶ ἐν τῇ γῇ καὶ ἐν τῷ ὕδατι ἰτέα κάλαμος, πλὴν τοῦ αὐλητικοῦ, κύπειρον τύφη φλεὼς βούτομος· ἐν δὲ τῷ ὕδατι μόνον σίδη. περὶ γὰρ τῆς τύφης ἀμφισβητοῦσι. καλλίω δὲ καὶ μείζω τῶν ἐν ἀμφοῖν φυομένων αἰεὶ τὰ ἐν τῷ ὕδατι γίνεσθαί φασι. φύεσθαι δ' ἔνια τούτων καὶ ἐπὶ τῶν πλοάδων, οἷον τὸ κύπειρον καὶ τὸ βούτομον καὶ τὸν φλεὼν ὥστε πάντα τὰ μέρη
7. ταῦτα κατέχειν. ἐδώδιμα δ' ἐστὶ τῶν ἐν τῇ λίμνῃ τάδε· ἡ μὲν σίδη καὶ αὐτὴ καὶ τὰ φύλλα τοῖς προβάτοις ὁ δὲ βλαστὸς τοῖς ὑσὶν ὁ δὲ καρπὸς τοῖς ἀνθρώποις. τοῦ δὲ φλεὼ καὶ τῆς τύφης καὶ τοῦ βουτόμου τὸ πρὸς ταῖς ῥίζαις ἁπαλὸν ὃ μάλιστα ἐσθίει τὰ παιδία. ῥίζα δ' ἐδώδιμος ἡ τοῦ φλεὼ μόνη τοῖς βοσκήμασιν. ὅταν δ' αὐχμὸς ᾖ καὶ μὴ γένηται τὸ κατὰ κεφαλῆς ὕδωρ ἅπαντα αὐχμεῖ τὰ ἐν τῇ λίμνῃ, μάλιστα δὲ ὁ κάλαμος ὑπὲρ οὗ καὶ λοιπὸν εἰπεῖν· ὑπὲρ γὰρ τῶν ἄλλων σχεδὸν εἴρηται.

12 H. St. Cap. XI. Τοῦ δὴ καλάμου δύο φασὶν εἶναι γένη, τόν τε αὐλητικὸν καὶ τὸν ἕτερον· ἓν γὰρ εἶναι τὸ γένος τοῦ ἑτέρου, διαφέρειν δὲ ἀλλήλων ἰσχύϊ καὶ πα-

παραλλάττει] Ald. Edd. o.; *παραλλαγη* U; *παραλλαγει* M.
τοῦ πρεμνώδους] i. e. *e rhizomate*; *τῆς πρ.* [*ῥίζης*] St.
ἐν ᾧ — καυλὸς] Verborum ordinem mutavi, quod fieri debere vidit Sch. sed non fecit. Ut enim in Ald. Edd. habentur *ἀφ' οὗ ὁ καυλὸς ἐν ᾧ καὶ ὁ βλαστός*, plane perversa sunt. — *τι σαρκῶδες — ἐν ᾧ δὲ καὶ* etc. St.
ἔργον] *ἐστὶν* add. St.
6. *ἀφίησιν ἄνω βλαστὸν*] Bod.; *ἄνω ἀφίησιν βλαστὸν* Sch.; *ἀφίησιν ἀνάβλαστον* U MV Ald.; *ἀφ. ἀνὰ βλαστὸν* P; *ἀφίησιν ἀνάβλαστον καὶ καθάπερ* H.; *ἑκάστης δὲ ἀφίησιν ἀνὼ βλαστὸν κατώθεν ῥ.* St.
ἄκανθα κεάνωνος] UMV sine accentu; *ἄκ. κεάνωθος* Ald.; *ἄκ. ἡ κεάνωθος* H. St. Sch.; *pari modo et spina quae appellatur germinat* G.
ἐπὶ πλεῖον — εἴρηται] U Sch. syll.; *ταῦτα μὲν οὖν διὰ τ. ὁ. πλείω εἴρηται* Ald. Edd. o.; *haec prolixius. placuit explicari* G.
πλὴν τοῦ αὐλητικοῦ] U, Sch. de conj.; *τὴν τοῦ αὐλητικοῦ* MV; *ὁ αὐλητικός* Ald. H. St.
κύπειρον] UMV Ald. H.; *κύπειρος* St. Sch.
τύφη] H. St. Sch.; *τίφη* UMV Ald.
τύφης] H. St. Sch.; *τίφης* Ald.
αἰεὶ] *ἀεὶ* St.
τὸ κύπειρον] UMV Ald. H. Sch. syll.; *ὁ κύπειρος* St.; *τὸν κύπειρον* Sch. cont.
τὸ βούτομον] Ald. H.; *τὸν βουτόμον* Sch.; *ὁ βούτομος* St.
τὸν φλεὼν] Cf. § 4; *τὸν φλεὼ* Sch.; *τὸ φλεὼς* Ald. Edd.
πάντα] Ald. Edd.; *πάντως* MV.
7. *λίμνῃ*] *ῃ* deest in Ald.
αὐτὴ καὶ τὰ φ.] *αὐτῆς τὰ φύλλα* St.
τύφης] H. St. Sch.; *τίφης* M Ald.
κατὰ κεφαλῆς ὕδωρ] dedi de conj. Cf. C. pl. 6, 18, 10, etsi M ibi quoque accusativum dat; *κατὰ κεφαλὴν ὕδωρ* e corr. Scal. H. St. Sch.; *κατὰ κεφαλὴν ὕλην* UMV Ald.; *nec humor qui perlueret cacumina incessit* G.

Cap. XI.

ἓν γὰρ — γένος] *καὶ γένη φασὶν εἶναι* St.
ἰσχύϊ καὶ παχύτητι] Verba *καὶ παχύτητι*, quae propter sensum necessaria sunt, sed

χύτητι καὶ λεπτότητι καὶ ἀσθενείᾳ· καλοῦσι δὲ τὸν μὲν ἰσχυρὸν καὶ παχὺν χα-
ρακίαν τὸν δ' ἕτερον πλόκιμον· καὶ φύεσθαι τὸν μὲν πλόκιμον ἐπὶ τῶν πλοά-
δων τὸν δὲ χαρακίαν ἐπὶ τοῖς κώμυσι· κώμυθας δὲ καλοῦσι οὗ ἂν ᾖ συνηθροισ-
μένος κάλαμος καὶ συμπεπλεγμένος ταῖς ῥίζαις· τοῦτο δὲ γίνεται καθ' οὓς ἂν
τόπους τῆς λίμνης εὔγειον ᾖ χωρίον· γίνεσθαι δέ ποτε τὸν χαρακίαν καὶ οὗ ὁ
αὐλητικὸς, μακρότερον μὲν τοῦ ἄλλου χαρακίου σκωληκόβρωτον δέ. τούτου
μὲν οὖν ταύτας λέγουσι τὰς διαφοράς. περὶ δὲ τοῦ αὐλητικοῦ τὸ μὲν φύε- 2.
σθαι δι' ἐννεατηρίδος ὥσπερ τινές φασι καὶ ταύτην εἶναι τὴν τάξιν οὐκ ἀληθὲς,
ἀλλὰ τὸ μὲν ὅλον αὐξηθείσης γίνεται τῆς λίμνης· ὅτι δὲ τοῦτ' ἐδόκει συμβαί-
νειν ἐν τοῖς πρότερον χρόνοις μάλιστα δι' ἐννεατηρίδος, καὶ τὴν γένεσιν τοῦ κα-
λάμου ταύτην ἐποίουν τὸ συμβεβηκὸς ὡς τάξιν λαμβάνοντες. γίνεται δὲ ὅταν 3.
ἐπομβρίας γενομένης ἐμμένῃ τὸ ὕδωρ δύ' ἔτη τοὐλάχιστον, ἂν δὲ πλείω καὶ
καλλίων· τούτου δὲ μάλιστα μνημονεύουσι γεγονότος τῶν ὕστερον χρόνων ὅτε
συνέβη τὰ περὶ Χαιρώνειαν· πρὸ τούτων γὰρ ἔφασαν ἔτη πλείω βαθυνθῆναι
τὴν λίμνην· μετὰ δὲ ταῦτα ὕστερον ὡς ὁ λοιμὸς ἐγένετο σφοδρὸς πλησθῆναι
μὲν αὐτὴν, οὐ μείναντος δὲ τοῦ ὕδατος ἀλλ' ἐκλιπόντος χειμῶνος οὐ γενέσθαι
τὸν κάλαμον· φασὶ γὰρ καὶ δοκεῖ βαθυνομένης τῆς λίμνης αὐξάνεσθαι τὸν κάλ-
αμον εἰς μῆκος, μείναντα δὲ τὸν ἐπιόντα ἐνιαυτὸν ἁδρύνεσθαι· καὶ γίνεσθαι
τὸν μὲν ἁδρυθέντα ζευγίτην, ᾧ δ' ἂν μὴ συμπαραμείνῃ τὸ ὕδωρ βομβυκίαν.

ab Ald. H. absunt, addidi auctore Dalec. cum G. St. et Sch. sed alio loco. St. et Sch.: *ἰσχύϊ καὶ ἀσθενείᾳ καὶ παχύτητι καὶ λεπτότητι.* Ordinem eum secutus sum, quem G. habet, et sequentia postulant.

πλόκιμον] Plinium *πλωτίαν* scriptum legisse animadvertit Sch.

καὶ φύεσθαι τὸν μὲν] U Sch.syll.; *φύεσθαι τὸν μὲν* MP; *φύεσθαι δὲ τὸν μὲν* Ald. Edd.

κάλαμος] ὁ praeposuere St. Sch.

ὁ αὐλητικός] U St. Sch; ὁ om. Ald. H.

μακρότερον μὲν] *μακρ. τὴν* Bod. ex err.; *μακρ. τὸν μὲν* St.

τούτου] *τούτων* St.

2. *τὸ μὲν φύεσθαι*] corr. St. Sch.; *τὸν μὲν φ.* UV Ald. H.

ἐννεατηρίδος] M Sch.; *ἐννετηρίδος* UV; *ἐνναετηρίδος* hic et mox Ald. Edd. — Mox *ἐννετηρίδος* UMV.

οὐκ ἀληθές] Ald. Sch.; *οὐκ αλησθε* U; *οὐκ ἄληθες* MV; *οὐκ ἀληθὲς δὲ* H. St.

τοῦτ' ἐδόκει] cum RConst. Sch.; *τοῦτο δοκεῖ* Ald. H. St.

λαμβάνοντες] *λαμβάνοντος* U.

3. *ἐμμένῃ*] U Sch.syll.; *διεμμένῃ* Ald. Edd.

δύ' ἔτη] dedi de conj.; *διετῆ* UMV Ald.; *διετεῖ* vel *διετὲς* corr. RConst.; *διετὲς* St. Sch. Cf. C. E. Ch. Schneider ad Plat. Civ. VII. 540 E.

ἂν δὲ πλείω καὶ καλλίων] corr. Sch.syll.; *δὲ* solus dat U; *ἂν πλείω καὶ καλλίω* Ald.; *καὶ πλείων καὶ καλλίων* Sch.cont. cum G.

Χαιρώνειαν] P Sch. cum Meurs. Th. p. 91; *Χαιρωνιαν* U; *Χερώνιαν* M; *Χερώνειαν* Ald. Edd.; *Cheroniae* G.

ἔτη πλείω] corr. Scalig. Sch.; *ἔτι πλείω* UMV; *ἔτι πλεῖον* Ald. Edd.; *annis pluribus* G.

λοιμὸς — σφοδρὸς] *λιμὸς — σφοδρῶς* U.

ἐκλιπόντος] U Sch. de conj.; *ἐκλείποντος* MV; *ἐκλελειπότος* Ald. H. St.; *ἐκλελοιπότος* Sch.cont. — Antea *ἀλλ'* om. P.

οὐ γενέσθαι] Ald. Edd.; *ὃ γ.* MV; *οὕτω γεν.* mBas; *sic et harundinem provenisse* G.

βαθυνομένης] *μὴ* anteponit St. Spr. vult *πληθυνομένης* scribi. Equidem dubius haereo. Theo. non satis dilucide rem exposuisse videtur, nisi scriptura laborat. Ceterum P dat: *φασὶ γὰρ καὶ βαθυνομένης τῆς λίμνης δοκεῖ μείναντα* etc.

αὐξάνεσθαι τὸν κάλαμον εἰς μῆκος, μείναντα δὲ] U Sch.syll.; verba quatuor priora et *δὲ* om. Ald. Edd.; Sch. fecerat *καὶ μείναντος,* St. *ἀλλὰ μείναντος τοῦ ὕδατος.*

ἁδρύνεσθαι] Sch.; *ἀδρ*— Ald. Edd. Et sic mox quoque.

ᾧ δ' ἂν] UM Ald. Sch.syll.; *οὐδ' ἂν* H.; *ἂν δὲ* St.; *ὅταν δὲ* Sch.cont. auctore RConst. — Paullo ante *τὸν* om. St.

βομβυκίαν] *βοβυνκίαν* V.

4. τὴν μὲν οὖν γένεσιν εἶναι τοιαύτην. διαφέρειν δὲ τῶν ἄλλων καλάμων ὡς καθ'
ὅλου λαβεῖν εὐτροφίᾳ τινὶ τῆς φύσεως· εὐπληθέστερον γὰρ εἶναι καὶ εὐσαρ-
κότερον καὶ ὅλως δὲ θῆλυν τῇ προςόψει. καὶ γὰρ τὸ φύλλον πλατύτερον ἔχειν
καὶ λευκότερον τὴν δὲ ἀνθήλην ἐλάττω τῶν ἄλλων, τινὰς δὲ ὅλως οὐκ ἔχειν
οὓς καὶ προσαγορεύουσιν εὐνουχίας· ἐξ ὧν ἄριστα μέν φασί τινες γίνεσθαι τὰ
ζεύγη, κατορθοῦν δὲ ὀλίγα παρὰ τὴν ἐργασίαν. τὴν δὲ τομὴν ὡραίαν εἶναι
πρὸ Ἀντιγενίδου μὲν ἡνίκ' ηὔλουν ἀπλάστως ὑπ' ἀρκτοῦρον Βοηδρομιῶνος μη-
νός· τὸν γὰρ οὕτω τμηθέντα συχνοῖς μὲν ἔτεσιν ὕστερον γίνεσθαι χρήσιμον
καὶ προκαταυλήσεως δεῖσθαι πολλῆς συμμύειν δὲ τὸ στόμα τῶν γλωττῶν, ὃ
5. πρὸς τὴν διατορίαν εἶναι χρήσιμον. ἐπεὶ δὲ εἰς τὴν πλάσιν μετέβησαν καὶ ἡ
τομὴ μετεκινήθη· τέμνουσι γὰρ δὴ νῦν τοῦ Σκιρροφοριῶνος καὶ Ἑκατομβαιῶνος
ὥςπερ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς. γίνεσθαι δέ φασι τριένόν τε χρήσι-
μον καὶ καταυλήσεως βραχείας δεῖσθαι καὶ κατασπάσματα τὰς γλώττας ἴσχειν·
τοῦτο δὲ ἀναγκαῖον τοῖς μετὰ πλάσματος αὐλοῦσι. τοῦ μὲν οὖν ζευγίτου ταύ-
6. τας εἶναι τὰς ὥρας τῆς τομῆς. ἡ δ' ἐργασία γίνεται τοῦτον τὸν τρόπον· ὅταν
συλλέξωσι τιθέασιν ὑπαίθριον τοῦ χειμῶνος ἐν τῷ λέμματι· τοῦ δ' ἦρος περι-
καθάραντες καὶ ἐκτρίψαντες εἰς τὸν ἥλιον ἔθεσαν. τοῦ θέρους δὲ μετὰ ταῦτα
συντεμόντες εἰς τὰ μεσογονάτια πάλιν ὑπαίθριον τιθέασι χρόνον τινά. προς-
λείπουσι δὲ τῷ μεσογονατίῳ τὸ πρὸς τοὺς βλαστοὺς γόνυ· τὰ δὲ μήκη τὰ τού-

εἶναι τοιαύτην] *εἶναι* addidi de meo. Sch. fecerat *τοιαύτην λέγουσι*. Ceterum ni fallor plura hic exciderunt. Nam ad quamnam calami speciem sequentia referenda sint minime apparet. — Post *καλάμων* addit St. i. u. *ὁ ζευγίτης*.

4. *διαφέρειν*] cum RConst. Sch.; *διαφέρει* Ald. Edd.

εὐτροφίᾳ] P H. et Sch. cum G.; *ἀτροφίᾳ* Ald.

εὐπληθέστερον — εὐσαρκότερον] UMVP Sch. et G.; *ἀπληθ.—ἀσαρκ.* Ald. H. St. — Ante *εἶναι* posuit *φασιν* St., ut mox ante *ὅλως*. Ceterum *εὐσαρκώτερον* P. — Dein *θῆλυ* P.

ἔχειν] corr. RConst. Sch.; *ἔχει* Ald. Edd. Hic et supra in *διαφέρειν* G. habet infinitivum.

ὡραίαν εἶναι] *εἶναι* om. H. St.; nam in Camotiana per compendium scriptum est *.l:* Inde explicanda verba Schneideri in Comm. „repete e superiore oratione *γενέσθαι*," quamquam ipse in contextu *εἶναι* posuit.

ἀρκτοῦρον] U Sch.syll.; *ἀρκτούρων* MV; *ἀρκτούρῳ* Ald. Edd.

δεῖσθαι] H. St. Sch.; *δέεσθαι* MV Ald.; *δὲ ἐσθαι* cum vestigio rasurae U.

διατορίαν] ex emend. H. Steph. in Thes. l. Gr. s. v. *διακτορία*, quam probant Palmer. Ex. p. 596, Spr. *τορὸς ὁ σαφὴς ἐξ οὗ καὶ διάτορος* Eustath. p. 907. cf. Hesych. s. v.; *διακτορίαν* Ald. Edd. o.; *διακτηρίαν* UMV. Schn. suspicabatur latere vocabulum e *διάτονος* formatum.

5. *καὶ ἡ τομή*] U Sch.syll.; *καὶ* om. cett.

δὴ νῦν] U, de corr. Scal. H. St. Sch.; *δεινὴν* MV Ald.

Σκιρροφορ.] *σκίροφορ.* UM.

ὥςπερ] dedi e conj.; *ὡςπερεὶ* U H. St. Sch.; *ὡς περὶ* MV Ald.

τριένον] St. Sch.; *τρίωνον* an *τρίοννον* dubium U; *τρινὸν* MV Ald.; *τρινεόν* H.

κατασπάσματα] vox dubia, de qua interpretes in diversas partes eunt. Scal. conj. etiam *κατακλάσματα*. Spreng.: *Auch müssen die Zungen noch Schieber (Krücken) haben, (um den schwingenden Theil der Zunge zu verlängern oder zu verkürzen).*

ἴσχειν] UMVP; *ἔχειν* Ald. Edd. o.

6. *τοῦτον τὸν τρόπον*] corr. Scalig. cum G., St. Sch.; *τὸν αὐτὸν τρόπον* Ald. H. Ante haec verba excidit *γίνεται* in cont. Schn.

συντεμόντες] Ald. H. Sch.; *συντέμνοντες* M St.

μεσογονάτια] corr. Sch.; *μεσογόνια* Ald. Edd. Bis in Ald. *μεσογονάτιον* scriptum est, bis *μεσογόνιον*.

τὰ πρὸς τοὺς βλαστοὺς γόνυ] Ald. Edd. In Syll. corr. Sch. *τῷ πρὸς τοὺς βλαστοὺς τὸ γόνυ*. *relicto internodiis superiori geniculo* G.

των οὐ γίνεται διπαλαίστων ἐλάττω. βέλτιστα μὲν οὖν εἶναι τῶν μεσογονα-
τίων πρὸς τὴν ζευγοποιΐαν ὅλου τοῦ καλάμου τὰ μέσα· μαλακώτατα δὲ ἴσχειν
ζεύγη τὰ πρὸς τοὺς βλαστοὺς σκληρότατα δὲ τὰ πρὸς τῇ ῥίζῃ· συμφωνεῖν 7.
δὲ τὰς γλώττας τὰς ἐκ τοῦ αὐτοῦ μεσογονατίου τὰς δὲ ἄλλας οὐ
συμφωνεῖν· καὶ τὴν μὲν πρὸς τῇ ῥίζῃ ἀριστερὰν εἶναι τὴν δὲ πρὸς τοὺς βλα-
στοὺς δεξιάν. τμηθέντος δὲ δίχα τοῦ μεσογονατίου τὸ στόμα τῆς γλώττης
ἑκατέρας γίνεσθαι κατὰ τὴν τοῦ καλάμου τομήν· ἐὰν δὲ ἄλλον τρόπον ἐργα-
σθῶσιν αἱ γλῶτται ταύτας οὐ πάνυ συμφωνεῖν· ἡ μὲν οὖν ἐργασία τοιαύτη.
φύεται δὲ πλεῖστος μὲν μεταξὺ τοῦ Κηφισοῦ καὶ τοῦ Μέλανος· οὗτος δὲ ὁ τό- 8.
πος προςαγορεύεται μὲν Πελεκανία· τούτου δ' ἔστιν ἅττα Χύτροι καλούμενοι
βαθύσματα τῆς λίμνης ἐν οἷς κάλλιστόν φασι γίνεσθαι· γίνεσθαι δὲ καὶ καθ'
ὃ ἡ Προβατία καλουμένη καταφέρεται· τοῦτο δ' ἐστὶ ποταμὸς ῥέων ἐκ Λεβα-
δείας. κάλλιστος δὲ δοκεῖ πάντων γίνεσθαι περὶ τὴν Ὀξεῖαν καλουμένην
Καμπήν· ὁ δὲ τόπος οὗτός ἐστιν ἐμβολὴ τοῦ Κηφισοῦ. γειτνιᾷ δ' αὐτῷ πεδίον
εὔγειον ὃ προσαγορεύουσι Ἱππίαν. πρόςβορρος δὲ τόπος ἄλλος τῆς Ὀξείας 9.
Καμπῆς ἐστιν ὃν καλοῦσι Βοηδρίαν· φύεσθαι δέ φασι καὶ κατὰ ταύτην εὐγενῆ
τὸν κάλαμον. τὸ δὲ ὅλον οὗ ἂν ᾖ βαθύγειον καὶ εὔγειον χωρίον καὶ ἰλυῶδες
καὶ ὁ Κηφισὸς ἀναμίσγεται καὶ πρὸς τούτοις βάθυσμα τῆς λίμνης, κάλλιστον
γίνεσθαι κάλαμον. περὶ γὰρ τὴν Ὀξεῖαν Καμπὴν καὶ τὴν Βοηδρίαν πάντα
ταῦτα ὑπάρχειν. ὅτι δὲ ὁ Κηφισὸς μεγάλην ἔχει ῥοπὴν εἰς τὸ ποιεῖν καλὸν
τὸν κάλαμον σημεῖον ἔχουσι· καθ' ὃν γὰρ τόπον ὁ Μέλας καλούμενος ἐμβάλ-
λει βαθείας οὔσης τῆς λίμνης καὶ τοῦ ἐδάφους εὐγείου καὶ ἰλυώδους, ἢ ὅλως
μὴ γίνεσθαι ἢ φαῦλον. ἡ μὲν οὖν γένεσις καὶ φύσις τοῦ αὐλητικοῦ καὶ ἡ κατ-
εργασία καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς ἄλλους ἱκανῶς εἰρήσθω. γένη 10.
δὲ οὐ ταῦτα μόνον ἀλλὰ πλείω τοῦ καλάμου τυγχάνει φανερὰς ἔχοντα τῇ αἰ-

μεσογονατίων] Sch.; *μεσογονίων* Ald.
ἴσχειν] Sch.syll., quia praecedunt et sequuntur infinitivi; *ἴσχει* UMV; *ἔχει* Ald. Edd.; *ἔχειν* Sch.cont.
7. *τὰς δὲ ἄλλας*] UMV G. RConst. Sch.; *τὰ δὲ ἄλλα* Ald. H. St.
τῇ ῥίζῃ] *τῇ* om. P.
πρὸς τοὺς βλαστοὺς] Ald. Edd.; *πρὸς τοῦ βλαστοῦ* U.
μεσογονατίου] Sch.; *μεσογονίου* Ald. Edd.; *μεσογονύου* P.
ἑκ. γίνεσθαι] corr. Sch. cum RConst.; *ἑκ. γίνεται* Ald. Edd.
8. *κηφισοῦ*] Hic et deinceps semper *κιφισοῦ* Ald.
μὲν πελεκ.] U, Sch.syll.; *μὲν* om. cett.
τούτου δ' ἔστιν] *δ'* dant UMVP Sch., om. Ald. H.; *τοῦτ' ἔστιν — τὰ βαθύσματα* St.
γίνεσθαι δὲ καὶ καθ' ὃ] Alterum *γίνεσθαι* ex emendatione addidit Sch. Ald. enim sic: *φασι· γίνεσθαι δὲ καθ' ὃν ἡ πρ.*; *καθ' ὃ* dant UMVP, *καὶ οὗ* dederat Sch.cont. Equidem ante *καθ' ὃ* addidi *καὶ*, quod ad sensum necessarium. St.: *φασι γίνεσθαι κάλαμον, καθ' ὅν.*
Λεβαδείας] UMV Sch.syll.; *λεβαδίας* Ald. Edd.; *λιβαδίας* P.
πάντων γίνεσθαι] UMV Sch.; *γίνεσθαι πάντων* Ald. Edd. Deinceps *καλάμων ὁ* addit St.
Καμπὴν] Edd.; *κάμπην* Ald.
ἐμβολὴ] *ἡ ἐμβολὴ* St.
9. *τῆς ὀξείας*] *τῆς τε ὀξ.* Ald. Edd. Inutile *τε* omisi.
εὐγενῆ] *εὐτενῆ* U.
καὶ ὁ κηφ.] St.: (*καὶ γὰρ ὁ κηφ. — βάθυσμά ἐστι τῆς λίμνης*) *ἐκεῖ καλλ.*
τὴν Ὀξεῖαν Καμπὴν καὶ] UMVP G. Sch.; om. Ald. H. St.; *πάντα ταῦτα* U Sch.syll.; *ταῦτα πάντα* Ald. Edd.
τὸν κάλαμον] UMVP Sch.; *τὸν* om. Ald. H. St.
βαθείας — ἐδάφους] *μὴ βαθείας οὔσης τῆς λίμνης οὐδὲ τοῦ ἐδάφους* St.
ἰλυώδους] G. Vo. Sch.; *ἰλώδους* St.; *ὑλώδους* Ald. H.

σθήσει διαφοράς· ὁ μὲν γὰρ πυκνὸς καὶ τῇ σαρκὶ καὶ τοῖς γόνασιν ὁ δὲ μανὸς καὶ ὀλιγογόνατος· καὶ ὁ μὲν κοῖλος ὃν καλοῦσί τινες συριγγίαν, οὐδὲν γὰρ ὡς εἰπεῖν ἔχει ξύλου καὶ σαρκός· ὁ δὲ στερεὸς καὶ συμπλήρης μικροῦ. καὶ ὁ μὲν βραχὺς, ὁ δὲ εὐαυξὴς καὶ ὑψηλὸς καὶ παχύς. ὁ δὲ λεπτὸς καὶ πολύφυλλος ὁ δὲ ὀλιγόφυλλος καὶ μονόφυλλος. ὅλως δὲ πολλαί τινές εἰσι διαφοραὶ κατὰ
11. τὰς φύσεις καὶ τὰς χρείας· ἕκαστος γὰρ πρὸς ἕκαστα χρήσιμος. ὀνόμασι δὲ ἄλλοι ἄλλοις προσαγορεύουσι· κοινότατον δέ πως ὁ δόναξ ὃν καὶ λοχμωδέστατόν γέ φασιν εἶναι καὶ μάλιστα φύεσθαι παρὰ τοὺς ποταμοὺς καὶ τὰς λίμνας. διαφέρειν δ' ὅμως παντὸς καλάμου πολὺ τόν τε ἐν τῷ ξηρῷ καὶ τὸν ἐν τοῖς ὕδασι φυόμενον. ἴδιος δὲ καὶ ὁ τοξικὸς ὃν δὴ κρητικόν τινες καλοῦσιν· ὀλιγογόνατος μὲν σαρκωδέστερος δὲ πάντων καὶ μάλιστα κάμψιν δεχόμενος καὶ ὅλως
12. ἄγεσθαι δυνάμενος ὡς ἂν θέλῃ τις θερμαινόμενος. ἔχουσι δὲ ὥςπερ ἐλέχθη καὶ κατὰ τὰ φύλλα μεγάλας διαφορὰς οὐ πλήθει καὶ μεγέθει μόνον ἀλλὰ καὶ χροιᾷ. ποικίλος γὰρ ὁ λακωνικὸς καλούμενος. ἔτι δὲ τῇ θέσει καὶ προςφύσει· κάτωθεν γὰρ ἔνιοι πλεῖστα φέρουσι τῶν φύλλων, αὐτὸς δὲ ὥςπερ ἐκ θάμνου πέφυκε. σχεδὸν δέ τινές φασι καὶ τῶν λιμναίων ταύτην εἶναι τὴν διαφορὰν τὸ πολύφυλλον καὶ παρόμοιον ἔχειν τρόπον τινὰ τὸ φύλλον τῷ τοῦ κυπεί-
13. ρου καὶ φλεὼ καὶ βρύου καὶ βουτόμου· σκέψασθαι δὲ δεῖ τοῦτο. γένος δέ τι καλάμου φύεται καὶ ἐπίγειον ὃ οὐκ εἰς ὀρθὸν ἀλλ' ἐπὶ γῆς ἀφίησι τὸν καυλὸν ὥςπερ ἡ ἄγρωστις καὶ οὕτως ποιεῖται τὴν αὔξησιν. ἔστι δὲ ὁ μὲν ἄρρην στερεὸς, καλεῖται δὲ ὑπό τινων εἰλετίας. ὁ δὲ ἰνδικὸς ἐν μεγίστῃ διαφορᾷ καὶ ὥςπερ ἕτερον ὅλως τὸ γένος· ἔστι δὲ ὁ μὲν ἄρρην στερεὸς ὁ δὲ θῆλυς κοῖλος· διαιροῦσι γὰρ καὶ τοῦτον τῷ ἄρρενι καὶ θήλει. φύονται δ' ἐξ ἑνὸς πυθμένος

10. *συριγγίαν*] correxit Sch. e Plinio 16 s. 65: *calamus vero alius totus concavus, quem syringiam vocant*, et Discorid. 1, 44. *ἄλλος δὲ συριγγίας; συριγί* U; *σύριγγι* MV; *σύριγγα* Ald. H. St. — Paulo ante *ὃ* pro *ὃν* dant UMV.

μικροῦ] cum RConst. *δεῖ* addidit St.

εὐαυξὴς] H. St. Sch.; *εὐαξὴς* UMV Ald. Gaza nonnulla omisit.

ὁ δὲ λεπτὸς] St.: *καὶ ὁ μὲν λεπτὸς — ὀλιγόφυλλον ἢ καὶ μον.*

11. *ἄλλοι ἄλλοις*] UMVP G. mBas. St. Sch.; *ἄλλοι* om. Ald. H.

λοχμωδ. γε] Ald. Edd.; *λ. τὲ* Sch.

ὀλιγογόνατος μὲν] mBas. Sch.; *ὀλιγ. δὲ* Ald. H.; *ὀλιγ. γὰρ οὗτος* St.

12. *κατὰ τὰ φύλλα*] *τὰ* om. UMP.

αὐτὸς δὲ] RConst. conj. *καυλὸς δὲ*.

σχεδὸν — τὸ πολύφυλλον καὶ παρόμοιον] M, fortasse etiam U et V, nisi vel hic vel uterque *τὸ* ante *πολύφυλλον* omittunt; *διαφοράν, πολύφυλλον καὶ ὀλιγόφυλλον καὶ παρόμ.* Ald. H.; Schn. ante *πολύφυλλον* et *παρόμοιον* posuit *τὸ*; in Syll vero verba *καὶ ὀλιγόφυλλον* uncis damnari jussit, quae neque Gaza habuit. Omisi etiam alterum *τὸ*, quod Sch. addidit, et ad *ἔχειν* repetendum esse *τὰ λιμναῖα* censeo. Sensus est: Quidam putant hanc fere esse (communem quandam) differentiam arundinum palustrium (a ceteris in terra nascentibus), quod folia multa gerunt, atque folia habent quodammodo similia foliis cyperi etc. St.: *ὀλιγόφυλλον εἶναι — φύλλον τοῖς καλάμοις, ὡς ὁ κύπειρος καὶ φλεὼς καὶ βούτομος.*

βρύου] vitiosum esse videtur; Sch. conj: *θρύου.*

δὲ δεῖ τοῦτο] dedi e conj.; *δὲ χρὴ τουτο* RConst. Sch.; *δεῖν* ante *σκέψασθαι* H.; *δὲ τοῦτο δεῖ* St.; *δὲ τοῦτο* UMV Ald.

13. *οὕτως*] UMV; *οὕτω* Ald. Edd. o.

καλεῖται — στερεὸς] USch.syll.; om. cett. propter repetitam vocem *στερεὸς*. Defectum acute significaverat Sch. Vox *εἰλετίας* apud Hesych. *εἰλεσιὰς* scripta.

πολλοὶ καὶ οὐ λοχμώδεις· τὸ δὲ φύλλον οὐ μακρὸν ἀλλ' ὅμοιον τῇ ἰτέᾳ· τῷ δὲ μεγέθει μεγάλοι καὶ εὐπαγεῖς ὥστε ἀκοντίοις χρῆσθαι. φύονται δὲ οὗτοι περὶ τὸν Ἀκεσίνην ποταμόν. ἅπας δὲ κάλαμος εὔζωος καὶ τεμνόμενος καὶ ἐπικαιόμενος καλλίων βλαστάνει· ἔτι δὲ παχύρριζος καὶ πολύρριζος δι ὃ καὶ δυςώλεθρος. ἡ δὲ ῥίζα γονατώδης ὥςπερ ἡ τῆς ἀγρωστίδος, πλὴν οὐ παντὸς ὁμοίως. ἀλλὰ περὶ μὲν καλάμων ἱκανῶς εἰρήσθω.

Cap. XII. Κατάλοιπον δὲ εἰπεῖν ὡςὰν ἐκ τοῦ γένους τούτου περὶ σχοίνου· 13. H.St
καὶ γὰρ καὶ τοῦτο τῶν ἐνύδρων θετέον. ἔστι δὲ αὐτοῦ τρία εἴδη καθάπερ τινὲς διαιροῦσιν, ὅ τε ὀξὺς καὶ ἄκαρπος ὃν δὴ καλοῦσιν ἄρρενα, καὶ ὁ κάρπιμος ὃν μελαγκρανὶν καλοῦμεν διὰ τὸ μέλανα τὸν καρπὸν ἔχειν, παχύτερος δὲ οὗτος καὶ σαρκωδέστερος· καὶ τρίτος τῷ μεγέθει καὶ τῇ παχύτητι καὶ εὐσαρκίᾳ διαφέρων ὁ καλούμενος ὁλόσχοινος. ἡ μὲν οὖν μελαγκρανὶς αὐτός τις καθ' αὑ- 2.
τόν· ὁ δ' ὀξὺς καὶ ὁλόσχοινος ἐκ τοῦ αὐτοῦ φύονται· ὃ καὶ ἄτοπον φαίνεται καὶ θαυμαστόν γ' ἦν ἰδεῖν ὅλης κομισθείσης τῆς σχοινιᾶς· οἱ πολλοὶ γὰρ ἦσαν ἄκαρποι πεφυκότες ἐκ τοῦ αὐτοῦ κάρπιμοι δὲ ὀλίγοι. τοῦτο μὲν οὖν ἐπισκεπτέον. ἐλάττους δὲ ὅλως οἱ κάρπιμοι· πρὸς γὰρ τὰ πλέγματα χρησιμώτερος ὁ ὁλόσχοινος διὰ τὸ σαρκῶδες καὶ μαλακόν. κορυνᾷ δ' ὅλως ὁ κάρπιμος ἐξ αὑτοῦ τοῦ γραμμώδους ἐξοιδήσας κἄπειτα ἐκτίκτει καθάπερ ᾠά. πρὸς μιᾷ

τῷ δὲ μεγέθει] *τῷ μεγέθει* Ald.; *τὰ δὲ μεγέθη* U, quae scriptura fortasse recipienda; *τῷ μεγέθει δὲ* St.

εὐπαγεῖς] UM Ald. Sch.; *εὐγαγεῖς* V; *εὐπαχεῖς* H. St.

ἀκοντίοις] St. Sch.; *ἀκοντίαις* Ald. H.; *ἀκοντίαν* MV; *ἀκατίοις* conj. Salmas. Ex. p. 716, probat Palmer. Ex. p. 596.

παχύρρ. — πολύρρ.] P et cum Bas. Edd.; *παχύριζος — πολύριζ.* Ald. Cam.

παντὸς] Ald. H. St.; *πάντες* mBas.; *πάντων* cum RCoust. Sch.

περὶ μὲν] *μὲν* om. V.

καλάμων] *καλάμου* P.

Cap. XII.

μελαγκρανὶν καλ.] dedi fere cum U, ubi *μελαγκρανις καλ.* est; *μελαγκράγνισμα καλ.* MV; *μελαγκραγνισμὸν καλ.* P; *μελαγκρανισμὸν καλ.* Ald. H.; *μελαγκρανὶν μὲν* Sch. Sed *μὲν* abundat.

δὲ οὗτος] corr. cum G. et Plin. H. St. Sch.; *δὲ τούτου* UMV Ald.

καὶ τρίτος] UMV Ald. Sch.: *καὶ* om. H.; *τρίτος δὲ* St.

ὁλόσχοινος] *mariscus* G.

2. *φαίνεται*] Ald. H. St.; *apparet* G. Cum RConst. *ἐφαίνετο* Sch.

θαυμαστὸν γ' ἦν ἰδεῖν] sic correxi scripturam librorum cum G *visuque mirabile fuit*; *θ. ἐνγ εἴδεῖν* U; *θ. ἔν γε ἰδεῖν* MVP; *θ. ἐνιδεῖν* Ald. Edd. Sic poterat antea *φαίνεται* servari.

κομισθείσης] Vo. Sch.; *deportato* G; *κοσμηθείσης* Ald. H. St.

σχοινιᾶς] cod. Cas. Scalig. Sch.; *σχοινίας* Ald. H. St.

τοῦ αὐτοῦ] Ald. Edd.; *αὐτοῦ* om. MV.

κάρπιμοι δὲ ὀλ.] Ald. Edd.; *δὲ* om. UMV P G. An vitium subest?

ἐλάττους δὲ] U Sch. syll.; *ἐλ. γὰρ* Ald. Edd.

οἱ κάρπιμοι] e corr. RConst. St. Sch.; *οἱ καρποί* Ald. H.; *fructus* G.

πρὸς γὰρ τὰ πλ.] Si *γὰρ* genuinum est ceteris inhaeret vitium. *autem* G.

κορυνᾷ] corr. RConst. H. St. Sch.; *κόρυνα* Ald.

ᾠά] *ὀά* conj. Dalec., idque in vers. germ. reddidit Spr.

γὰρ ἀρχῇ γραμμώδει ἔχει τοὺς περισταχυώδεις μίσχους, ἐφ᾽ ὧν ἄκρων παραπλαγίους τὰς τῶν ἀγγείων ἔχει στρογγυλότητας ὑποχασκούσας· ἐν τούτοις δὲ τὸ σπερμάτιον ἀκιδῶδές ἐστι μέλαν ἑκάστῳ προςεμφερὲς τῷ τοῦ ἀστερίσκου
3. πλὴν ἀμενηνότερον. ῥίζαν δὲ ἔχει μακρὰν καὶ παχυτέραν πολὺ τοῦ σχοίνου· αὕτη δ᾽ αὐαίνεται καθ᾽ ἕκαστον ἐνιαυτὸν, εἶθ᾽ ἑτέρα πάλιν ἀπὸ τῆς κεφαλῆς τοῦ σχοίνου καθίεται· τοῦτο δὲ καὶ ἐν τῇ ὄψει φανερὸν ἰδεῖν τὰς μὲν αὔας τὰς δὲ χλωρὰς καθιεμένας· ἡ δὲ κεφαλὴ ὁμοία τῇ τῶν κρομύων καὶ τῇ τῶν γητείων, συμπεφυκυῖά πως ἐκ πλειόνων εἰς ταὐτὸ καὶ πλατεῖα κάτωθεν ἔχουσα κελύφη ὑπέρυθρα. συμβαίνει δ᾽ οὖν ἴδιον ἐπὶ τῶν ῥιζῶν εἰ αὐαίνονται κατ᾽ ἐνιαυτὸν καὶ ἐκ τοῦ ἄνωθεν πάλιν ἡ γένεσις. τῶν μὲν οὖν σχοίνων τοιαύτη τις
4. φύσις. εἰ δὲ καὶ ὁ βάτος καὶ ὁ παλίουρος ἔνυδρά πώς ἐστιν ἢ πάρυδρα καθάπερ ἐνιαχοῦ, φανεραὶ σχεδὸν καὶ αἱ τούτων διαφοραί· περὶ ἀμφοῖν γὰρ εἴρηται πρότερον. τῶν δὲ νήσων τῶν πλοάδων τῶν ἐν Ὀρχομενῷ τὰ μὲν μεγέθη παντοδαπὰ τυγχάνει, τὰ δὲ μέγιστα αὐτῶν ἐστιν ὅσον τριῶν σταδίων τὴν περίμετρον. ἐν Αἰγύπτῳ δὲ μάλιστα μεγάλα σφόδρα συνίσταται, ὥστε καὶ ὗς ἐν αὐταῖς ἐγγίνεσθαι πολλοὺς οὓς καὶ κυνηγετοῦσι διαβαίνοντες. καὶ περὶ μὲν ἐνύδρων ταῦτ᾽ εἰρήσθω.

γραμμώδει] corr. RConst. St. Sch.; *γραμμώδεις* Ald. H. Ordo verborum ita suadet facere.

περισταχυώδεις] Vox dubia necdum ab interpretibus intellecta, ut et sequens *παραπλαγίους*. Gaza vertit: *Fructus omnino minor habetur. Commodior autem ad texendum mariscus: quia mollis carnosusque est. Omnino frugifer in callum de regulari surculo ipso tumescens: mox veluti ova parit: circundantes enim spicatim pediculos junco lineari affixos initio gerit. Quorum summitatibus paululo laterales orbes vasculorum leviter hiscentes inducit.*

ὑποχασκούσας] corr. Sch. in Comm.; *ἐπισχαζούσας* Ald. H.; *ἐπιχασκούσας* St.; *ἐπιχασκαζούσας* Sch.cont.

τῷ τοῦ ἀστ.] *ταῖς τοῦ ἀστ.* U. — RConst. conj. *ἀστερίκου*.

3. *τοῦ σχοίνου*] Ald. H. Sch.; *ὁ ὀλόσχοινος* St.; *quam acutus* G., unde RConst. conj. *τοῦ ὀξυσχοίνου*.

κεφαλῆς — καθίεται] Omnes superiorum interpretum opiniones, qui *κεφαλῆς* de radice bulbosa intellexerunt et mox schoeni radicem cum bulbis allii comparari putaverunt, accurata et subtili disputatione convellit Schneider, qua explicuit *κεφαλὴν* intelligendum esse de supera parte plantae (*cacumine in terram defixo* Plin.), et *καθίεσθαι* non dici posse de radice nova ex vetere propullulante, qaoniam ea non demittitur, sed significare *e loco superiore in inferiorem demitti,* unde colligit Theophrastum loqui hic de planta quadam e summo caule prolifera vel vivipara. Spreng. tamen in vers. germ. viri docti curas prorsus neglexit.

γητείων] *γοητείων* P.

συμβαίνει δ᾽ οὖν] corr. Sch.; *συμ. δ᾽ ἂν* Ald. H.; *ergo eveniat* G.

ῥιζῶν εἰ αὐαίνονται] U; *ῥ. εἰ αὐ.* MV; *ῥιζῶν ἢ αὐαι.* P; *ῥιζῶν εἶναι· αὐαι.* Ald. H.; *ῥ. εἴ γε αὐ.* Sch.cont.; *ῥ. εἴ γ᾽ αὐ.* idem in Syll.; *συμβαίνει δὲ ἴδ. — ῥιζῶν εἶναι ὅτι αὐ.* St.; *ὅτι* post *εἶναι* inser. mBas.

ἐκ τοῦ ἄν.] *εἰ τ. ἀ.* U.

4. *εἰ δὲ καὶ*] UMV Sch.syll.; *ἤδη δὲ καὶ* Ald. H. St.; *εἴδη δὲ καὶ* Sch.cont. Paulo ante *ἡ φύσις* Sch.

φανεραὶ σχεδὸν] U Sch.syll.; *φαν. δὲ σχ.* Ald. Edd. o.

τὰ δὲ μέγιστα] U Sch.syll.; *τὸ δὲ μέγιστον* Ald. Edd.

μάλιστα] V Sch.; om. UM Ald. H. St.

μεγάλα] UMV Sch.syll.; *μεγάλας* Ald. Edd. o.

συνίσταται] corr. Sch.syll.; *συνίστασθαι* Ald. Edd.

αὐταῖς] P; *αὐτοῖς* Ald. Edd. o.

Cap. XIII. Περὶ δὲ βραχυβιότητος φυτῶν καὶ δένδρων τῶν ἐνύδρων ἐπὶ τοσοῦτον ἔχομεν ὡς ἂν καθ' ὅλου λέγοντες ὅτι βραχυβιώτερα τῶν χερσαίων ἐστὶ καθάπερ καὶ τὰ ζῶα. τοὺς δὲ καθ' ἕκαστον βίους ἱστορῆσαι δεῖ τῶν χερσαίων. τὰ μὲν οὖν ἄγριά φασιν οὐδεμίαν ἔχειν ὡς εἰπεῖν οἱ ὀρεοτύποι διαφορὰν ἀλλὰ πάντα εἶναι μακρόβια καὶ οὐθὲν βραχύβιον· αὐτὸ μὲν τοῦτο ἴσως ἀληθὲς λέγοντες· ἅπαντα γὰρ ὑπερτείνει πολὺ τὴν τῶν ἄλλων ζωήν. οὐ μὴν ἀλλ' ὅμως ἐστὶ τὰ μὲν μᾶλλον τὰ δ' ἧττον μακρόβια καθάπερ ἐν τοῖς ἡμέροις· ποῖα δὲ ταῦτα σκεπτέον. τὰ δὲ ἥμερα φανερῶς διαφέρει τῷ τὰ μὲν εἶναι μακρόβια τὰ δὲ βραχύβια· ὡς δ' ἁπλῶς εἰπεῖν τὰ ἄγρια τῶν ἡμέρων μακροβιώτερα καὶ ὅλως τῷ γένει καὶ τὰ ἀντιδιῃρημένα καθ' ἕκαστον, οἷον κότινος ἐλάας καὶ ἀχρὰς ἀπίου ἐρινεὸς συκῆς· ἰσχυρότερα γὰρ καὶ πυκνότερα καὶ ἀγονώτερα τοῖς 14. H. St.

περικαρπίοις. τὴν δὲ μακροβιότητα μαρτυροῦσιν ἐπί γέ τινων καὶ ἡμέρων καὶ 2.
ἀγρίων καὶ αἱ παραδεδομέναι φῆμαι παρὰ τῶν μυθολόγων· ἐλάαν μὲν γὰρ λέγουσι τὴν Ἀθήνῃσι φοίνικα δὲ τὸν ἐν Δήλῳ κότινον δὲ τὸν ἐν Ὀλυμπίᾳ ἀφ' οὗ ὁ στέφανος φηγοὺς δὲ τὰς ἐν Ἰλίῳ τὰς ἐπὶ τοῦ Ἴλου μνήματος· τινὲς δέ φασι καὶ τὴν ἐν Δελφοῖς πλάτανον Ἀγαμέμνονα φυτεῦσαι καὶ τὴν ἐν Καφύαις τῆς Ἀρκαδίας. ταῦτα μὲν οὖν ὅπως ἔχει τάχ' ἂν ἕτερος εἴη λόγος· ὅτι δέ ἐστι μεγάλη διαφορὰ τῶν δένδρων φανερόν· μακρόβια μὲν γὰρ τά τε προειρημένα καὶ ἕτερα πλείω· βραχύβια δὲ καὶ τὰ τοιαῦτα ὁμολογουμένως οἷον ῥοιὰ συκῆ μηλέα, καὶ τούτων ἡ ἠρινὴ μᾶλλον καὶ ἡ γλυκεῖα τῆς ὀξείας ὥσπερ τῶν ῥοῶν ἡ ἀπύρηνος. βραχύβια δὲ καὶ ἀμπέλων ἔνια γένη καὶ μάλιστα τὰ πολύκαρπα· δοκεῖ δὲ καὶ τὰ πάρυδρα βραχυβιώτερα τῶν ἐν τοῖς ξηροῖς εἶναι οἷον ἰτέα

λεύκη ἀκτὴ αἴγειρος. ἔνια δὲ γηράσκει μὲν καὶ σήπεται ταχέως παραβλαστάνει 3.
δὲ πάλιν ἐκ τῶν αὐτῶν ὥσπερ αἱ δάφναι καὶ αἱ μηλέαι τε καὶ αἱ ῥόαι καὶ τῶν

Cap. XIII.

φυτῶν καὶ δέν.] Ald.; *δένδρων καὶ φυτῶν* Sch.

τῶν ἐνύδρ.] U; *τῶν μὲν ἐν.* Ald. Edd.; *τῶν ἐνύδρων, τῶν μὲν ἐνύδρων* M.

τοὺς δὲ — ἱστορῆσαι] UM Sch.syll.: *τοὺς καθ' ἕκαστον βίους πορίσαι* V; *τοὺς δὲ καθ' ἕκαστα βίους ἱστορῆσαι* Ald. et, *τοὺς* in *τῶν* mutato, H. St. Sch.cont.

τῶν χερσαίων. τὰ μὲν οὖν ἄγρια] Ald. Edd.; *τῶν δὲ χερσαίων τὰ μὲν ἄγρια* U; *δὴ τῶν χ. τὰ μὲν ἄ.* MV.

ὡς εἰπεῖν] corr. Sch.; *ὡς ἂν εἴποιεν* Ald. H. St.; *ὡς εἰπεῖ* U; *ὡς εἴποι* MV.

καὶ ὅλως τῷ γένει καὶ τὰ ἀντ.] dedi e conj.; *καὶ ὅ. τὼ γένει κατὰ ἀντ.* UMV; *κ. ὅ. τ. γένει τὰ ἀντ.* Ald. H., *ἐν* post *ὅλως* add. St.; *καὶ ὅ. τὰ τῷ γένει ἀντιδ.* Sch.cont.; *καὶ τὰ ὅλῳ τῷ γένει ἀντ.* idem in Syll. Opposita sunt *ὅλως τῷ γένει* et *τὰ ἀντιδιῃρημένα καθ' ἕκαστον*: *et omnino toto genere sylvestria habent vitam longiorem quam domestica, et singulae eorum species domesticis singulis respondentes affinesque.*

ἐλάας] U; *ἐλαίας* Ald. Edd. o.

ἰσχυρότερα] P Sch.syll.; *ἰσχυρώτερα* Ald. Edd. o.

2. *ἀφ' οὗ ὁ στέφανος*] om. G., Sch. in cont. seclusit; *οἱ στέφανοι* St.

Ἰλίῳ] Ald. Edd.; *ἡλίωι* U; *ηδιω* MV. — Deinde *μίλον μνημ.* P2.

ὅπως ἔχει] UMVP2 Sch.; *ὅπως ἂν ἔχῃ* Ald. Edd.

τάχ' ἂν] *τάχ' ἀνον* V.

καὶ τὰ τοι.] U Sch.syll.; *καὶ* om. cett.

ῥοιά] P2 Ald. H. St.; *ῥόα* Sch.

ῥοῶν] Ald. H. Sch.; *ῥοιῶν* St.

καὶ τὰ πάρυδρα] MVP G. Sch.; *καὶ* om. Ald. Edd.

ἀκτή] Ald. H. St.; *ἀκτῇ* Sch.

3. *καὶ αἱ μηλέαι τε καὶ αἱ ῥόαι*] U, ubi *ῥοαὶ* scriptum, Sch.syll.; *καὶ αἱ μηλέαι τε καὶ ῥοαὶ* M; *καὶ αἱ μηλέαι* etiam V; *καὶ αἱ μηλέαι καὶ ῥοαὶ* P; *καὶ μηλέαι καὶ ῥοαὶ* Ald.; *καὶ αἱ μηλέαι καὶ αἱ ῥόαι* Sch.cont.

φιλύδρων τὰ πολλά· περὶ ὧν καὶ σκέψαιτ' ἄν τις πότερα ταὐτὰ δεῖ λέγειν ἢ
ἕτερα· καθάπερ εἴ τις τὸ στέλεχος ἀποκόψας ὥςπερ ποιοῦσιν οἱ γεωργοὶ πάλιν
ἀναθεραπεύοι τοὺς βλαστούς, ἢ εἰ καὶ ὅλως ἐκκόψειεν ἄχρι τῶν ῥιζῶν καὶ ἐπι-
καύσειεν· καὶ γὰρ ταῦτα ποιοῦσιν, ὁτὲ δὲ καὶ ἀπὸ τοῦ αὐτομάτου συμβαίνει·
πότερα δὴ τοῦτο ταὐτὸ δεῖ λέγειν ἢ ἕτερον· ᾗ μὲν γὰρ ἀεὶ τὰ μέρη τὰς αὐξή-
σεις καὶ φθίσεις φαίνεται παραλλάττοντα καὶ ἔτι τὰς διακαθάρσεις τὰς ὑπ'
αὐτῶν, ταύτῃ μὲν ἂν δόξειε ταὐτὸν εἶναι· τί γὰρ ἂν ἐπὶ τούτων ἢ ἐκείνων δια-
4. φέροι· ᾗ δ' ὥςπερ οὐσία καὶ φύσις τοῦ δένδρου μάλιστ' ἂν φαίνοιτο τὸ στέλε-
χος, ὅταν μεταλλάττῃ τοῦτο κἂν τὸ ὅλον ἕτερον ὑπολάβοι τις· εἰ μὴ ἄρα διὰ
τὸ ἀπὸ τῶν αὐτῶν ἀρχῶν εἶναι ταὐτὸ θείη· καίτοι πολλάκις συμβαίνει καὶ τὰς
ῥίζας ἑτέρας εἶναι καὶ μεταβάλλειν τῶν μὲν σηπομένων τῶν δ' ἐξ ἀρχῆς βλα-
στανουσῶν. ἐπεὶ ὥς γέ τινές φασι τὰς ἀμπέλους μακροβιωτάτας εἶναι τῷ μὴ
φύειν ἑτέρας ἀλλ' ἐκ τῶν αὐτῶν ἀεὶ συναναπληροῦσθαι γελοῖον ἂν ἴσως δοκοίη
εἶναι ἡ σύγκρισις ἐὰν μὴ μένῃ τὸ στέλεχος· αὕτη γὰρ οἷον ὑπόθεσις καὶ φύ-
σις δένδρων. τοῦτο μὲν οὖν ὁποτέρως ποτὲ λεκτέον οὐθὲν ἂν διενέγκαι πρὸς
5. 15 H. τὰ νῦν. τάχα δ' ἂν εἴη μακροβιώτατον τὸ πάντως δυνάμενον αὐταρκεῖν ὥςπερ
ἡ ἐλάα καὶ τῷ στελέχει καὶ τῇ παραβλαστήσει καὶ τῷ δυςωλέθρους ἔχειν τὰς

καθάπερ] *καί*, quod anteponunt Ald. H. St., cum Sch. exclusi, cum nullo modo ferendum sit.

ἀναθεραπεύοι] sic correxi. Optativum et sententiae ratio et sequentia postulant. *ἀναθεραπεύει* Ald. Edd. o. Deinceps *διὰ βλαστοὺς* cum Cam. H.

ἢ εἰ καὶ ὅλως ἐκκ.] dedi de conj.; *ἃ εἰ καὶ καλῶς ἐκ.* U; *ἀεὶ καὶ καλῶς ἐκκ.* MV; *καὶ εἰ καλῶς ἐκκ.* Ald. H.; *καὶ εἰ ὅλως ἐκκ. ἂν ἄχρι* St.; *βλαστοὺς καλῶς· καὶ εἰ ἐκκ.* Sch. Post *ἐπικαύσειε* repete cogitatione *τοὺς δὲ βλαστοὺς ἀναθεραπεύοι*, quod subaudiri commode potest.

ἐκκόψειεν] Ald. Edd.; *ἐκκόψειν* UMV.

ταῦτα] UMVP; *τοι ταῦτα* Ald. H.

ἀπὸ τοῦ αὐτ.] corr. Sch.; *ἐπὶ τοῦ αὐτ.* Ald. H. — Post *συμβαίνει* add. *τοῦτο* St.

δὴ] Ald. Edd.; *δὲ* UMV.

τοῦτο] Ald. Edd.; *τούτωι* U.

ᾗ μὲν γὰρ] *ἣν* H. — Servavi scripturam U et Ald., mutato tantum *παραλλάττουσα* Aldinae (*διαλλάττουσα* U?) in *παραλλάττοντα*, quod fecerat etiam St. Sch. (ex errore in cont. Sch. *παραλλάττον* scriptum). St. om. *ἔτι* et *καθάρσεις ταυτὰς* scripsit. Sch.: *μέρη κατὰ τὰς αὐξήσεις καὶ φθίσεις καὶ ἔτι τὰς διακαθάρσεις τὰς ὑπ' αὐτῶν φαίνεται παραλλάττοντα, ταύτῃ.* Sed his mutationibus non opus est. Dicit: *quatenus enim partes semper et crescendo et pereundo mutari apparet itemque se ipsas expurgando: eatenus illud esse idem videtur.*

4. *ᾗ δ'*] *ἡ δ'* Ald.; *ἢ δ'* MV; *ἣν δ'* H. cum G.

φαίνοιτο] Ald. Hdd.; *φαίνεται* UMV.

τὸ ὅλον] *τὸ* om. M.

ὑπολάβοι] UMV Sch.; *ὑπολάβῃ* Ald. H. St.

ταὐτὸ] UMV Sch.; *αὐτὸ* Ald. Edd.; *idem* G.

πολλάκις] corr. St. Sch.; *πολλὰ καὶ* Ald. H.; *saepenumero* G.

ἐπεὶ ὥς] *ἐπεὶ δ' ὥς* St.

μακροβιωτάτας] UMVP Sch.; *μακροβιωτάτους* Ald. Edd.

ἐκ τῶν αὐτῶν] sic correxi; *ἐξ αὐτῶν* Ald. Edd. Sch.syll.; *ἐξ αὑτῶν* Sch.cont. Oportet adesse cui oppositum sit *ἑτέρας*, propterea *τῶν αὐτῶν* scribendum. *συναναπληροῦσθαι*, *suppleri* scil. *τὰς ἀμπέλους*, i. e. ex iisdem radicibus vitis surculos semper novos sursum mitti in eorum locum qui vel frigore vel alia quacunque injuria enecati perierunt.

δοκοίη εἶναι ἡ σ.] corr. Sch.syll., quam scripturam interim adoptavi; *δικαιοτάτη σύγκρισις* MV Ald.; *δικαιοτάτηι συγκρίσεις* U; *δικαιότατα ἡ σύγκρισις* H. St. Praeterea Sch. in Syll. *γελοία* scripsit. Sed de tota emendandi ratione dubito an recte inita sit. Forsan scribendum *δοκοίη ταύτας συγκρίνειν ἐὰν μένῃ* i. e. ridiculum videatur radicibus causam vitae longae tribuere, si truncus, pars infera lignosa vitis, quae quidem omnis arboris pars principalis est, perstet.

ἐὰν μὴ μένῃ] m Bas. Vo. Sch.; *μὴ* om. Ald. Edd.; *modo caudex non perduret* G.

οὐθὲν] UMVP; *οὐδὲν* Ald. Edd. o.

διενέγκαι] UMV Sch.; *διενέγκῃ* Ald. H. St.

ῥίζας. δοκεῖ δὲ ὁ βίος τῆς γ' ἐλάας εἶναι, καθ' ὃ τοῦ στελέχους δεῖ τὸν ὄγ-
κον τιθέντα μέτρον ἀναμετρεῖν τὸν χρόνον, μάλιστα περὶ ἔτη διακόσια. εἰ δ'
ὅπερ ἐπὶ τῶν ἀμπέλων λέγουσί τινες, ὡς παραιρουμένων τῶν ῥιζῶν κατὰ μέ-
ρος δύναται διαμένειν τὸ στέλεχος καὶ ἡ ὅλη φύσις ὁμοία καὶ ὁμοιοφόρος
ὁποσονοῦν χρόνον, μακροβιώτατον ἂν εἴη πάντων. φασὶ δὲ δεῖν οὕτω ποιεῖν
ὅταν ἤδη δοκῇ καταφέρεσθαι· κλήματά τε ἐπιβάλλειν καὶ καρποῦσθαι τὸν ἐνι-
αυτόν· μετὰ δὲ ταῦτα κατασκάψαντα ἐπὶ θάτερα τῆς ἀμπέλου περικαθᾶραι
πάσας τὰς ῥίζας, εἶτ' ἐμπλῆσαι φρυγάνων καὶ ἐπαμήσασθαι τὴν γῆν· τούτῳ 6.
μὲν οὖν τῷ ἔτει κακῶς φέρειν σφόδρα τῷ δ' ὑστέρῳ βέλτιον τῷ δὲ τρίτῳ καὶ
τετάρτῳ καθίστασθαι καὶ φέρειν πολλοὺς καὶ καλοὺς ὥστε μηδὲν διαφέρειν ἢ
ὅτε ἤκμαζεν· ἐπειδὰν δὲ πάλιν ἀποπληγῇ θάτερον μέρος παρασκάπτειν καὶ
θεραπεύειν ὁμοίως, καὶ οὕτως αἰεὶ διαμένειν· ποιεῖν δὲ τοῦτο μάλιστα δι' ἐτῶν
δέκα· δι' ὃ καὶ οὐ κόπτειν οὐδέποτε τοὺς τοῦτο ποιοῦντας ἀλλ' ἐπὶ γενεὰς
πολλὰς ταὐτὰ τὰ στελέχη διαμένειν ὥστε μηδὲ μεμνῆσθαι τοὺς φυτεύσαντας·
τοῦτο μὲν οὖν ἴσως τῶν πεπειραμένων ἀκούοντα δεῖ πιστεύειν. τὰ δὲ μακρό-
βια καὶ βραχύβια διὰ τῶν εἰρημένων θεωρητέον.

Cap. XIV. Νοσήματα δὲ τοῖς μὲν ἀγρίοις οὔ φασι ξυμβαίνειν ὑφ' ὧν ἀναι- 16 H. 15 St.
ροῦνται, φαύλως δὲ διατίθεσθαι καὶ μάλιστα ἐπιδήλως ὅταν χαλαζοκοπηθῇ ἢ
βλαστάνειν μέλλοντα ἢ ἀρχόμενα ἢ ἀνθοῦντα, καὶ ὅταν ἢ πνεῦμα ψυχρὸν ἢ
θερμὸν ἐπιγένηται κατὰ τούτους τοὺς καιρούς. ὑπὸ δὲ τῶν ὡραίων χειμώνων
οὐδὲ ἂν ὑπερβάλλοντες ὦσιν οὐδὲν πάσχειν ἀλλὰ καὶ ξυμφέρειν πᾶσι χειμα-
σθῆναι· μὴ χειμασθέντα γὰρ κακοβλαστότερα γίνεσθαι. τοῖς δὲ ἡμέροις ἐστὶ 2.
πλείω νοσήματα καὶ τὰ μὲν ὥςπερ κοινὰ πᾶσιν ἢ τοῖς πλείστοις τὰ δ' ἴδια κατὰ
γένη. κοινὰ δὴ τό τε σκωληκοῦσθαι καὶ ἀστροβολεῖσθαι καὶ ὁ σφακελισμός.

5. *αὐταρκεῖν*] *ἀνταρκεῖν* U.

τῆς γ' ἐλάας — τὸν ὄγκον] Ita conatus sum e conjectura emendare. *τῆς γε μιᾶς εἶναι* (*ἔχειν* V) *καθ' ὃν στέλεχος ἤδη* (*εἰ δεῖ* U, *εἴδει* M) *τὴν ἀρχὴν* Ald. H.; *τῆσδ' ἐλαίας κατὰ τὸ στέλεχος ἤδη τιθέντα τοῦτο ὡς μέτρον χρόνου* etc. St.; *εἶναι καθ' ὃν τὸ στέλ. ἤδη τ. ἀ. τ. καὶ μέτρον χρὴ αν.* Sch.cont.; *εἶναι καθ' ὃν τὸ στέλ. εἰ δεῖ τὴν ἀ. τι. καὶ μέτρον ἀν.* Sch.syll.

ὡς παραιρουμένων] U Sch.syll.; *ὥςπερ αἱρουμένων* M; *ὡς περιαιρουμένων* Ald. Edd.

ὁμοιοφόρος] *ὁμοιως φορος* U.

ἂν εἴη] *ἂν* om. UMV.

ποιεῖν] Ald. H. St. Sch.; *πονεῖν* Bas.

τὸν ἐνιαυτόν] *τὸν* add. Sch., om. P2 Ald. H.; *δι' ἐνιαυτόν* St. — Dein *ἐπισκάψαντα* P2.

6. *ἐπειδὰν δὲ*] *καὶ ἐπειδὰν* St.

παρασκάπτειν] UP2 Sch.syll.; *κατασκάπτειν* Ald. Edd. — *δεῖ* addidit St.

ποιεῖν δὲ] *δεῖ* add. St.

οὐ κόπτειν] *οὐ* om. U.

ταὐτὰ τὰ στελ.] dedi cum St.; *ταῦτα τὰ στ.* Ald. H. Sch.

διαμένειν] *φασι* add. St.

Cap. XIV.

οὔ φασι] mBas. H. St. Sch.; *οὐ* om. Ald.; *morbos silvestribus accidere negant* G. C. pl. 5, 9, 1 *νοσήματα δὲ τῶν ἀγρίων οὐ λέγεται.*

ὑπερβάλλοντες] UMV Ald. Sch.; *ὑποβάλλοντες* H. St.

2. *τοῖς δὲ ἡμέροις*] *ταῖς δὲ ἡμέραις* H.

κατὰ γένη] dedi de conj.; *καὶ τὰ γένη* UMV; *καὶ κατὰ γένη* Ald. Edd.; *κατὰ τὰ γένη* Sch.syll.

κοινὰ δὴ τὸ τε] sic emendavi; *κοινὰ καὶ τότε* UMV; *κοινά· οἷον τότε* Ald. H. St.; *κοινὰ [μὲν] οἷον τό τε* Sch.cont.; *κοινὰ μὲν οὖν τό τε* Sch.syll.

ἅπαντα γὰρ ὡς εἰπεῖν καὶ σκώληκας ἴσχει πλὴν τὰ μὲν ἐλάττους τὰ δὲ πλεί-
ους καθάπερ συκῆ μηλέα καὶ ἄπιος. ὡς δὲ ἁπλῶς εἰπεῖν ἥκιστα σκωληκοῦν-
ται τὰ δριμέα καὶ ὀπώδη, καὶ ἀστροβολεῖται ὡσαύτως· μᾶλλον δὲ τοῖς νέοις
ἢ τοῖς ἐν ἀκμῇ τοῦτο συμβαίνει πάντων δὲ μάλιστα τῇ τε συκῇ καὶ τῇ ἀμπέ-
3. λῳ. ἡ δ' ἐλάα πρὸς τῷ τοὺς σκώληκας ἴσχειν, οἳ δὴ καὶ τὴν συκῆν διαφθεί-
ρουσιν ἐντίκτοντες, φύει καὶ ἧλον· οἱ δὲ μύκητα καλοῦσιν ἔνιοι δὲ λοπάδα·
τοῦτο δ' ἐστὶν οἷον ἧλοι αὐτῶν. διαφθείρονται δ' ἐνίοτε καὶ αἱ νέαι ἐλάαι διὰ
τὴν ὑπερβολὴν τῆς πολυκαρπίας. ἡ δὲ ψώρα καὶ οἱ προσφυόμενοι κοχλίαι
συκῆς εἰσιν· οὐ πανταχοῦ δὲ τοῦτο συμβαίνει ταῖς συκαῖς, ἀλλ' ἔοικε καὶ τὰ
νοσήματα γίνεσθαι κατὰ τοὺς τόπους ὥςπερ τοῖς ζώοις· ἐπεὶ παρ' ἐνίοις οὐ
4. ψωριῶσι καθάπερ οὐδὲ περὶ τὴν Αἰνείαν. ἁλίσκεται δὲ συκῆ μάλιστα καὶ σφα-
κελισμῷ καὶ κράδῳ. καλεῖται δὲ σφακελισμὸς μὲν ὅταν αἱ ῥίζαι μελανθῶσι,
κράδος δ' ὅταν οἱ κλάδοι· καὶ γὰρ καλοῦσί τινες κράδους ὅθεν καὶ τοὔνομα τῇ
νόσῳ· ὁ δ' ἐρινεὸς οὔτε κραδᾷ οὔτε σφακελίζει οὔτε ψωριᾷ οὔτε σκωληκοῦ-
ται ταῖς συκαῖς ὁμοίως· οὐδὲ δὴ τὰ ἐρινά τινες ἀποβάλλουσιν οὐδ' ἐὰν ἐμφυ-
5. τευθῶσιν εἰς συκῆν. ἡ δὲ ψώρα μάλιστα γίνεται ὅταν ὕδωρ ἐπὶ Πλειάδι γένη-
ται μὴ πολύ· ἐὰν δὲ πολὺ ἀποκλύζεται· συμβαίνει δὲ τότε καὶ τὰ ἐρινὰ ἀπορ-
ρεῖν καὶ τοὺς ὀλύνθους· τῶν δὲ σκωλήκων τῶν ἐν ταῖς συκαῖς οἱ μὲν ἐξ αὐτῆς
γίνονται οἱ δὲ ἐντίκτονται ὑπὸ τοῦ καλουμένου κεράστου· πάντες δὲ εἰς κερά-
στην ἀποκαθίστανται· φθέγγονται δὲ οἷον τριγμόν. νοσεῖ δὲ συκῆ καὶ ἐὰν
ἐπομβρία γένηται· τά τε γὰρ πρὸς τὴν ῥίζαν καὶ αὐτὴν τὴν ῥίζαν ὥςπερ μαδᾷ

ὀπώδη] UMV Ald. Sch.syll.; *εὐώδη* H. St. Sch.cont., quod ductum est e Plin. 17, 37, 3. *odoratae*; Gaza vero *succo humentes lacteo*, ac Exc. P2 *ὅσα δὲ δριμεῖς ὁ ποῦς ἔχει ἧττον*. Cf. etiam C. 5, 9, 4.

τοῖς νέοις ἢ] UMVP G. Sch.; om. Ald. Edd. *καὶ μᾶλλον τά νέα* P2.

3. *πρὸς τῷ*] UMVP Sch.; *πρὸς τὸ* Ald. Edd.

ἴσχειν] UMVP Sch.syll.; *ἔχειν* Ald. Edd. o.

ὃ δὴ καὶ] *οἳ δὲ καὶ* VP St.

οἱ δὲ μ.] *ὃν οἱ μὲν* St.

ἧλοι αὐτῶν] Ald. Sch.; *ἡλοιαυτον* U; *ἧλοι αὐτὸν* V; *ἧλοι αὐτῶν* M; *ἡλίου καύσις* auctore Scaligero H. St. ductum e Plinio, quem secutus est G. *veluti solis exustio.* Quod mihi displicet et propter praecedens *οἷον*, et propter *ἐστι*, cum potius dicendum fuisset *γίνεται ἐξ ἡλίου καύσεως*. Vero fortasse proxima est lectio Urbinatis, in qua tamen quid lateat, nondum assequi potui.

ὑπερβολὴν] PP2 H. St. Sch.; *ὑποβολην* Ald.

συκῆς εἰσὶν] Ald. Edd. o., etiam G. et Plin.; *τῆς εἰσιν* UMV; *συκῆς ἴδιαι εἰσὶν* St.

4. *δὲ συκῆ*] UMVP Sch.; *δὲ* om. Ald. H.; *δὲ ἡ συκῆ* St.

μάλιστα] *μᾶλιστα* cum Cam. H.

καλοῦσί τινες κράδους] UMV Ald. Sch.; *καλ. τινες τοὺς τῆς συκῆς κλαδοῦς κράδους* cum G. H. et St.; hic auctore Bodaeo dedit *κράδας*, quod exhibet P2.

ταῖς συκαῖς ὁμ.] corr. Sch. e C. pl. 5, 9, 4; *ταὶς ῥίζαις* P Ald. St.; *ταῖς ῥίζας* cum Cam. H.

ἐρινὰ] Edd. o.; *ἔρινα* Sch.syll..

οὐδ'] UMV; *οὐδὲ* Ald. Edd. o.

ἐὰν ἐμφυτευθῶσιν] corr. Sch.syll.; *ἐὰν ἔνι φυτ.* UMV; *ἐὰν ἔνια φυτ.* Ald. Edd.

5. *γένηται*] *μένηται* H.

ἀποκλύζεται] *ἢ καὶ ἀποκλύζηται* St.

ἐρινὰ] Ald. Edd. o.; *ἔρινα* P2.

ἐξ αὐτῆς] P2 Ald. Edd.; *ἐξ αὐτῶν* mBas. Sch.

τριγμὸν] U; sic etiam C. pl. 5, 10, 5; *τρισμὸν* Ald. Edd. o.

συκῆ] *συκῆν* M.

τά τε γὰρ πρὸς] UMV Sch.; *τά γε πρὸς* Ald. Edd.; *τὰ γὰρ πρὸς* P.

καὶ αὐτὴν τὴν ῥίζαν] U Sch.syll.; om. Ald. Edd.

μαδᾷ] UMV Ald. H. St. Sch.syll.; *μυδᾷ* Sch.cont Vide C. 5, 9, 9. Exc. P2: *νοσεῖ δὲ καὶ ἀπὸ ἐπομβρίας· κραδᾷ γὰρ πρὸς τὴν ῥίζαν ὅ τινες καλοῦσι λοπάδα.*

τοῦτο δὲ καλοῦσι λοπάδα. ἡ δ' ἄμπελος τραγᾷ· τοῦτο δὲ μάλιστα αὐτῆς ἐστι 6.
πρὸς τῷ ἀστροβολεῖσθαι, ἢ ὅταν ὑπὸ πνευμάτων βλαστοκοπηθῇ ἢ ὅταν τῇ ἐρ-
γασίᾳ συμπάθῃ ἢ τρίτον ὑπτία τμηθῇ. ῥυὰς δὲ γίνεται, ὃ καλοῦσί τινες ψί-
νεσθαι, ὅταν ἐπινιφθῇ κατὰ τὴν ἀπάνθησιν ἢ ὅταν κρειττωθῇ· τὸ δὲ πάθος
ἐστὶν ὥστε ἀπορρεῖν τὰς ῥᾶγας καὶ τὰς ἐπιμενούσας εἶναι μικράς. ἔνια δὲ καὶ
ῥιγώσαντα νοσεῖ καθάπερ ἡ ἄμπελος· ἀμβλοῦνται γὰρ οἱ ὀφθαλμοὶ τῆς πρωτο-
τόμου· καὶ πάλιν ὑπερθερμανθέντα· ζητεῖ γὰρ καὶ τούτων τὴν συμμετρίαν ὥς-
περ καὶ τῆς τροφῆς. ὅλως δὲ πᾶν τὸ παρὰ φύσιν ἐπικίνδυνον. μεγάλα δὲ 7.
ξυμβάλλεται καὶ τὰ τραύματα καὶ αἱ πληγαὶ τῶν περισκαπτόντων εἰς τὸ μὴ
φέρειν τὰς μεταβολὰς ἢ καυμάτων ἢ χειμώνων· ἀσθενὲς γὰρ ὂν διὰ τὴν ἕλκω-
σιν καὶ τὸν πόνον εὐχειρωτότατόν ἐστι ταῖς ὑπερβολαῖς. σχεδὸν δὲ ὥς τινες
οἴονται τὰ πλεῖστα τῶν νοσημάτων ἀπὸ πληγῆς γίνεται· καὶ γὰρ τὰ ἀστρόβλητα
καλούμενα καὶ τὰ σφακελίζοντα διὰ τὸ ἀπὸ ταύτης εἶναι τῶν ῥιζῶν τὸν πόνον.
οἴονται δὲ καὶ δύο ταύτας εἶναι μόνας νόσους· οὐ μὴν ἀλλὰ τοῦτό γ' οὐκ ἄγαν
ὁμολογούμενόν ἐστι. πάντων δ' ἀσθενέστατον ἡ μηλέα ἡ ἠρινὴ καὶ τούτων ἡ
γλυκεῖα. ἔνιαι δὲ πηρώσεις οὐκ εἰς φθορὰν γίνονται ὅλων ἀλλ' εἰς ἀκαρπίαν· 8.
οἷον ἐάν τις τῆς πίτυος ἀφέλῃ τὸ ἄκρον ἢ τοῦ φοίνικος, ἄκαρπα γίνεσθαι ἄμφω
δοκεῖ καὶ οὐχ ὅλως ἀναιρεῖσθαι. γίνονται δὲ νόσοι καὶ τῶν καρπῶν αὐτῶν ἐὰν
μὴ κατὰ καιρὸν τὰ πνεύματα καὶ τὰ οὐράνια γένηται· συμβαίνει γὰρ ὁτὲ μὲν
ἀποβάλλειν γενομένων ἢ μὴ γενομένων ὑδάτων οἷον τὰς συκᾶς, ὁτὲ δὲ χείρους

λοπάδα] Ald. H. St.; *λοπᾶν* Sch.; *aulam appellant* G.

6. *αὐτῆς*] *αὐτῇ* St.

πρὸς τῷ] Ald. Edd.; *πρὸς τὸ* U.

ἀστροβολεῖσθαι] Ald. Edd.; *ἀστροβολοῦσθαι* UMV.

τῇ ἐργασίᾳ] U, de corr. H. St. Sch.; *ἡ ἐργασία* M Ald.

τρίτον] *τρίτου* M. — *ὅταν* i. u. add. Sch.

ῥυὰς] U; *ῥοὰς* Ald. Edd. o. Hesych.: *ψινάδες αἱ ῥυάδες ἄμπελοι.*

ψίνεσθαι] Ald. H. Sch.; *ψόνασθαι* M; *ψήνεσθαι* St.

ἐπινιφθῇ] *ἐπικνιφθῇ* St. Cf. C. 5, 9, 14.

κρειττωθῇ] Ald. Edd.; *κρισσωθῇ*, derivatum a *κρισσὸς κιρσὸς* i. e. *varix, venae dilatatio morbosa*, conj. Sch. in Commentario et recepit probante Coraio in Syll. hoc sensu: si vulnere trunco inflicto varix, tuberosa ligni excrescentia, orta sit, quae succum attrahens ne ad fructus abeat prohibet. Mihi tamen hic non de causa fortuita vel violenta sed de naturali sermo esse videtur, cumque C. pl. l. l. eadem verba *κρειττωθῇ* et *κρείττωσις* sine varietate extent aliam quandam huic verbo inesse adhuc ignotam significationem putaverim. Propterea nihil mutavi.

τὸ δὲ π.] *τοῦτο δὲ π.* St.

πρωτοτόμου] *πρώτης τόμης* St.

ὑπερθερμανθέντα] UMV Sch.; *ὑποθερμ.* Ald. Edd.; *καὶ ἀνάπαλιν* St.

συμμετρίαν] *συμετρίαν* Ald. Cam.

7. *ξυμβάλλεται*] *ξυμβάλεται* Ald. sol.

πληγαὶ] *πηγαὶ* U.

εὐχειρωτότατον] correxi auctore Lobeckio Paralip. p. 38, „illa exaeresis exempla omnia librariorum potius incuriae, quam scriptorum fastidio tribuenda sunt;“ *εὐχειρότατον* Ald. Edd. o.

τὸν πόνον] corr. H. St. Sch. auctore G. *laborant*; *τὸν τόπον* MV Ald. Ceterum Sch. cum structuram verborum impeditam esse videret conj. *σφακελίζοντα ἀπὸ ταύτης εἶναι διὰ τὸν τῶν ῥιζῶν πόνον.* Equidem *νοσεῖ* subaudiendum esse censeo.

ἀσθενέστατον] UMVP mBas. St. Sch. G.; *εὐσθενέστατον* Ald. H.

8. *πηρώσεις*] *πορώσεις* P2.

ὅλων] dedi de conj.; *τινων* P2 Ald. H., om. St., seclusit Sch. Cf. C. 5, 17, 6.

οὐράνια] *ὕδατα* i. u. add. St.

ὁτὲ δὲ χ.] corr. Sch.; *ὁτὲ χείρ.* Ald. H.; *ἐνίοτε· ὁτὲ δὲ* St.

γίνεσθαι σηπομένους καὶ καταπνιγομένους ἢ πάλιν ἀναξηραινομένους παρὰ τὸ δέον. χείριστον δὲ ἐὰν ἀπανθοῦσί τισιν ἐφύσῃ καθάπερ ἐλάᾳ καὶ ἀμπέλῳ·
9. συναπορρεῖ γὰρ ὁ καρπὸς δι' ἀσθένειαν. ἐν Μιλήτῳ δὲ τὰς ἐλάας ὅταν ὦσι περὶ τὸ ἀνθεῖν κάμπαι κατεσθίουσιν, αἱ μὲν τὰ φύλλα αἱ δὲ τὰ ἄνθη, ἕτεραι τῷ γένει, καὶ ψιλοῦσι τὰ δένδρα· γίνονται δὲ ἐὰν ᾖ νότια καὶ εὐδιεινά· ἐὰν δὲ ἐπιλάβῃ καύματα ῥήγνυνται. περὶ δὲ Τάραντα προφαίνουσι μὲν ἀεὶ πολὺν καρπὸν ὑπὸ δὲ τὴν ἄνθησιν τὰ πόλλ' ἀπόλλυται. τὰ μὲν οὖν τοιαῦτα τῶν τό-
10. πων ἴδια. γίνεται δὲ καὶ ἄλλο νόσημα περὶ τὰς ἐλάας ἀράχνιον καλούμενον· φύεται γὰρ τοῦτο καὶ διαφθείρει τὸν καρπόν. ἐπικάει δὲ καὶ καύματά τινα καὶ ἐλάαν καὶ βότρυν καὶ ἄλλους καρπούς. οἱ δὲ καρποὶ σκωληκοῦνταί τινων οἷον ἐλάας ἀπίου μηλέας μεσπίλης ῥόας. καὶ ὅ γε τῆς ἐλάας σκώληξ ἐὰν μὲν ὑπὸ τὸ δέρμα γένηται διαφθείρει τὸν καρπόν, ἐὰν δὲ τὸν πυρῆνα διαφάγῃ ὠφελεῖ. κωλύεται δὲ ὑπὸ τῷ δέρματι εἶναι ὕδατος ἐπ' ἀρκτούρῳ γενομένου. γίνονται δὲ καὶ ἐν ταῖς δρυπεπέσι σκώληκες, αἵπερ καὶ χείρους εἰς τὴν ῥύσιν· ὅλως δὲ καὶ δοκοῦσιν εἶναι σαπραί· δι' ὃ καὶ γίνονται τοῖς νοτίοις καὶ μᾶλλον ἐν τοῖς ἐφύδροις. ἐγγίνονται δὲ καὶ κνῖπες ἔν τισι τῶν δένδρων ὥσπερ ἐν τῇ δρυῒ καὶ τῇ συκῇ· καὶ δοκοῦσιν ἐκ τῆς ὑγρότητος συνίστασθαι τῆς ὑπὸ τὸν φλοιὸν συνισταμένης· αὕτη δέ ἐστι γλυκεῖα γευομένοις. γίνονται δὲ καὶ ἐν λαχάνοις τι-
11. σὶν, ἔνθα δὲ κάμπαι διαφερούσης δῆλον ὅτι τῆς ἀρχῆς. καὶ τὰ μὲν νοσήματα σχεδὸν ταῦτα καὶ ἐν τούτοις ἐστίν. ἔνια δὲ πάθη τῶν κατὰ τὰς ὥρας καὶ τῶν κατὰ τοὺς τόπους γινομένων ἀναιρεῖν πέφυκεν ἃ οὐκ ἄν τις εἴποι νόσους, οἷον

σηπομένους — καταπνιγομένους — ἀναξηραινομένους] U, Sch. de conj.; ter — *ας* Ald. Edd.

ἀπανθοῦσι] corr. Sch.; *deflorescentibus* G. et Plin.; *ἐπανθοῦσι* Ald. H.; *ἐπ' ἀνθοῦσι* St.

συναπορρεῖ] U Sch.syll.; *συναποῤῥίει* M V; *συναποῤῥέει* Ald. Edd.

9 *καὶ εὐδιεινά*] Cf. C. 10, 5, 3. *καὶ τὰ εὐδιεινά* Ald. H.; *τὰ* seclusit Sch.; *ἢ καὶ εὐδιαινά* St.

ῥήγνυνται] *ῥήγνυται* P.

ἀεὶ πολὺν καρπόν] UMV Sch.; *πολὺν καρπὸν ἀεὶ* Ald. Edd.

ἄνθησιν] Vix dubito quin hic quoque *ἀπάνθησιν* fuerit scriptum.

10. *ἀράχνιον*] corr. Sch., praeeunte Meurs. Th. p. 91, e C. pl. 5, 10, 2 ubi G. *arachnium*; hic vero idem *arachinium* habet; *ἀρίχνιον* U P2; *ἀρχίχνιον* MVP; *ἀρχίνιον* Ald.; *ἀραχίνιον* H. St.; *ἀρχίνιο* Cam.

φύεται] Sch. recte adnotat h. v. esse vitiosam, sed quod substituit *ἐμφύεται* non satis placet. P2 dat *φυτεύεται*, unde *λυμαίνεται* conjici potest. In explicanda re dissentiunt Spr. et Link.

διαφθείρει] *διαφθείρεται* U.

ἐπικάει] UMV P2 Ald.; *ἐπικαύει* H. St.; *ἐπικαίει* Sch.cont.

ἐλάαν] U; *ἐλαίαν* P2 Ald. Edd. o.

ἐλάας] U; *ἐλαίας* P2 Ald. Edd. o.

ῥόας] *ῥοῦς* Ald.; *ῥοιᾶς* P2 St.

κωλύεται] U, St. Sch. e conj.; *καὶ λύεται* Ald. H.

ἐπ' ἀρκτούρῳ] Sch. e conj., quam firmat e C. pl. 5, 10, 1.; *ὑπ' ἀρκτούρῳ* U; *ἀπ' ἀρκτούρου* Ald. H.; *ἐπ' ἀρκτούρου* St.

ἅπερ καὶ χείρους] U Sch.syll.; *καὶ* om. Ald. H.; *καίπερ χείρους* St.

κνῖπες] Sch ; *κνίπες* Ald. Edd.

τὸν φλοιὸν] *τῶν φλοιῶν* P.

γευομένοις] U P Ald. St. Sch.; *γευομένης* M; *γενομένης* V; *γενομένοις* Cam. H.

κάμπαι] *καὶ* anteposuit St.

11. *πάθη*] UM Sch.; *πάθῃ* V; *πάλιν* Ald. Edd.

καὶ τῶν κατὰ τοὺς τόπους] Sch. e Plin. 17, 34, 8 *Quaedam temporum causae aut locorum non proprie dicuntur morbi*; *καὶ τῶν καθ' αὐτὰ* Ald. Edd.

εἴποι] P St. Sch.; *εἴποιεν* UP2; *εἰποίη* M; *εἴποιε* V Ald.; *ἔποι* H.

λέγω τὴν ἔκπηξιν καὶ ὃ καλοῦσί τινες καυθμόν. ἄλλα δὲ παρ' ἑκάστοις πέ-
φυκε πνεύματα ἀπολλύναι καὶ ἀποκάειν· οἷον ἐν Χαλκίδι τῆς Εὐβοίας Ὀλυμ-
πίας ὅταν πνεύσῃ μικρὸν πρὸ τροπῶν ἢ μετὰ τροπὰς χειμερινὰς ψυχρός· ἀπο-
κάει γὰρ τὰ δένδρα καὶ οὕτως αὖα ποιεῖ καὶ ξηρὰ ὡς οὐδ' ἂν ὑφ' ἡλίου καὶ
χρόνου πολλοῦ γένοιτ' ἄν· δι' ὃ καὶ καλοῦσι καυθμόν· ἐγένετο δὲ πρότερον πολ-
λάκις ἤδη καὶ ἐπ' Ἀρχίππου δι' ἐτῶν τετταράκοντα σφοδρός. πονοῦσι δὲ μά- 12.
λιστα τῶν τόπων οἱ κοῖλοι καὶ οἱ αὐλῶνες καὶ ὅσοι περὶ τοὺς ποταμοὺς καὶ
ἁπλῶς οἱ ἀπνευστότατοι· τῶν δένδρων δὲ μάλιστα συκῆ, δεύτερον δὲ ἐλάα·
ἐλάας δὲ μᾶλλον ὁ κότινος ἐπόνησεν ἰσχυρότερος ὤν, ὃ καὶ θαυμαστὸν ἦν· αἱ
δὲ ἀμυγδαλαῖ τὸ πάμπαν ἀπαθεῖς· ἀπαθεῖς δὲ καὶ αἱ μηλέαι καὶ αἱ ἄπιοι καὶ
αἱ ῥόαι ἐγένοντο· δι' ὃ καὶ τοῦτο ἦν θαυμαστόν. ἀποκάεται δὲ εὐθὺς ἐκ τοῦ
στελέχους, καὶ ὅλως δὲ μᾶλλον καὶ πρότερον ὡς εἰπεῖν ἅπτεται τῶν ἄνω.
φανερὰ δὲ γίνεται τὰ μὲν ἅμα περὶ τὴν βλάστησιν ἡ δὲ ἐλάα διὰ τὸ ἀείφυλλον
ὕστερον· ὅσαι μὲν οὖν ἂν φυλλοβολήσωσιν ἀναβιώσκονται πάλιν, ὅσαι δ' ἂν μὴ
τελέως ἀπόλλυνται. παρ' ἐνίοις δέ τινες ἀποκαυθεῖσαι καὶ τῶν φύλλων αὐαν-
θέντων ἀνεβλάστησαν πάλιν ἄνευ τοῦ ἀποβαλεῖν καὶ τὰ φύλλα ἀνεβίωσεν.
ἐνιαχοῦ δὲ καὶ πολλάκις τοῦτο συμβαίνει καθάπερ καὶ ἐν Φιλίπποις. τὰ δ' ἐκ- 13.
παγέντα ὅταν μὴ τελέως ἀπόληται τάχιστα ἀναβλαστάνει ὥστε εὐθὺς τὴν ἄμ-
πελον καρποφορεῖν ὥςπερ ἐν Θετταλίᾳ. ἐν δὲ τῷ Πόντῳ περὶ Παντικάπαιον
αἱ μὲν ἐκπήξεις γίνονται διχῶς ὁτὲ μὲν ὑπὸ ψύχους ἐὰν χειμέριον ᾖ τὸ ἔτος,

ἔκπηξιν] corr. Sch.; *ἔκπληξιν* UMVP2 Ald. Edd. Cf. C. 5, 12.

καυθμὸν] Vo. H. St. Sch.; *κλαυθμὸν* UMVP2 Ald. Sic etiam mox.

πνεύματα] *ὡς* add. St.

Χαλκίδι] Ald. Bas. H. St. Sch.; *καλχίδι* P; *καλκίδι* Cam.

Ὀλυμπ.] P2 Ald. H.; *ὁ Ὀλ.* St. Sch.

ψυχρὸς] *ὢν* add. St.

οὐδ' ἂν ὑφ.] UMV Sch.; *οὐδ' ἄρ' ὑφ'* Ald. H. St.; *οὐδ' αὖ σῶα ὑφ'* P2.

πρότερον] *πρότερόν τε* P2.

Ἀρχίππου] UMVP G. St. Sch.; *ἀρχίπου* altero *π* superscripto P2; *ἀρχίπτου* Ald.; *Ἀρχιώπου* H. — Pro *τετταράκοντα* Palmer. Ex. p. 597 *τεττάρων* scribendum esse contendit.

12. *δεύτερον δὲ ἐλάα· ἐλάας δὲ μ.*] sic mBas. Sch.; *δεύτερον δὲ ἐλαίας μ.* Ald. Edd.; *secundo loco olea oleaster magis laboravit* G.

αἱ δὲ ἀμυγ.] UMV Ald. Sch.; *αἱ δὲ* om. H. St., qui *δὲ* ponunt post *ἀμυγδ.*; *ἀμυγδάλαι* Ald.

ἀπαθεῖς· ἀπαθεῖς δὲ καὶ αἱ μ.] Sch. syll.; *ἀπαθεῖς δὲ αἱ μηλέαι* Ald.; *καὶ* ante *αἱ* add. U H. St. Sch.

καὶ αἱ ἄπιοι] om. St.

ῥόαι] Sch.; *ῥοαὶ* Ald.; *ῥοιαὶ* St.

ὡς εἰπεῖν] corr. Scalig. St. Sch.; *ut ita dixerim* G.; *ὡς εἶπον* UM Ald. H.

ἅπτεται τῶν ἄνω] corr. Sch. Cf. C. 5, 12, 5; *ἅπτεται τῶν κάτω* Ald.; *ἅπτεται δὲ τῶν κάτω* UMVP. Hic librorum consensus facit ut de emendatione dubitem et *κάτω* quidem recte habere, pauca vero excidisse suspicer, praesertim cum oratio non satis plena nec continua esse videatur.

φανερὰ] corr. Sch.; *φανερὸν* Ald. Edd. — Dein *ταῖς μὲν ἅμα — τῇ δὲ ἐλαίᾳ* St.

ἐλάα] U; *ἐλαία* Ald. Edd. o.

ἀναβιώσκονται] P H. St. Sch.; *reviviscunt* G.; *ἀναβιβρώσκονται* UMV Ald.; *ἀναβιώσονται* Vo.

ἀποβαλεῖν] Schn. syll.; *ἀποβάλλειν* Ald. Edd.; *ἀποβαλλεῖν* U; *ἀποβάλειν* M.

13. *ἐκπαγέντα*] Sch. syll.; *ἐκπλαγέντα* U; *ἐκπληγέντα* Ald. Edd. o.

ἀπόληται] UP Sch. syll.; *ἀπόλυται* M; *ἀπόλλυται* Ald. Edd.

Παντικάπαιον] U, de conj. Bod. Sch.; *παντοκαπαῖον* Ald. Edd.

χειμέριον ᾖ τὸ ἔτ.] Ald. Edd.; *χειμεριας τὸ ἔτος* U, *χειμεριὰς τ. ἔ.* MV, unde Sch. in Syll. *χειμάσῃ τὸ ἔτος* correxit.

ὁτὲ δὲ ὑπὸ πάγων ἐάν γε πολὺν χρόνον διαμένωσι. ἀμφότερα δὲ μάλιστα γί-
γνονται μετὰ τροπὰς μετὰ τὰς τετταράκοντα. γίνονται δὲ οἱ μὲν πάγοι ταῖς
αἰθρίαις τὰ δὲ ψύχη μάλιστα ὑφ' ὧν ἡ ἔκπηξις ὅταν αἰθρίας οὔσης αἱ λεπίδες
καταφέρωνται. ταῦτα δ' ἐστὶν ὥςπερ τὰ ξύσματα πλὴν πλατύτερα, καὶ φερό-
14. μενα φανερὰ πεσόντα δὲ οὐ διαμένει· περὶ δὲ τὴν Θράκην ἐκπήγνυνται. ἀλλὰ
γὰρ αἱ μὲν νόσοι πόσαι τε καὶ ποῖαι καὶ τίνες γίνονται καὶ πάλιν αἱ δι' ὑπερβο-
λὴν χειμῶνος ἢ καυμάτων φθοραὶ καὶ αἱ διὰ πνευμάτων ψυχρότητα ἢ θερμό-
τητα διὰ τούτων θεωρείσθωσαν· ὧν ἐνίας οὐθὲν ἂν κωλύοι καὶ τοῖς ἀγρίοις
εἶναι κοινὰς καὶ κατὰ τὴν ὅλην τῶν δένδρων φθορὰν καὶ ἔτι μᾶλλον κατὰ τὴν
τῶν καρπῶν· ὃ καὶ συμβαῖνον ὁρῶμεν· οὐκ εὐκαρπεῖ γὰρ οὐδ' ἐκεῖνα πολλάκις,
ἀλλ' οὐχ ὁμοίως οἶμαι παρατετήρηται.

18 H. 16 St. Cap. XV. Λοιπὸν δ' εἰπεῖν ὅσα παραιρουμένων τινῶν μορίων ἀπόλλυται.
κοινὴ μὲν δὴ πᾶσι φθορὰ τοῦ φλοιοῦ περιαιρεθέντος κύκλῳ· πᾶν γὰρ ὡς εἰπεῖν
οὕτως ἀπόλλυσθαι δοκεῖ πλὴν ἀνδράχλη· καὶ αὕτη δὲ ἐάν τις τὴν σάρκα σφό-
δρα πιέσῃ καὶ τὸν μέλλοντα βλαστὸν διακόψῃ· πλὴν εἰ ἄρα φελλοῦ· τοῦτον
γάρ φασι καὶ εὐσθενεῖν μᾶλλον περιαιρουμένου δῆλον ὅτι τοῦ ἔξω καὶ τοῦ
κάτω πρὸς τῇ σαρκὶ καθάπερ καὶ τῆς ἀνδράχλης. ἐπεὶ καὶ τοῦ κεράσου περι-
αιρεῖται καὶ τῆς ἀμπέλου καὶ τῆς φιλύρας, ἐξ οὗ τὰ σχοινία, καὶ μαλάχης τῶν
ἐλαττόνων ἀλλ' οὐχ ὁ κύριος οὐδ' ὁ πρῶτος, ἀλλ' ὁ ἐπιπολῆς ὃς καὶ αὐτόματος
2. ἐνίοτε ἀποπίπτει διὰ τὴν ὑπόφυσιν θατέρου. καὶ γὰρ φλοιορραγῆ ἔνια τῶν
δένδρων ἐστὶν ὥςπερ καὶ ἡ ἀνδράχλη καὶ ἡ πλάτανος. ὡς δέ τινες οἴονται

ἐάν γε π. χρ. διαμένωσι] corr. Schn. syll.; *ἐὰν δὲ π. χρ. διαμένωσι* U; *ἐὰν π. χρ. διαμένωσί γε* Ald. Edd.

γίγνονται] U; *γίνονσθαι* Ald.; *γίνεται* Bas. Edd.

μετὰ — τετταράκοντα] MV Ald.; *μετὰ — τεσσαράκοντα* U; *μετὰ — τεττ. ἡμέρας* H. St. Sch.; *περὶ — τεττ.* conj. Sch. in Comm Cf. C. 5, 12, 4.

ἔκπηξις] Sch. syll.; *ἔκπληξις* Ald. Edd.

λεπίδες] corr. Scal. H. St. Sch.; *ῥεπίδες* Ald.; *squammulae* G.

Θράκην] Sch. i. u. addit *ὑπὸ πνευμάτων μάλιστα,* quod supplementum ducit e C. pl. 5, 13.

14. *θεωρείσθωσαν*] Ald. Edd.; *τεθεωρήσθωσαν* Sch.

ὧν] corr. Sch.; *ὡς* MV Ald. Edd.

οὐθὲν] U Sch. syll.; *οὐδὲν* Ald. Edd.; *οὐ μὴν* MV.

Cap. XV.

παραιρουμένων] UMV Ald. Sch. syll.; *περαιρ.* H. St.; *περιαιρ.* Sch. cont.

πᾶν] *πάντα* P2, quod praetulerim.

ἀνδράχλη] UMVP2; *ἀνδράχνη* Ald. Edd.

σφόδρα] om. H.

πιέσῃ] M Ald. Edd.; *ποιέσῃ* V.

βλαστὸν] corr. Sch. e versione G. *germenque futurum;* *καρπὸν* U Ald. H. St.

πλὴν — φελλοῦ] *Itaque verius forte excepto subere dixerim* G.

τοῦ κάτω] Sch.; *τοῦ* om. Ald. H.; *καὶ μὴ τοῦ κάτω* St.

τῆς ἀνδράχλης] U; *τῆς ἀνδράχθης* M.; *τὴν ἀνδράχνην* Sch. cont.; *τῆς ἀνδράχνης* Ald. H. St. Sch. syll.

ἐπεὶ] *ἔτι* St.

καὶ μαλ. τ. ἐλ.] Verte: *atque inter humiliores malvae.* Omnia hic sana sunt.

ὑπόφυσιν] H. St. Sch.; *ἀπόφυσιν* Ald.

2. *φλοιορραγῆ ἔνια*] corr. Moldenh. Tent. p. 117 Sch.; *φλοιορραγία μία* UMV G. Havn. 1, Scal. et omisso *μία* St.; *φυλλορρογία μία* Ald.; *φυλλοραγία* mB. *φυλλορραγία* H.

ἡ ἀνδράχλη] *ὁ ἄνδραχλος* UMV Ald.; *ὁ ἄνδραχος* H.; *τῆς ἀνδράχνης* mBas.; *τῆς ἀνδράχνας* St.; *ἡ ἀνδράχνη* Sch.

καὶ ἡ πλάτανος] Ald. H. Sch.; *καὶ πλατάνου* mBas.; *καὶ τοῦ πλατάνου* St.

πάλιν ὑποφύεται νέος ὁ δὲ ἔξωθεν ἀποξηραίνεται καὶ ῥήγνυται καὶ αὐτόματος
ἀποπίπτει πολλῶν, ἀλλ' οὐχ ὁμοίως ἐπίδηλος. φθείρονται μὲν οὖν ὡς οἴονται
πάντα περιαιρουμένου, διαφέρει δὲ τῷ θᾶττον καὶ βραδύτερον καὶ μᾶλλον καὶ
ἧττον. ἔνια γὰρ πλείω χρόνον διαμένει καθάπερ συκῆ καὶ φίλυρα καὶ δρῦς·
οἱ δὲ καὶ ζῆν φασι ταῦτα, ζῆν δὲ καὶ πτελέαν καὶ φοίνικα· τῆς δὲ φιλύρας καὶ
συμφύεσθαι τὸν φλοιὸν πλὴν μικροῦ· τῶν δὲ ἄλλων οἷον πωροῦσθαι καὶ ἰδίαν
τινὰ φύσιν ἔχειν. βοηθεῖν δὲ πειρῶνται διαπλάττοντες πηλῷ καὶ περιδοῦντες
φλοιοῖς καὶ καλάμοις καὶ τοῖς τοιούτοις ὅπως μὴ ψύχηται μηδ' ἀποξηραίνηται.
καὶ ἤδη φασί που ἀναφῦναι καθάπερ καὶ ἐν Ἡρακλείᾳ τῇ τραχινίᾳ τὰς συκᾶς.
δεῖ δὲ ἅμα τῇ τῆς χώρας ἀρετῇ καὶ τῇ τοῦ ἀέρος κράσει καὶ τὰ ἐπιγιγνόμενα 3.
τοιαῦτα εἶναι· χειμώνων γὰρ ἢ καυμάτων ἐπιγινομένων σφοδρῶν εὐθὺς ἀπόλ-
λυνται· διαφέρουσι δὲ καὶ αἱ ὧραι· περὶ γὰρ τὴν βλάστησιν ἐλάτης ἢ πεύκης
ὅτε καὶ λοπῶσι τοῦ Θαργηλιῶνος ἢ Σκιρροφοριῶνος ἄν τις περιέλῃ παραχρῆμα
ἀπόλλυται. τοῦ δὲ χειμῶνος πλείω χρόνον ἀντέχει καὶ ἔτι μᾶλλον τὰ ἰσχυρό-
τατα καθάπερ πρῖνος καὶ δρῦς· χρονιωτέρα γὰρ ἡ τούτων φθορά. δεῖ δὲ καὶ 4.
τὴν περιαίρεσιν ἔχειν τι πλάτος, πάντων μὲν μάλιστα δὲ τῶν ἰσχυροτάτων·
ἐπεὶ ἄν τις μικρὰν παντελῶς ποιήσῃ οὐθὲν ἄτοπον τὸ μὴ ἀπόλλυσθαι· καίτοι
φασί γέ τινες, ἐὰν ὁποσονοῦν, συμφθείρεσθαι πάντως· ἀλλ' ἐπὶ τῶν ἀσθενεστέ-
ρων τοῦτ' εἰκός. ἔνια γὰρ κἂν μὴ κύκλῳ περιαιρεθῇ φθείρεσθαί φασιν ἃ καὶ

πάλιν ὑποφύεται νέος] sic correxi; *πάλιν ὑποφύει νέος* Ald. H. St.; *οἴονται . . . ὑποφύεται* [*ὁ*] *νέος* Sch. qui membrum aliquod deesse statuit. Equidem *ὑποφύει* in *ὑποφύεται* mutato orationem sanam praestiterim, hoc sensu: *ut vero nonnulli putant, in multis cortex novus subnascitur, exterior vero exarescit disrumpitur et sponte decidit, sed non tam manifesto quam in illis.*

συκῆ] U Sch.syll.; *συκαῖ* Ald. Edd.

οἱ δὲ καῖ ζῆν — φύσιν ἔχειν] Egregium hoc auctarium praebuit U, quod tamen e scriptura Aldinae, partim Schneiderum secutus, parvo complemento auxi. *οἱ δὲ καὶ ζῆν φασί ποτε ταῦτα καὶ οὐκ ἀπόλλυσθαι τὸν φλοιὸν οἷον πωροῦσθαι ἰδίαν τ. φ. ἔ.* Ald. His ante *οἷον* interseruerat *ἀλλά*, ac ante *ἰδίαν καὶ* H., utroque loco *καὶ* Sch. St. *ἀλλὰ* posuit post *ἀπόλλυσθαι*. Quibuscum feci *καὶ* inserens ante *ἰδίαν* ab U quoque omissum. U: *οἱ δὲ καὶ ζῆν δὲ καὶ πτελέαν καὶ φύνικα· τῆς δὲ — πορουσθαι ἰδίαν τ. φ. ἔ.*, reliqua ut supra exscripta sunt. Sch. in Syll. correxit: *οἱ δὲ καὶ ζῆν φασι, ζῆν δὲ καὶ πτελέαν*, quem sequor addito vero etiam *ταῦτα*.

πηλῷ] *φλοιῷ*, superscriptum *πηλῷ* P_2.

καὶ τοῖς τοιούτοις] P_2 Ald. Edd. o.; *τοῖς* om. U.

ἀναφῦναι] corr. Scal. St. Sch.; *restitui regerminareque* G.: *φῦναι* Ald. H.

τραχινίᾳ] Sch.; *τραχινείαι* U; *τραχιανεῖ* M; *τραχιανῇ* Ald. H. St.; *Trachianam* G.

3. *χώρας*] H. St. Sch.; *virtutem soli* G.; *χερείας* Ald.; *χειρίας* V; *χειρείας* M, in M_2 correctum in *χρείας*.

καὶ τά] UMV Sch.; *καὶ* om. Ald. Edd.

ἐπιγιγνόμενα] U Sch.syll.; *ἐπιγινόμενα* MV Sch.cont.; *ἐπιγενόμενα* Ald. H. St.

ἐπιγινομένων] *ἐπιγενομένων* V Sch.

ἢ πεύκης] UP_2 Sch.syll.; *καὶ πεύκης* Ald. Edd.

λοπῶσι] $UMVP_2$ Ald. Sch.; *λιπῶσι* H. St.; *cum cortice turgido sunt* G.

Σκιρροφοριῶνος] P Sch.; *σκιροφ.* Ald.

4. *μικρὰν*] Vo. cod. Cas. Sch.; om. Ald. H; *si angustam ad modum feceris* G.; *μὴ παντελῶς ποιήσῃ λεπτὴν* St.

ὁποσονοῦν] corr. Sch.; *etiamsi quantumlibet auferatur* G.; *ὁπωσοῦν* Ald. Edd. Deinceps *ἀφαιρεθῇ* addunt auctore Gaza H. St. Sch.

συμφθείρεσθαι] *συμφέρεσθαι* U; *συμφείρεσθαι* P.

λυπρὰν ἔχει χώραν καὶ ἄτροφον. αὕτη μὲν δὴ καθάπερ εἴρηται κοινὴ φθορὰ πάντων.

19 H. Cap. XVI. Ἣν δὲ καλοῦσιν ἐπικοπὴν τῶν δένδρων, μόνον πεύκης ἐλάτης πίτυος φοίνικος, οἱ δὲ καὶ κέδρου καὶ κυπαρίττου φασί. ταῦτα γὰρ ἐὰν περιαιρεθῇ τὴν κόμην ἄνωθεν καὶ ἐπικοπῇ τὸ ἄκρον φθείρεται πάντα καὶ οὐ βλαστάνει, καθάπερ οὐδ' ἐπικαυθέντα ἢ πάντα ἢ ἔνια. τὰ δ' ἄλλα πάντα καὶ περικοπέντα βλαστάνει. καὶ ἔνιά γε καλλίω γίνεται καθάπερ ἡ ἐλάα. διαφθείρεται δὲ τὰ πολλὰ κἂν σχισθῇ τὸ στέλεχος· οὐδὲν γὰρ ὑπομένειν δοκεῖ πλὴν ἀμπέλου καὶ συκῆς καὶ ῥόας καὶ μηλέας· ἔνια δὲ κἂν ἑλκωθῇ καὶ μεῖζον καὶ βαθύτερον ἀπόλλυται. τὰ δ' οὐδὲν πάσχει καθάπερ ἡ πεύκη δᾳδουργουμένη καὶ ἐξ ὧν δὴ τὰς ῥητίνας συλλέγουσιν οἷον ἐλάτης τερμίνθου· καὶ γὰρ δὴ τούτων
2. εἰς βάθος ἡ τρῶσις καὶ ἕλκωσις. καὶ γὰρ ἐξ ἀφόρων φοράδες γίνονται καὶ ἐξ ὀλιγοφόρων πολυφόροι. τὰ δὲ καὶ πελέκησιν ὑπομένει καὶ ὀρθὰ καὶ πεσόντα ὑπὸ πνεύματος ὥστε πάλιν ἀνίστασθαι καὶ ζῆν καὶ βλαστάνειν οἷον ἰτέα καὶ πλάτανος. ὅπερ συνέβη καὶ ἐν Ἀντάνδρῳ καὶ ἐν Φιλίπποις· ἐκπεσούσης γὰρ ὡς ἀπέκοψαν τοὺς ἀκρεμόνας καὶ ἐπελέκησαν ἀνεφύη νύκτωρ ἡ πλάτανος κουφισθεῖσα τοῦ βάρους καὶ ἀνεβίω καὶ ὁ φλοιὸς περιέφυ πάλιν. παραπεπελεκημένη δ' ἐτύγχανεν ἐκ τῶν δύο μερῶν· ἦν δὲ τὸ δένδρον μέγα μῆκος μὲν μεῖζον
3. ἢ δεκάπηχυ πάχος δ' ὥστε μὴ ῥᾳδίως ἂν περιλαβεῖν τέτταρας ἄνδρας. ἡ δὲ ἐν Φιλίπποις ἰτέα περιεκόπη μὲν τοὺς ἀκρεμόνας οὐ μὴν παρεπελεκήθη. μάντις δέ τις ἔπεισεν αὐτοὺς θυσίαν τε ποιεῖσθαι καὶ τηρεῖν τὸ δένδρον ὡς σημεῖον ἀγαθὸν γεγονός. ἀνέστη δὲ καὶ ἐν Σταγείροις ἐν τῷ μουσείῳ λεύκη τις
4. ἐκπεσοῦσα. τῆς δὲ μήτρας ἐξαιρουμένης οὐθὲν ὡς εἰπεῖν φθείρεται δένδρον. σημεῖον δὲ ὅτι πολλὰ κοῖλα τῶν μέγεθος ἐχόντων δένδρων ἐστίν. οἱ δὲ περὶ Ἀρκαδίαν φασὶ μέχρι τινὸς μὲν ζῆν τὸ δένδρον, τελέως δὲ ἐξ ἅπαντος ἐξαιρε-
5. θείσης καὶ πεύκην φθείρεσθαι καὶ ἐλάτην καὶ ἄλλο πᾶν. κοινὴ δὲ φθορὰ πάν-

ἔχει] H. St. Sch.; ἔχειν Ald. Sch. voluit ἂν—ἔχῃ dare.

Cap. XVI.

ἣν δὲ] mBas. St. Sch.; ἣν δὴ Ald. H.
κόμην ἄνωθεν καὶ ἐπικοπῇ] sic correxi verborum ἄνωθεν et καὶ sede mutata; κόμην καὶ ἄνωθεν ἐπικοπῇ Ald. Edd., ubi ἄνωθεν abundabat. καὶ ἄνωθεν ἐπισκοπεῖ P2.
περικοπέντα] praecisa G.; sed valet circumcisa i. e. praecisa undique.
ἔνιά γε] U Sch. e conj.; ἔνια τε MV; ἔνια καὶ Ald. Edd.
σχισθῇ] Ald. Edd.; ἐσχίσθη UMVP2.
ῥόας] Sch.; ῥοᾶς Ald. P2.
ἔνια δὲ] ἔνια μὲν St.
δᾳδουργουμένη] δαιδουργουμένη U; δᾳδουργομένη Cam. H.
ἐλάτης τερμίνθου] UMV St. Sch.; ἐλάτας τερμίνθους Ald. H.

2. φοράδες] corr. Sch.; φορίδες Ald. Edd. Schn. hunc locum mutilum esse et γὰρ parum scite interpositum ad lacunae indicium obliterandum esse judicat.
πελέκησιν] H. St. Sch.; πελέκεσιν UMV P2 Ald.
πνεύματος] P2 St. Sch.; τοῦ πνεύματος Ald. H.
Ἀντάνδρῳ] Αντανδραι U.
ἡ πλάτανος] St. Sch.; ἡ om. P2 Ald. H.
ἐκ τ. δ. μ.] ἐν τ. δ. μ. H.
3. ἰτέα περιεκόπη μὲν] ἰτέα ἀνέστη περιεκοπήθη μὲν St.
4. τινὸς μὲν ζῆν τὸ δένδρον] dedi de conj.; τινος ἐὰν τοῦ δένδρου, ἐὰν e correctione, U; τινος ἐξηρέθη τοῦ δ. MV Ald.; τ. ἐὰν ἐξηρέθη τοῦ δ. ζῆν H.; τ. ἐὰν ἐξηρέθη ἡ μήτρα τοῦ δ. ζῆν St.; τ. ἐὰν ἐξαιρεθῇ τοῦ δ. ζῆν Sch.

των κἂν αἱ ῥίζαι περικοπῶσιν ἢ πᾶσαι ἢ αἱ πλεῖσται καὶ μέγισται καὶ κυριώταται τοῦ ζῆν. αὗται μὲν οὖν ἐξ ἀφαιρέσεως. ἡ δ' ὑπὸ τοῦ ἐλαίου προςθέσει τινὶ μᾶλλον ἢ ἀφαιρέσει· πολέμιον γὰρ δὴ καὶ τοῦτο πᾶσι· καὶ ἔλαιον ἐπιχέουσι τοῖς ὑπολείμμασι τῶν ῥιζῶν. ἰσχύει δὲ μᾶλλον τὸ ἔλαιον ἐν τοῖς νέοις καὶ ἄρτι φυομένοις· ἀσθενέστερα γὰρ δι' ὃ καὶ ἅπτεσθαι κωλύουσι. φθοραὶ δὲ καὶ ὑπ' ἀλλήλων εἰσὶ τῷ παραιρεῖσθαι τὰς τροφὰς καὶ ἐν τοῖς ἄλλοις ἐμποδίζειν. χαλεπὸς δ' ἐστὶν ὁ κιττὸς παραφυόμενος, χαλεπὸς δὲ καὶ ὁ κύτισος· ἀπόλλυσι γὰρ πάνθ' ὡς εἰπεῖν· ἰσχυρότερον δὲ τούτου τὸ ἅλιμον· ἀπόλλυσι γὰρ
τὸν κύτισον. ἔνια δὲ οὐ φθείρει μὲν χείρω δὲ ποιεῖ ταῖς δυνάμεσι τῶν χυλῶν 6.
καὶ τῶν ὀσμῶν οἷον ἡ ῥάφανος καὶ ἡ δάφνη τὴν ἄμπελον. ὀσφραίνεσθαι γάρ φασι καὶ ἕλκειν. δι' ὃ καὶ ὅταν ὁ βλαστὸς πλησίον γένηται πάλιν ἀναστρέφειν καὶ ἐκχωρεῖν ὡς πολεμίας οὔσης τῆς ὀσμῆς. Ἀνδροκύδης δὲ καὶ παραδείγματι τούτῳ κατεχρήσατο πρὸς τὴν βοήθειαν τὴν ἀπὸ τῆς ῥαφάνου γινομένην πρὸς τὸν οἶνον ὡς ἐξελαύνουσαν τὴν μέθην· φεύγειν γὰρ δὴ καὶ ζῶσαν τὴν ἄμπελον τὴν ὀσμήν. αἱ μὲν οὖν φθοραὶ πῶς τε γίνονται καὶ πόσαι καὶ ποσαχῶς φανερὸν ἐκ τῶν προειρημένων.

5. *πᾶσι· καὶ ἔλαιον ἐπιχέουσι*] Sch.; *πᾶσιν ἔλαιον ἐπιχεύουσιν* UMP2 Ald.; *πᾶσι· ἔλαιον γὰρ ἐπ.* mBas.; *πᾶσιν δ' ἐλ. ἐπ.* H. Respicit haec Plut. Symp. II., p. 640 et Quae. Nat. p. 911, d.

ὑπολείμμασι] *ὑπολείμασι* Ald.

χαλεπὸς δ' ἐστὶν] dedi de corr.; *χαλεπὸς δὲ καὶ* Ald. Edd. o. Sch. maluit *οἷον ὁ κιττὸς χαλεπὸς παρ.*

ἀπόλλυσι γὰρ π.] H. St. Sch.; *ἀπολαύσει* U; *ἀπολέσει* V Ald.

6. *χυλῶν*] P2 Ald. H. St.; *χυμῶν* Sch.

ὁ βλαστὸς πλησίον γ.] corr. Dalec. H. pl. p. 529. St. Sch.; *ὁ πλησίον βλαστὸς γ.* Ald. H.; *germen cum illis propinquum fuerit* G.

ἐκχωρεῖν] dedi de conj.; *εὐφορεῖν* U; *ἀφορεῖν* Ald. Edd. o.; *recedere atque averti* G., quem *ἀφορᾶν* legisse suspicatur Sch.

Ἀνδροκύδης δὲ] U, Sch. syll.; *Ἀ. γὰρ δ* Ald. Edd. *ἀνδροκί δὲ* P2.

γινομένην] Ald. Edd.; *γενομένην* UP2P

γὰρ δὴ καὶ] corr. Dalec. H. St. Sch. e vers. Gazae.; *γὰρ δεῖ καὶ* Ald.

πῶς τε] *πῶς γε* V.



ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Ε.

Cap. I. Περὶ δὲ τῆς ὕλης, ποία τέ ἐστιν ἑκάστη καὶ πόθ' ὡραία τέμνεσθαι καὶ πρὸς ποῖα τῶν ἔργων χρησίμη καὶ ποία δύςεργος ἢ εὔεργος καὶ εἴ τι ἄλλο τῆς τοιαύτης ἱστορίας ἔχεται, πειρατέον ὁμοίως εἰπεῖν. ὡραῖα δὴ τέμνεσθαι τῶν ξύλων τὰ μὲν οὖν στρογγύλα καὶ ὅσα πρὸς φλοϊσμὸν ὅταν βλαστάνῃ· τότε γὰρ εὐπεριαίρετος ὁ φλοιὸς, ὃ δὴ καλοῦσι λοπᾶν, διὰ τὴν ὑγρότητα τὴν ὑπογινομένην αὐτῷ. μετὰ δὲ ταῦτα δυςπεριαίρετος καὶ τὸ ξύλον μέλαν γίνεται καὶ δυςειδές. τὰ δὲ τετράγωνα μετὰ τὸν λοπητόν· ἀφαιρεῖται γὰρ ἡ πελέκησις τὴν δυςείδειαν. ὅλως πᾶν πρὸς ἰσχὺν ὡραιότατον οὐ μόνον πεπαυμένον τῆς βλαστήσεως ἀλλ' ἔτι μᾶλλον ἐκπεπᾶναν τὸν καρπόν. ἀλλὰ διὰ τὸν φλοϊσμὸν ἀώροις οὖσιν ὡραίοις συμβαίνει γίνεσθαι τοῖς στρογγύλοις ὥστε ἐναντίαι αἱ ὧραι κατὰ συμβεβηκός. εὐχρούστερα δὲ τὰ ἐλάτινα γίνεται κατὰ τὸν πρῶτον
2. λοπητόν. ἐπεὶ δὲ μάλιστ' ἢ μόνον περιαιροῦσι τὸν φλοιὸν ἐλάτης πεύκης πίτυος, ταῦτα μὲν τέμνεται τοῦ ἦρος· τότε γὰρ ἡ βλάστησις· τὰ δὲ ἄλλα ὁτὲ μὲν μετὰ πυροτομίαν ὁτὲ δὲ μετὰ τρυγητὸν καὶ ἀρκτοῦρον οἷον ἀρία πτελέα σφέν-

Cap. I.

καὶ πόθ'] *καὶ* om. H. St.

τῶν ξύλων τὰ μὲν οὖν στρ.] UMV Sch.; *ξύλα τὰ μὲν στρ.* Ald. H. St.

φλοϊσμὸν] Sch.; *φλοισμὸν* Ald. Edd.; *φλοιοσμὸν* M.

λοπᾷν] mBas. Sch.; *turgere* G.; *λοπίαν* UMV Ald.; *λιπᾷν* H. St. Vide ad 3, 5, 1.

δυςπεριαίρετος] dedi de conj. Schneideri; *δυςπερικάθαρτος* Ald. Edd. o.; *δυςπερικαθαίρετος* conj. H. Steph. Thes.

τὸν λοπητὸν] UM mBas. Sch.; *post turgorem* G.; *τῶν λοπητῶν* V Ald.; *τῶν λοπετῶν* P; *τὸν κοπητὸν* mBas.; *τὸν λιπητὸν* H. St.

δυςείδειαν] U sine accentu; *δυςειδίαν* Ald. Edd. o.

ὅλως πᾶν] UMV; *ὅλως δὲ πᾶν* Ald. Edd. o. — Post *πᾶν* addit *ξύλον* i. u. St.

ἐκπεπᾶναν] U Sch.syll.: *ἐκπεπάνον* MV; *ἐκπεπαῖνον* Ald. H. St.; *cum fructum percoxerit* G.; *ἐκπεπάναν* Sch.cont.

ἀώροις οὖσιν] *ἀωέροις ὦσιν* V.

λοπητὸν] UMV Sch.; *turgorem* G.; *κοπητὸν* Ald. H.; *λιπητὸν* St.

2. *ἐπεὶ δὲ μαλ.*] Ald. Edd. o.; *ἐπεὶ καὶ μαλ.* MV.

μάλιστ' ἢ μόνον] dedi auctore Sch., qui *μάλιστα ἢ μόνον* scripsit; *ἢ* om. Ald. Edd.; *μάλιστα ἢ μόνον οὐ περ.* St. *Nam et corticem abietis tamen et pini et laricis potissimo detrahunt* G.

πεύκης] UP G. mBas. Sch. i. u.; om. Ald. H. St.

ὁτὲ μὲν — ὁτὲ δὲ] Ald. Edd. o.; *ὅταν μὲν — ὅταν δὲ* UMV.

δαμνος μελία ζυγία ὀξύα φίλυρα φηγός τε καὶ ὅλως ὅσα κατορύττεται· δρῦς δὲ ὀψιαίτατα κατὰ χειμῶνα μετὰ τὸ μετόπωρον· ἐὰν δὲ ὑπὸ τὸν λοπητὸν τμηθῇ σήπεται τάχιστα ὡς εἰπεῖν, ἐάν τε ἔμφλοιος ἐάν τε ἄφλοιος· καὶ μάλιστα μὲν τὰ ἐν τῷ πρώτῳ λοπητῷ, δεύτερα δὲ τὰ ἐν τῷ δευτέρῳ, τρίτα δὲ καὶ ἥκιστα τὰ ἐν τῷ τρίτῳ· τὰ δὲ μετὰ τὴν πέπανσιν τῶν καρπῶν ἄβρωτα διαμένει κἂν ἀλόπιστα ᾖ· πλὴν ὑπὸ τὸν φλοιὸν ὑποδυόμενοι σκώληκες ἐπιπολῆς ἐγγράφουσι τὸ στέλεχος, οἷς καὶ σφραγῖσι χρῶνταί τινες. ὡραῖον δὲ τμηθὲν τὸ δρύϊνον ἀσαπές τε καὶ ἀθριπηδέστατον γίνεται καὶ σκληρὸν καὶ πυκνὸν ὥςπερ κέρας· πᾶν γὰρ ὅμοιόν ἐστιν ἐγκαρδίῳ· πλὴν τό γε τῆς ἁλιφλοίου καὶ τότε φαῦλον. συμβαίνει 3.
δὲ καὶ τοῦτο ὑπεναντίον ὅταν τε κατὰ τὴν βλάστησιν τέμνωνται καὶ ὅταν μετὰ τοὺς καρπούς· τότε μὲν γὰρ ἀναξηραίνεται τὰ στελέχη καὶ οὐ παραβλαστάνει τὰ δένδρα· μετὰ δὲ τοὺς καρποὺς παραβλαστάνει. δυστομώτερα δὲ διὰ τὴν σκληρότητα κατὰ ταύτην τὴν ὥραν. κελεύουσι δὲ καὶ δεδυκυίας τῆς σελήνης τέμνειν ὡς σκληροτέρων καὶ ἀσαπεστέρων γινομένων. ἐπεὶ δὲ αἱ πέψεις τῶν καρπῶν παραλλάττουσι δῆλον ὅτι καὶ αἱ ἀκμαὶ πρὸς τὴν τομὴν παραλλάττουσιν· ἀεὶ γὰρ ὀψιαίτεραι τῶν ὀψικαρποτέρων. δι' ὃ καὶ πειρῶνταί τινες ὁρίζειν καθ' 4.
ἑκάστην· οἷον πεύκην μὲν καὶ ἐλάτην ὅταν ὑπολοπῶσιν· ἔτι δὲ ὀξύαν καὶ φίλυραν καὶ σφένδαμνον καὶ ζυγίαν τῆς ὀπώρας· δρῦν δὲ ὥςπερ εἴρηται μετὰ τὸ φθινόπωρον. φασὶ δέ τινες ταύτην ὡραίαν εἶναι τοῦ ἦρος ὅταν γε ἔχῃ τὴν καλουμένην κάχρυν, καὶ τὴν πίτυν ὅταν ὁ βότρυς αὐτῆς ἀνθῇ. ποῖα μὲν οὖν ὡραῖα καθ' ἕκαστον χρόνον οὕτω διαιροῦνται. πάντων δὲ δῆλον ὅτι βελτίω τὰ τῶν ἀκμαζόντων δένδρων ἢ τῶν νέων κομιδῇ καὶ γεγηρακότων· τὰ μὲν γὰρ

σφένδαμνος] *σφένδαμνον* P.
ὀξύα] *ὀξία* P.
φηγός τε] conj. Scalig. St. Schn.; *πηγός τε* U; *φηγόσιν τε* V; *πηγόσιν τε* M Ald.; omisit G.; *φηγίς τε* H. Cf. 3, 3, 1. Schneid. in Syll. *πηγός τε* ex Urb. scribi jubet, nomen vero non explicuit. — Dein *ὅλος* St.
κατορύττεται] corr. Sch.; *ὀρύττεται* Ald. Edd.; *quae aptae obrui sunt* G. Scalig. comparat *τὰ κατὰ γῆς κατορυττόμενα* cap. 7, 5; vide quoque c. 4, 3.
δρῦς] corr. Sch.; *δρυὸς* Ald. Edd.
τὸν λοπητὸν] UM Sch.; *τῶν λοπητῶν* V; *τὸν λοπετὸν* Ald.; *λιπητὸν* H. St.
σήπεται] *σήπτεται* UM.
λοπητῷ] UMV Ald. Sch.; *λιπητῷ* H. St.; *λοπετῷ* P.
καὶ ἥκιστα] U Sch.syll,; om. Ald. Edd. o.
ἀλόπιστα] *ἀλλόπιστα* P.
καὶ σκληρὸν] *καὶ* om. H.; *σκληρὸν δὲ* St.
τό γε τῆς] Ald. Edd.; *τό τε τῆς* U; *τότε τῆς* V.
καὶ τότε] *καὶ γὰρ τόγε* St. puncto anteposito.
3. *ὑπεναντίον*] V; *ὑπεναντίως* Ald. Edd. o.
κατὰ] *μετὰ* P.
τέμνωνται] A. et Edd. praeter mBas. quae *τέμνονται* dat.
τότε μὲν γὰρ ἀναξ.] P, Sch. de conj.; *ὅτε μὲν γὰρ ἀναξ.* UMV; *τότε μὲν ἀναξ.* Ald. H. St.
οὐ παραβλαστάνει] Ald. Edd.; *οὐ βλαστάνει* M.
κατὰ ταύτην] corr. St.; *καὶ τ.* Ald. H.; *καὶ* uncis seclusit Sch.
4. *δι' ὃ καὶ*] U, Sch. e conject.; *δι' ὧν καὶ* Ald. H. St.
ἑκάστην] V Sch.syll.; *ἕκαστον* Ald. Edd.; *ἕκαστον* [*χρόνον*] Sch.cont. Mihi non *ὥραν*, multo minus *ἀκμὴν* ut Schn. vult, sed *ὕλην* supplendum esse videtur.
ὑπολοπῶσιν] corr. Sch. syll.; *εἰ πελειν εἶσι* U; *ὑπελειννεισιν* MV; *ὑπελινῶσιν* Ald.; *ὑπολιπῶσιν* H. St. Sch. — Paulo ante *πεύκην* UP mBas., G. St. Sch.; *λεύκην* Ald. H.
τῆς ὀπ.] *τε ὀπ.* MV.
ταύτην ὡρ.] em. St. Sch.; *καὶ τὴν ὠ.* Ald. H.
αὐτῆς ἀνθῇ] U Ald. Sch.; *αὐτῆς* om. H. St.
καὶ γεγηρ.] Ald. H. St.; *ἢ γεγηρ.* Sch. de conj.

5. ὑδατώδη τὰ δὲ γεώδη. πλείστας δὲ χρείας καὶ μεγίστας ἡ ἐλάτη καὶ ἡ πεύκη
2 H. St. παρέχονται καὶ ταῦτα κάλλιστα καὶ μέγιστα τῶν ξύλων ἐστί. διαφέρουσι δὲ ἀλλήλων ἐν πολλοῖς· ἡ μὲν γὰρ πεύκη σαρκωδεστέρα τε καὶ ὀλιγόϊνος· ἡ δ' ἐλάτη καὶ πολύϊνος καὶ ἄσαρκος, ὥστε ἐναντίως ἑκάτερον ἔχειν τῶν μερῶν, τὰς μὲν ἶνας ἰσχυρὰς τὴν δὲ σάρκα μαλακὴν καὶ μανήν· δι' ὃ τὸ μὲν βάρυ τὸ δὲ κοῦ-
6. φον· τὸ μὲν γὰρ ἔνδαδον τὸ δὲ ἄδαδον ᾗ καὶ λευκότερον. ἔχει δὲ καὶ ὄζους πλείους μὲν ἡ πεύκη σκληροτέρους δὲ ἡ ἐλάτη πολλῷ, μᾶλλον δὲ καὶ σκληροτάτους πάντων· ἄμφω δὲ πυκνοὺς καὶ κερατώδεις καὶ τῷ χρώματι ξανθοὺς καὶ δαδώδεις. ὅταν δὲ τμηθῶσι ῥεῖ καὶ ἐκ τῶν τῆς ἐλάτης καὶ ἐκ τῶν τῆς πεύκης ἐπὶ πολὺν χρόνον ὑγρότης καὶ μᾶλλον ἐκ τῶν τῆς ἐλάτης. ἔστι δὲ καὶ πολύλοπον ἡ ἐλάτη καθάπερ καὶ τὸ κρόμυον· ἀεὶ γὰρ ἔχει τινὰ ὑποκάτω τοῦ φαινομένου
7. καὶ ἐκ τοιούτων ἡ ὅλη. δι' ὃ καὶ τὰς κώπας ξύοντες ἀφαιρεῖν πειρῶνται καθ' ἕνα καὶ ὁμαλῶς· ἐὰν γὰρ οὕτως ἀφαιρῶσιν ἰσχυρὸς ὁ κωπεών, ἐὰν δὲ παραλλάξωσι καὶ μὴ κατασπῶσιν ὁμοίως, ἀσθενής· πληγὴ γὰρ οὕτως ἐκείνως δ' ἀφαίρεσις. ἔστι δὲ καὶ μακρότατον ἡ ἐλάτη καὶ ὀρθοφυέστατον. δι' ὃ καὶ τὰς κεραίας καὶ τοὺς ἱστοὺς ἐκ ταύτης ποιοῦσιν. ἔχει δὲ καὶ τὰς φλέβας καὶ τὰς
8. ἶνας εὐγενεστάτας πάντων. αὐξάνεται δὲ πρῶτον εἰς μῆκος ἄχρι οὗ δὴ ἐφίκηται τοῦ ἡλίου· καὶ οὔτε ὄζος οὐδεὶς οὔτε παραβλάστησις οὔτε πάχος γίνεται· μετὰ δὲ ταῦτα εἰς βάθος καὶ πάχος ὅταν αἱ τῶν ὄζων ἐκφύσεις καὶ παραβλαστήσεις. ταῦτα μὲν οὖν ἴδια τῆς ἐλάτης, τὰ δὲ κοινὰ καὶ πεύκης καὶ ἐλά-
9. της καὶ τῶν ἄλλων. ἔστι γὰρ ἡ μὲν τετράξοος ἡ δὲ δίξοος. καλοῦσι δὲ

5. *ταῦτα καλλ.*] corr. Sch.; *harum* G.; *αὐτὰ* Ald. H. St.

ὀλιγόϊνος] Ald. Edd. o.; *ὀλίγονος* UMV; *ὀλιγόγονος* P. Praeterea *τε* om. MV.

πολύϊνος] *πολύγονος* P.

ἔχειν] MV; *ἔχει* Ald. Edd. o.

τὰς μὲν ἶνας] UMV; *τὰς μὲν γὰρ ἶνας* Ald. Edd. o.

τὸ μὲν γὰρ ἔνδαδον] corr. St. et Sch. cum G. *altera enim teda referta est*; *ἔνδαδον γὰρ* Ald. H.

ᾗ καὶ λ.] P, Sch. de conj.; *ἢ καὶ λ.* Ald. H. St.; *atque ob id etiam est albior* G.

6. *πλείους*] bis scriptum est in V.

ὑγρότης] Ald. H.; *ἡ ὑγρ.* St. Sch.

κρόμυον] Ald.; *κρόμμυον* P_2.

6. *καὶ τὰς κώπας*] UMV Ald. Sch.syll.; *καὶ οἱ τ. κ.* H. St.; *καὶ οἱ τοὺς κωπέας.* Sch.

κωπεὼν] P, Sch. de conj.; *κοπέων* Ald. Edd.

κατασπῶσιν] dedi de conjectura; *κατὰ πᾶσιν* UMV; *κατὰ πάντα* Ald. Edd. o.

ἀσθενὴς] UMVP Scal. Sch.; *infirmus* G.; *εὐσθενὴς* Ald. H. St.

εὐγενεστάτας] Ald. Edd., quod absque dubio vitiosum. Coraius conj. *εὐτενεστάτας*. Mihi *ἐμφανεστάτας* praestare videtur.

8. *αὐξάνεται δὲ πρ.*] corr. Sch.syll.; *αὐξ. καὶ πρ.* U Ald. H. St.; *crescit haec primum* G.

ἄχρι — ἐφίκηται] Sch.syll.; *ἄχρι οὗ δὴ κἀφίκηται* U; *ἄχρις οὐκ ἀφίκηται* MV; *ἄχρις οὗ ἀφ.* Ald. H. St.; *ἄχρις οὗ ἐφίκ.* Sch.cont.: *quoad libere solem accipiat* G.

οὔτε ὄζος] MVP Sch.; *οὔτε* om. Ald. Edd.

ὅταν αἱ — παραβλαστήσεις] scil. *γίγνωνται*. Sic dedi e conjectura. *οὕτως αἱ — π.* Ald. H.; *οὕτως αἱ — π.* [*ἐφέπονται*] Sch.; *οὕτως δὲ αἱ — π.* St.; *atque ita ramorum exortus laterales germinationes secuntur* G.

καὶ πεύκης] Ald. Edd.; *τῆς πεύκης* Sch. Paulo ante *τὰ δ' ἐστι* St.

ἐλάτης καὶ τῶν ἄλλων] U Sch.; *et abieti et aliis communia* G.; *ἐλάτης καὶ τῶν ἐλάτων καὶ ἄλλων* Ald. H. St. Ad *τῶν ἄλλων* subaudias *τῶν ὕλην παρεχόντων δένδρων*. Exc. P_2: *ὅτι τῆς μὲν πεύκης καὶ ἐλάτης τῶν ἄλλων τὰ μὲν τρίξοα τὰ δὲ τετράξοα.*

9. *τετράξοος — δίξοος*] St. Sch.; *τετράζοος — δίζοος* Ald. B. Cam.; *τετράξοος — δίζοος* H. In Par. *τετράζοος* et *δίζοος* a m. p., correctum a m. sec. in *τετράξοος — δίξοος*. — Vide H. Steph. Thes. sub *διόζος*.

τετραξόους μὲν ὅσαις ἐφ' ἑκάτερα τῆς ἐντεριώνης δύο κτηδόνες εἰσὶν ἐναντίαν
ἔχουσαι τὴν φύσιν· ἔπειτα καθ' ἑκατέραν τὴν κτηδόνα ποιοῦνται τὴν πελέκη-
σιν ἐναντίας τὰς πληγὰς κατὰ κτηδόνα φέροντες ὅταν ἐφ' ἑκάτερα τῆς ἐντερι-
ώνης ἡ πελέκησις ἀναστρέφῃ. τοῦτο γὰρ ἐξ ἀνάγκης συμβαίνει διὰ τὴν φύσιν
τῶν κτηδόνων. τὰς δὲ τοιαύτας ἐλάτας καὶ πεύκας τετραξόους καλοῦσι. εἰσὶ
δὲ καὶ πρὸς τὰς ἐργασίας αὗται κάλλισται· πυκνότατα γὰρ ἔχουσι τὰ ξύλα καὶ
τὰς αἰγίδας αὗται φύουσιν. αἱ δίξοοι δὲ κτηδόνα μὲν ἔχουσι μίαν ἐφ' ἑκάτερα 10.
τῆς ἐντεριώνης ταύτας δὲ ἐναντίας ἀλλήλαις ὥστε καὶ τὴν πελέκησιν εἶναι δι-
πλῆν μίαν καθ' ἑκατέραν κτηδόνα ταῖς πληγαῖς ἐναντίαις· ἁπαλώτατα μὲν οὖν
ταῦτά φασιν ἔχειν τὰ ξύλα, χείριστα δὲ πρὸς τὰς ἐργασίας· διαστρέφεται γὰρ
μάλιστα. μονοξόους δὲ καλοῦσι τὰς ἐχούσας μίαν μόνον κτηδόνα· τὴν δὲ πελέ-
κησιν αὐτῶν γίνεσθαι τὴν αὐτὴν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης· φασὶ δὲ μανότατα
μὲν ἔχειν τῇ φύσει τὰ ξύλα ταῦτα πρὸς δὲ τὰς διαστροφὰς ἀσφαλέστατα. δια- 11.
φορὰς δὲ ἔχουσι τοῖς φλοιοῖς καθ' ἃς γνωρίζουσιν ἰδόντες εὐθὺς τὸ δένδρον
πεφυκὸς ποῖόν τί ἐστι· τῶν μὲν γὰρ εὐκτηδόνων καὶ ἀστραβῶν καὶ ὁ φλοιὸς
λεῖος καὶ ὀρθὸς τῶν δ' ἐναντίων τραχύς τε καὶ διεστραμμένος· ὁμοίως δὲ καὶ
ἐπὶ τῶν λοιπῶν. ἀλλ' ἔστι τετράξοα μὲν ὀλίγα μονόξοα δὲ πλείω τῶν ἄλλων.
ἅπασα δὲ ἡ ὕλη μείζων καὶ ὀρθοτέρα καὶ ἀστραβεστέρα καὶ στιφροτέρα καὶ
ὅλως καλλίων καὶ πλείων ἡ ἐν τοῖς προςβορείοις ὥςπερ καὶ πρότερον ἐλέχθη·
καὶ αὐτοῦ τοῦ δένδρου δὲ τὰ πρὸς βορρᾶν πυκνότερα καὶ νεανικώτερα. ὅσα δὲ

τετραξόους μὲν] P2 H. St. Sch.; *τετραζόους μ.* Ald. Bas. Cam.

καθ' ἑκατέραν] corr. mB. St. Sch.; *atque per utrumque cursum adigunt ictus* G.; *καθ' ἑτέραν* P2 Ald. H. Ceterum de significatione et origine verbi *κτηδὼν* multa undequaque congesta attulit Schneider, sed ab ipsius rei explanatione abstinuit.

τετραξόους] P2 Ald. Cam. H. St Sch.; *τετραζώους* V; *τετραζόους* Bas.

αὗται φύουσιν· αἱ δίξοοιδὲ] H. St. Sch.; *αὗται· φύουσι δὲ· αἱ διζόοι δὲ* Ald.; *αὗται φύουσιν δὲ αἱ δίξοοι δὲ* UMV; *αὗται· αἱ δίξοοι δὲ* P2.

10. *μίαν κ.*] de conj.; *μίαν δὲ κ.* P2 Ald. H. St.; *μίαν μὲν κ.* Sch., qui deinceps *ταῖς πληγαῖς δ' ἐναντίαις* scribere voluit sed *δὲ* in cont. omisit.

ἐναντίαις] St. Sch.; *ἐναντίας* P2 Ald. H.; *simplex per utrumque cursum ictu contrario* G.

ἁπαλώτατα] P2 de conj. Sch.; *ἁπαλότητα* Ald. Edd.

μονοξόους] Ald. H. St. Sch.; *μονοζόους* MV Bas. Cam. — Deinceps *τὰς* om. St.

τὴν δὲ πελ.] Ald. Edd.; *δὲ* om. UMP2. — Post *αὐτῶν* addit i. u. *φασὶ* St.

μανότατα] sic correxi concinnitatis causa. *μανότητα* Ald. Edd. o.

τὰ ξύλα ταῦτα, πρὸς δὲ τὰς] corr. Sch.; *τὰ ξύλα· ταῦτα δὲ πρὸς τὰς* Ald. H.; *τινὰ ξύλα· ταῦτα δὲ πρὸς τὰς* St.

11. *ἰδόντες*] Ald. H. St.; Schn. in Comm. scribit: „Vind. *οἴδοντες*, Med. *οἱ δόντες*· unde *οἱ ἰδόντες* effeci," et sic dedit in contextu. Idem in Auctar. var. lect. „*οἱ ἰδόντες* U non habet cum MV." Alterutrum falsum esse oportet. Suspicor scribere voluisse in Auct. *οἱ* ante *ἰδόντες* U non habet. In Syllabo nihil correxit. Ceterum *οἱ* non recte addidit Schn.; conjungenda enim *ἰδόντες εὐθὺς* i. e. primo obtutu, vel *ubi primum arborem viderunt,* ut G. habet.

ὁμοίως δὲ] UMP Sch.; *δὲ* om. Ald. H. St.

τετράξοα — μονόξοα] Ald. Cam. H. St. Sch.; *τετράζοα — μονόζοα* Bas.; *τετράζοα — μονόζωα* V; *τετράζωα — μονόζωα* M.

στιφρότερα] UMV; *στριφνότερα* Ald.; *στρυφνότερα* H. St. Sch. Vide Ruhnk. ad Timae. p. 237 cujus dictum confirmant codices Theophr. 3, 11, 4. C. 3, 7, 2. C. 3, 17, 8.

δένδρου δὲ] U Sch.syll.; *δένδρου δὴ* Ald. Edd.

ὑποπαράβορρα καὶ ἐν περίπνῳ ταῦτα στρέφει καὶ παραλλάττει παρὰ μικρὸν ὁ
12. βορέας ὥστε εἶναι παρεστραμμένην αὐτῶν τὴν μήτραν καὶ οὐ κατ' ὀρθόν. ἔστι δὲ ὅλα μὲν τὰ τοιαῦτα ἰσχυρὰ τμηθέντα δὲ ἀσθενῆ διὰ τὸ πολλὰς ἔχειν παραλλαγάς. καλοῦσι δὲ οἱ τέκτονες ἐπίτομα ταῦτα διὰ τὸ πρὸς τὴν χρείαν οὕτω
3 H. St. τέμνειν. ὅλως δὲ χείρω τὰ ἐκ τῶν ἐφύγρων καὶ εὐδιεινῶν καὶ παλισκίων καὶ συνηρεφῶν καὶ πρὸς τὴν τεκτονικὴν χρείαν καὶ πρὸς τὴν πυρευτικήν. αἱ μὲν οὖν τοιαῦται διαφοραὶ πρὸς τοὺς τόπους εἰσὶν αὐτῶν τῶν ὁμογενῶν ὥς γε ἁπλῶς εἰπεῖν.

Cap. II. Διαιροῦσι γάρ τινες κατὰ τὰς χώρας καί φασιν ἀρίστην μὲν εἶναι τῆς ὕλης πρὸς τὴν τεκτονικὴν χρείαν τῆς εἰς τὴν Ἑλλάδα παραγινομένης τὴν μακεδονικήν· λεία τε γάρ ἐστι καὶ ἀστραβὴς καὶ ἔχουσα θυῖον. δευτέραν δὲ τὴν ποντικήν, τρίτην δὲ τὴν ἀπὸ τοῦ Ῥυνδάκου, τετάρτην δὲ τὴν αἰνιανικήν· χειρίστην δὲ τήν τε παρνασιακὴν καὶ τὴν εὐβοϊκήν· καὶ γὰρ ὀζώδεις καὶ τρα-
2. χείας καὶ ταχὺ σήπεσθαι. περὶ δὲ τῆς ἀρκαδικῆς σκεπτέον. ἰσχυρότατα δὲ τῶν ξύλων ἐστὶ τὰ ἄοζα καὶ λεῖα· καὶ τῇ ὄψει δὲ ταῦτα κάλλιστα. ὀζώδη δὲ γίνεται τὰ κακοτροφηθέντα καὶ ἤτοι χειμῶνι πιεσθέντα ἢ καὶ ἄλλῳ τινὶ τοιούτῳ· τὸ γὰρ ὅλον τὴν πολυοζίαν εἶναι ἔνδειαν εὐτροφίας. ὅταν δὲ κακοτροφήσαντα ἀναλάβῃ πάλιν καὶ εὐσθενήσῃ συμβαίνει καταπίνεσθαι τοὺς ὄζους ὑπὸ τῆς περιφύσεως· εὐτροφοῦν γὰρ καὶ αὐξανόμενον ἀναλαμβάνει καὶ πολλάκις ἔξωθεν μὲν λεῖον τὸ ξύλον διαιρούμενον δὲ ὀζῶδες ἐφάνη. δι' ὃ καὶ σκοποῦνται τῶν σχιστῶν τὰς μήτρας· ἐὰν γὰρ αὗται ἔχωσιν ὄζους, ὀζώδη καὶ τὰ ἐκτός·

ὑποπαράβορρα] St. Sch.; *ὑπὸ παράβορρα* Ald. Schn. suspicatur *ὑπόβορρα ἢ παράβορρα* scriptum fuisse.

καὶ ἐν π.] U; *ἢ ἐν π.* Ald. Edd. o.

στρέφει] *στέφει* UM.

παραλλάττει] conj. Dalec. Sch.syll.; *παραλλαγει* U; *παραλήγει* Ald. Edd.; *παραλυγίζει* conj. H. Steph.

12. *ἐπίτομα*] U, conj. Scalig. cod. Casaub. H. St. Sch.; *brevia* G.; *ἐπίτοκα* V Ald.; *ἐπὶ τόκα* M.; *ἐπὶ τὸ κατὰ* P; *ἐπίκοπα* conj. H. Steph. in Thes.

χείρω τὰ] *ξύλα* i. u. add. St. — Deinceps *ἐκ καὶ ἐφυγρῶν* cum Cam. H. St.

εὐδιεινῶν] P_2 Edd. post H.; *εὐδινῶν* U MV Ald. — *πολισκίων* V.

καὶ συνηρεφῶν] UMVP_2 Sch.; *καὶ τῶν συνηρεφῶν* Ald. Edd. Ceterum *συνερεφῶν* M. *συνιρεφῶν* V.

ὥς γε ἁπλῶς] Sch.syll.; *ὡς δὲ ἁ.* Ald. H. St.; *ὡς ἁπλῶς* Sch. cont. — Paulo ante *εἰσὶν* om. St.

Cap. II.

γάρ τινες] Ald. Edd.; *δέ τινες* Schn.; *δὲ καὶ* P_2.

τῆς — παραγινομένης] UMV Sch.; *τῆς — παραγενομένης* P_2; *τὴν — παραγινομένην* Ald. H. St.

θυῖον] de corr. Scalig. Sch.syll.; *θύϊον τι* St.; *τύϊον* P_2 Ald. H. Recte de hoc loco Sch. judicare videtur in indice s. v. *θύια*. *ἔχουσα θυῖον continens resinam*: videtur enim *θυῖον* resinam illam odoratam, quae plurium arborum coniferarum propria est, significare. Hac autem lignum validum effici, quia antiseptica est, notum; idque Theophrastum dicere voluisse videmus e membro opposito *καὶ ταχὺ σήπεσθαι*.

ἀπὸ τοῦ Ῥυνδάκου] *ἀπορυν* (superscr. *δη*) P_2.

αἰνιανικὴν] corr. Palmer. Ex., Harduin ad Plin. 16, 39, Sch.; *αἰανικὴν* P_2 Ald. H. St. — Dein *παρνασσιακὴν — εὐοϊκὴν* P_2.

2. *ταῦτα κάλλιστα· ὀζώδη δὲ*] corr. Scal. Sch.; *ταῦτα καὶ μάλιστα ὀζώδη γιν.* Ald. H.; *ταῦτα κάλλιστα· καὶ μάλιστα ὀζώδη γιν.* St.; *ταῦτα μάλιστα· ὀζώδης δὲ γιν.* U. *κάλλιστα* adnotatur etiam e Vo. Commate *καὶ — κάλλιστα* omisso, *ὀζώδη δὲ* pergit P_2.

κακοτροφηθέντα] U mBas. St. Sch.; *κακοστροφ.* Ald. H.; *τά τε κακοτροφ.* P_2; *male adulta* G.

ἔνδειαν] *δι' ἔνδειαν* St.

καὶ οὗτοι χαλεπώτεροι τῶν ἐκτὸς καὶ φανεροί. γίνονται δὲ καὶ αἱ σπεῖραι διὰ 3.
χειμῶνας τε καὶ κακοτροφίαν. σπείρας δὲ καλοῦσιν ὅταν ᾖ συστροφή τις ἐν
αὐτῇ μείζων καὶ κύκλοις περιεχομένη πλείοσιν οὐθ᾽ ὥσπερ ὁ ὄζος ἁπλῶς οὐθ᾽
ὡς ἡ οὐλότης ἡ ἐν αὐτῷ τῷ ξύλῳ· δι᾽ ὅλου γάρ πως αὕτη καὶ ὁμαλίζουσα·
χαλεπώτερον δὲ τοῦτο πολὺ καὶ δυσεργότερον τῶν ὄζων. ἔοικε δὲ παραπλη-
σίως καὶ ὡς ἐν τοῖς λίθοις ἐγγίνεσθαι τὰ καλούμενα κέντρα. ὅτι δ᾽ ἡ περίφυ-
σις καταλαμβάνει τοὺς ὄζους φανερώτατον ἐξ αὐτῆς τῆς αἰσθήσεως οὐ μὴν
ἀλλὰ καὶ ἐκ τῶν ἄλλων τῶν ὁμοίων· πολλάκις γὰρ αὐτοῦ τοῦ δένδρου μέρος 4.
τι συνελήφθη ὑπὸ θατέρου συμφυοῦς γενομένου· καὶ ἐάν τις ἐκγλύψας θῇ λί-
θον εἰς τὸ δένδρον ἢ καὶ ἄλλο τι τοιοῦτον κατακρύπτεται περιληφθὲν ὑπὸ τῆς
περιφύσεως· ὅπερ καὶ περὶ τὸν κότινον συνέβη τὸν ἐν Μεγάροις τὸν ἐν τῇ
ἀγορᾷ· οὗ καὶ ἐκκοπέντος λόγιον ἦν ἁλῶναι καὶ διαρπασθῆναι τὴν πόλιν· ὅπερ
ἐγένετο . . . Δημήτριος. ἐν τούτῳ γὰρ διασχιζομένῳ κνημῖδες εὑρέθησαν καὶ
ἄλλ᾽ ἄττα τῆς ἀττικῆς κερμηστὶ ὅ ἐστιν ἐν κοτίνῳ· οὗ ἀνετέθη τὸ πρῶτον ἐγ-
κοιλανθέντος. τούτου δ᾽ ἔτι μικρὸν τὸ λοιπόν. πολλαχοῦ δὲ καὶ ἄλλοθι γίνε-
ται πλείονα τοιαῦτα. καὶ ταῦτα μὲν ὥσπερ εἴρηται κοινὰ πλειόνων.

CAP. III. Κατὰ δὲ τὰς ἰδίας ἑκάστου φύσεις αἱ τοιαῦταί εἰσι διαφοραί, οἷον 4. H. St.
πυκνότης μανότης βαρύτης κουφότης σκληρότης μαλακότης, ὡσαύτως δὲ καὶ

τὰ ἐκτὸς — καὶ φανεροὶ] sic U, qui supplementum quinque verborum praebet; *τὰ ἐκτὸς καὶ φανεροὶ* Ald.; *τὰ ἐκτὸς καὶ φανερῶς* H.; *τὰ ἐκτὸς καίπερ οὐ φανερῶς* St.; *τὰ ἐντὸς· καὶ φανερῶς δὲ γιν. κ.* Schn.cont.: *τὰ ἐντὸς· καὶ οὗτοι χαλεπώτεροι τῶν ἐκτὸς· καὶ φανερῶς δὲ γιν. κ.* Sch.syll. Ex. P2: *διαιρούμενον δὲ εὑρέθη ὀζῶδες. οὗτοι δὲ χαλεπώτεροι τῶν ἐκτός.* Si scriptum esset *πλὴν οὗτοι* verba integra praestiterim.

3. *κακοτροφίαν*] *κακοτροφίας* M.

καλοῦσιν] *καὶ καλοῦσιν* Cam.

ᾖ συστροφή] corr. Scalig. H. St. Sch.; *ᾗ εὐστροφὴ* U; *ἡ εὐτροφή* V; *ἢ εὐτροφή* M; *ᾖ εὐτραφῆ* Ald.; *εὐστροφή* P2; *στροφὴ* Vo. — Verba *ἐν αὐτῇ* om. G.

κύκλοις — ξύλῳ] Haec sic pessumdata exhibuit cum Cam. H.: *κύκλοις περιεχομένη οὐλότης ἡ πλείοσιν — οὐθ ὡς ἡ ἐν αὐτῷ τῷ ξύλῳ.* — Articul. ante *ὄζος* om. M., post *οὐλότης* om. St.

τῶν ὄζων] P2 e corr. Scal. H. St. Sch.; *τῶν αὄζων* UMV Ald.; *quam nodus* G.

καὶ ὡς ἐν] Schn. *ὡς* seclusit.

ὅτι δ᾽ ἡ] *ὅτι δὲ* Ald. H. St.; *ὅτι δὴ* UMV; *ὅτι δὲ ἡ* Sch.

4. *μέρος τι συν.*] H. St. Sch. cum cod. Cas., omisso *αὐτοῦ* quod post *τι* adjiciunt U MV Ald. Sed vide ne aliud verbum ibi fuerit in *αὐτοῦ* corruptum. An *ἀπὸ τυχῆς*? quo ducit et sententia et quod scribit Plinius 16, 39: *Et quaedam forte accidunt lapide comprehenso* etc.

ἐκγλύψας θῇ] correxi ex U, qui *ἐκλυψας θῆι* habet; Schn. in Syll. mavult *ἐγγλύψας θῇ*; *ἐκλιθασθῇ* Ald. H. St.; *ἐνθλάσῃ* Schn. cont.

Μεγάροις] Ald. Cam. H. St. Sch.; *μεγάραις* P2; *Μαγάραις* M.

ὅπερ] UMV Ald. Sch.syll.; *ὥςπερ* H. St. Sch. — Dein *περὶ τοῦ τὸν* M1.

Δημήτριος] Ald. et Sch., qui lacunae signum praeposuit; *ὑπὸ Δημητρίου* conj. Palmer. Ex. p. 599; *ἐπὶ Δημητρίου* St. Totus locus vitio gravi laborat.

διασχιζομένῳ] H. St. Sch.; *διασχιζομένων* Ald.

τῆς ἀττικῆς — κοτίνῳ] *κερμηστι* U, *κερμηστί* Ald.; *κερμαστὶ* M; *κερμάστων* V; *τ. ἀττικῆς ἐργασίας ἅ ἐστιν* St., a quo *ἐργασίας* recepit Sch.; *σκευασίας* conj. Scalig. Verba *ὅ ἐστιν ἐν κοτίνῳ* seclusit Sch. omissa a Gaza, qui *et alia quaedam Attici ritus: parte qua primum affixa fuere, ad ramorum ambitum concavata* vertit. Frustranea est opera partem hujus loci emendare, quem totum redintegrare non licet. Vide Plin. 16, 39.

ἀνετέθη] Ald. Edd.; *ἀνατεθῇ* UM.

ἐγκοιλανθέντος] U Sch.syll.; *ἐγκοιλαθέντος* PMV; *ἐγκοιλασθέντος* Ald. Edd. o.

CAP. III.

ἑκάστου] *ξύλου* add. St.

εἴ τις ἄλλη τοιαύτη· κοιναὶ δὲ ὁμοίως αὗται καὶ τῶν ἡμέρων καὶ τῶν ἀγρίων ὥστε περὶ πάντων λεκτέον. πυκνότατα μὲν οὖν δοκεῖ καὶ βαρύτατα πύξος εἶναι καὶ ἔβενος· οὐδὲ γὰρ οὐδ' ἐπὶ τοῦ ὕδατος ταῦτ' ἐπινεῖ. καὶ ἡ μὲν πύξος ὅλη τῆς δὲ ἐβένου ἡ μήτρα ἐν ᾗ καὶ ἡ τοῦ χρώματός ἐστι μελανία· τῶν δ' ἄλλων ὁ λωτός. πυκνὸν δὲ καὶ ἡ τῆς δρυὸς μήτρα ἣν καλοῦσι μελάνδρυον· καὶ
2. ἔτι μᾶλλον ἡ τοῦ κυτίσου· παρομοία γὰρ αὕτη δοκεῖ τῇ ἐβένῳ εἶναι. μέλαν δὲ σφόδρα καὶ πυκνὸν τὸ τῆς τερμίνθου· περὶ γοῦν Συρίαν μελάντερόν φασιν εἶναι τῆς ἐβένου· καὶ ἐκ τούτου γὰρ καὶ τὰς λαβὰς τῶν ἐγχειριδίων ποιεῖσθαι, τορνεύεσθαι δὲ ἐξ αὐτῶν καὶ κύλικας θηρικλείους, ὥστε μηδένα ἂν διαγνῶναι πρὸς τὰς κεραμέας· λαμβάνειν δὲ τὸ ἐγκάρδιον· δεῖν δὲ ἀλείφειν τὸ ξύλον· οὕτω γὰρ γίνεσθαι καὶ κάλλιον καὶ μελάντερον. εἶναι δὲ καὶ ἄλλο τι δένδρον ὃ ἅμα τῇ μελανίᾳ καὶ ποικιλίαν τινὰ ἔχει ὑπέρυθρον ὥστε εἶναι τὴν ὄψιν ὡσὰν ἐβένου ποικίλης· ποιεῖσθαι δ' ἐξ αὐτοῦ καὶ κλίνας καὶ δίφρους καὶ τὰ ἄλλα τὰ σπουδαζόμενα. τὸ δένδρον μέγα σφόδρα καὶ καλόφυλλον εἶναι ὅμοιον ταῖς
3. ἀπίοις. ταῦτα μὲν οὖν ἅμα τῇ μελανίᾳ καὶ πυκνότητα ἔχει. πυκνὸν δὲ καὶ ἡ σφένδαμνος καὶ ἡ ζυγία καὶ ὅλως πάντα τὰ οὖλα· καὶ ἡ ἐλάα δὲ καὶ ὁ κότινος, ἀλλὰ κραῦρα. μανὰ δὲ τῶν μὲν ἀγρίων καὶ ἐρεψίμων τὰ ἐλάτινα μάλιστα τῶν δ' ἄλλων τὰ ἄκτινα καὶ τὰ σύκινα καὶ τὰ τῆς μηλέας καὶ τὰ τῆς δάφνης. σκληρότατα δὲ τὰ δρύϊνα καὶ τὰ ζύγινα καὶ τὰ τῆς ἀρίας· καὶ γὰρ ὑποβρέχουσι ταῦτα πρὸς τὴν τρύπησιν μαλάξεως χάριν. μαλακὰ δὲ καθ' ὅλου μὲν τὰ μανὰ καὶ χαῦνα· τῶν δὲ σαρκωδῶν μάλιστα φίλυρα. δοκεῖ δὲ καὶ θερμότατον εἶναι τοῦτο· σημεῖον δὲ ὅτι μάλιστα ἀμβλύνει τὰ σιδήρια· τὴν γὰρ βαφὴν ἀνίησι
4. διὰ τὴν θερμότητα. θερμὸν δὲ καὶ κιττὸς καὶ δάφνη καὶ ὅλως ἐξ ὧν τὰ πυρεῖα

αὗται] *εἰσὶ* add. St.
πυκνότατα — βαρύτατα] Ald. Edd. o.: *πυκνοτάτη — βαρυτάτη* UM Sch.syll.
ἔβενος Ald. Edd. o.; *ἔβεννος* UP2P. — Dein *τοῦ δὲ ἐβέννου* P2.
πυκνὸν] *πυκνὸν δὲ καὶ ἡ δρῦς καὶ ἣν καλοῦσι μελάνδριον* P2; *spissa et roboris medulla: quod atrum cognominant* G.

2. *καὶ ἐκ τούτου*] UMV Sch.syll.; *καὶ* om. Ald. Edd.
τορνεύεσθαι] *πορνεύεσθαι* M.
μηδένα ἂν] conj.; *μηδ' ἂν ἕνα* cum Ald. ubi *μὴ δ' ἂν ἕνα* scriptum, H. Sch.; *μηδ' ἂν εἶναι* St. conjectura haud mala.
κεραμέας] *κραμέας* H.
λαμβάνειν] corr. H. St. Sch.; *λαμβάνει* MV Ald.
δεῖν δὲ] UMV Ald.; *δεῖν καὶ* H. St.; *δεῖν, καὶ* Sch.
ἔχει] UMV Ald. St. Sch.syll.; *ἔχειν* H. Sch.cont.
αὐτῶν] *αὐτοῦ* St.
τὰ σπ.] *τὰ* om. Bas.
δένδρον μ.] UMV; *δ. δὲ μ.* Ald. Edd. o. — *φασὶ* add. St.
καλόφυλλον] sic vel *καλλίφυλλον* scribendum est pro *καλλόφυλλον*, quod cum Ald. tenent Edd.
ταῖς ἀπ.] corr. Sch.syll.; *τοῖς ἀπ.* Ald. Edd. o.
πυκνότητα] *πυκνότατα* M.

3. *καὶ ἡ σφ.*] *καὶ* om. M.
οὖλα] *ἄλλα* P.
ἀλλὰ κραῦρα] corr. Sch.; *ἀλλὰ καὶ αὖρα* UMV Ald.; *ἀλλὰ καὶ καῦρα* H.; *ἀλλὰ δ' εἰσὶ κραῦρα* St.; om. G.
ἄκτινα] Ald. Edd.; *ακτηνα* U, *ἀκτηνὰ* M.
ζύγινα] corr. St. Sch.; *ζύγια* Ald. H.
ὑποβρέχουσι] corr. cum Harduino ad Plin. 16, 40 ut terebrari nisi madefactum non queat; *ἀποβρίθουσι* Ald. H.; *ἀποβρέχουσι* mBas. Scalig. St.; *ἐπιβρέχουσι* Schn.
καὶ χαῦνα] UMVP2 Sch.syll.; *καὶ τὰ χ.* Ald. Edd. o.
ἀμβλύνει] *ἀμβλῆναι* M1V.
σιδήρια] P2 Ald. Edd. o.; *σιδήρα* M2; *σίδηρα* M1V.

4. *δάφνη καὶ*] *δάφνη ον καὶ* V.
πυρεῖα] H. St. Sch.; *πυρὰ* UMV Ald.; *quibus facere ignaria solent* G.

γίνεται· Μενέστωρ δέ φησι καὶ συκάμινον. ψυχρότατα δὲ τὰ ἔνυδρα καὶ ὑδα-
τώδη. καὶ γλίσχρα δὲ τὰ ἰτέϊνα καὶ ἀμπέλινα, δι' ὃ καὶ τὰς ἀσπίδας ἐκ τού-
των ποιοῦσι· συμμύει γὰρ πληγέντα. κουφότερον δὲ τὸ τῆς ἰτέας, μανότερον
γάρ, δι' ὃ καὶ τούτῳ μᾶλλον χρῶνται. τὸ δὲ τῆς πλατάνου γλισχρότητα μὲν
ἔχει, φύσει δὲ ὑγρότερον τοῦτο καὶ τὸ τῆς πτελέας. σημεῖον δέ ἐστιν, μετὰ
τὴν τομὴν ὀρθὸν ὅταν σταθῇ πολὺ ὕδωρ ἀφίησι. τὸ δὲ τῆς συκαμίνου πυκνὸν
ἅμα καὶ γλίσχρον. ἔστι δὲ καὶ ἀστραβέστατον τὸ τῆς πτελέας, δι' ὃ καὶ τοὺς 5.
στροφεῖς τῶν θυρῶν ποιοῦσι πτελεΐνους· ἐὰν γὰρ οὗτοι μένωσι καὶ αἱ θύραι
μένουσιν ἀστραβεῖς, εἰ δὲ μὴ διαστρέφονται. ποιοῦσι δ' αὐτοὺς ἔμπαλιν τι-
θέντες τὰ ξύλα τό τε ἀπὸ τῆς ῥίζης καὶ τὸ ἀπὸ τοῦ φύλλου· καλοῦσι δὲ οἱ τέ-
κτονες τὸ ἀπὸ τοῦ φύλλου τὸ ἄνω· ἐναρμοσθέντα γὰρ ἀλλήλοις ἑκάτερον κω-
λύει πρὸς τὴν ὁρμὴν ἐναντίως ἔχον. εἰ δὲ ἔκειτο κατὰ φύσιν, οὗπερ ἡ ῥοπὴ
ἐνταῦθα πάντως ἂν ἦν ἡ φορά. τὰς δὲ θύρας οὐκ εὐθὺς συντελοῦσιν ἀλλὰ πή-
ξαντες ἐφιστᾶσι, κἄπειτα ὑστέρῳ οἱ δὲ τῷ τρίτῳ ἔτει συνετέλεσαν ἐὰν μᾶλλον
σπουδάζωσι· τοῦ μὲν γὰρ θέρους ἀναξηραινόμεναι διΐστανται τοῦ δὲ χειμῶνος
συμμύουσιν. αἴτιον δ' ὅτι τῆς ἐλάτης τὰ μανὰ καὶ σαρκώδη ἕλκει τὸν ἀέρα
ἔνικμον ὄντα. ὁ δὲ φοῖνιξ κοῦφος καὶ εὔεργος καὶ μαλακὸς ὥσπερ ὁ φελλὸς 6.
βελτίων δὲ τοῦ φελλοῦ ὅτι γλίσχρος· ἐκεῖνο δὲ θραυστόν. διὰ τοῦτο τὰ εἴδωλα
νῦν ἐκ τοῦ τῶν φοινίκων ποιοῦσι τὸν δὲ φελλὸν παρήκασι. τὰς ἶνας δὲ οὐ δι'
ὅλου ἔχει οὐδ' ἐπὶ πολὺ καὶ μακρὰς οὐδ' ὡσαύτως τῇ θέσει ἐγκειμένας πάσας
ἀλλὰ παντοδαπῶς. ἀναξηραίνεται δὲ καὶ λεαινόμενον καὶ πριόμενον τὸ ξύλον.
τὸ δὲ θύον, οἱ δὲ θύαν καλοῦσι, παρ' Ἄμμωνί τε γίνεται καὶ ἐν τῇ Κυρηναίᾳ, 7.5 H.St.

συκάμινον] UMVP Ald. Sch.; *συκάμινος* cum Cam. H. St.

καὶ ὑδατώδη] *καὶ γὰρ ὑδ.* St. Recte G.: *quae aquatiles aquosaeque sint.*

δὲ τὰ ἰτ.] UMVP2 Sch.syll.; *δὲ τά τε ἰτ.* Ald. H. Sch.cont.; *δὲ, ὡς τά τε ἰτ.* St. — Dein *συμμύειν* P2.

κουφότερον — μανότερον] Exc. P2: *ἐλαφροτάτη δ' ἡ ἰτέα, μανοτάτη γάρ.*

ἐστιν, μετὰ] *ὅτι* interseruit St. et i. u. Sch.

ὀρθὸν ὅταν] dedi de corr.; *ὀρθὸς ὅταν* MV; *ὅταν ὀρθὰ* Ald. Edd.; *erecta materies* G.

5. *τό τε ἀπὸ — φύλλου τὸ ἄνω*] sic U, qui octo verborum defectum supplet; *καλοῦσι — τοῦ* om. Ald.; *τό τε ἀπὸ τῆς ῥίζης ἄνω καὶ τὸ ἀπὸ τοῦ φύλλου τὸ κάτω* St.; *τό τε ἀπὸ τῆς ῥίζης ἄνω καὶ τὸ ἀπὸ τοῦ φύλλου* [*κάτω*] Sch. *Faciunt eos ligna permutantes quod radicem versus quodque in cacumine fuit* G.; *καλοῦσι — τὸ ἄνω* om. P2.

κωλύει] *θάτερον* i. u. addidit Sch.

εἰ δὲ ἔκειτο] sic correxi; *εἰ δὲ ἐκεῖνο,* Ald. Edd. o., quod quo referri possit non habet. Scalig. supplebat *διετέθη,* Schn. post *φύσιν* posuit i. u. *ἐτέθη.* Ad *ἔκειτο* intellige *τὰ ξύλα.*

οὗπερ] UMV; *ᾗπερ* Ald. Edd.

ἂν ἦν ἡ φορὰ] *ἦν* addidi cum Schn.; *ἂν εἴη ἡ φ.* St.; *ἂν ἡ φορὰ* Ald. H.; *ἂν ἡ φοραὶ* V. Nisi praestat *ἐνταῦθ' ἂν πάντως ἦν ἡ φ.*

ἐφιστᾶσι] UMV Sch.syll.; *ἀφεστᾶσι* Ald. H. St.; *ἀφιστᾶσι* Sch.cont.

ὑστέρῳ] *ὕστερον* Ald. H. Sch.; *ὕστερον, οἱ μὲν τῷ τρίτῳ οἱ δὲ τετάρτῳ ἔτει* St.

ἀναξηραινόμεναι] H. St. Sch.; *ἀναξηραινομένων* UMV Ald.

ὅτι τῆς ἐλάτης] *τῆς ἐλ.* om. G.; *ταῦτο· καὶ τῆς ἐλ.* St.

6. *εὔεργος*] *εὐε . . .* M.

τὸν δὲ φελλὸν] U Sch.syll.; *τοῦτο δὲ φαῦλον* MV; *τοῦτο δ' ὡς φαῦλον* Ald. Edd.; *spreta suberis materie ut incommoda* G.

7. *θύον*] M Ald. H. Sch.; *ἰθύον* U.; *θεῖον* V; *θυϊον* St.; *Tyium* G.

θύαν] MV Ald. Sch.; *θύιαν* H.; *θυΐαν* St.; *θυ^{αν}ι* P2.

γίνεται] *γίγνεται* M; *γίνεται* P2.

τὴν μὲν μορφὴν ὅμοιον κυπαρίττῳ καὶ τοῖς κλάδοις καὶ τοῖς φύλλοις καὶ τῷ στελέχει καὶ τῷ καρπῷ, μᾶλλον δ᾽ ὥςπερ κυπάριττος ἀγρία· πολὺ μὲν καὶ ὅπου νῦν ἡ πόλις ἐστὶ, καὶ ἔτι διαμνημονεύουσιν ὀροφάς τινας τῶν ἀρχαίων οὔσας. ἀσαπὲς γὰρ ὅλως τὸ ξύλον οὐλότατον δὲ τὴν ῥίζαν ἐστί· καὶ ἐκ ταύτης τὰ σπουδαιότατα ποιεῖται τῶν ἔργων. τὰ δὲ ἀγάλματα γλύφουσιν ἐκ τῶνδε, κέδρων κυπαρίττου λωτοῦ πύξου· τὰ δ᾽ ἐλάττω καὶ ἐκ τῶν ἐλαΐνων ῥιζῶν· ἀρραγεῖς γὰρ αὗται καὶ ὁμαλῶς πως σαρκώδεις. ταῦτα μὲν οὖν ἰδιότητά τινα τόπων καὶ φύσεως καὶ χρείας ἀποδηλοῖ.

Cap. IV. Βαρέα δὲ καὶ κοῦφα δῆλον ὡς τῇ πυκνότητι καὶ μανότητι καὶ ὑγρότητι καὶ ξηρότητι καὶ τῷ γλοιώδει καὶ σκληρότητι καὶ μαλακότητι ληπτέον. ἔνια μὲν οὖν ἅμα σκληρὰ καὶ βαρέα καθάπερ πύξος καὶ δρῦς· ὅσα δὲ κραῦρα καὶ τῇ ξηρότητι σκληρότατα ταῦτ᾽ οὐκ ἔχει βάρος. ἅπαντα δὲ τὰ ἄγρια τῶν ἡμέρων καὶ τὰ ἄρρενα τῶν θηλειῶν πυκνότερά τε καὶ σκληρότερα καὶ βαρύτερα καὶ τὸ ὅλον ἰσχυρότερα καθάπερ καὶ πρότερον εἴπομεν. ὡς δ᾽ ἐπὶ τὸ πᾶν καὶ τὰ ἀκαρπότερα τῶν καρπίμων καὶ τὰ χείρω τῶν καλλικαρποτέρων· εἰ μή που καρπιμώτερον τὸ ἄρρεν ὥςπερ ἄλλα τέ φασι καὶ τὴν κυπάριττον καὶ τὴν κρανείαν. ἀλλὰ τῶν γε ἀμπέλων φανερῶς αἱ ὀλιγοκαρπότεραι καὶ πυκνοφθαλμότεραι καὶ στερεώτεραι· καὶ μηλέων δὲ καὶ τῶν ἄλλων ἡμέρων.
2. ἀσαπῆ δὲ φύσει κυπάριττος κέδρος ἔβενος λωτὸς πύξος ἐλάα κότινος πεύκη ἔνδαδος ἀρία δρῦς καρύα εὐβοϊκή. τούτων δὲ χρονιώτατα δοκεῖ τὰ κυπαρίττινα εἶναι· τὰ γοῦν ἐν Ἐφέσῳ, ἐξ ὧν αἱ θύραι τοῦ νεωστὶ νεὼ, τεθησαυρισμένα τέτταρας ἔκειτο γενεάς. μόνα δὲ καὶ στιλβηδόνα δέχεται, δι᾽ ὃ καὶ τὰ σπουδαζόμενα τῶν ἔργων ἐκ τούτων ποιοῦσι. τῶν δὲ ἄλλων ἀσαπέστατον μετὰ τὰ κυπαρίττινα καὶ τὰ θυώδη τὴν συκάμινον εἶναί φασι καὶ ἰσχυρὸν ἅμα καὶ εὔεργον τὸ ξύλον· γίνεται δὲ τὸ ξύλον καὶ παλαιούμενον μέλαν ὥσπερ λωτός.
3. ἔτι δὲ ἄλλο πρὸς ἄλλο καὶ ἐν ἄλλῳ ἀσαπὲς, οἷον πτελέα μὲν ἐν τῷ ἀέρι, δρῦς

κυπάριττος ἀγρία] corr. Sch.; *κυπάρισσον ἀγρίαν* M Ald.; *κυπάρισσος ἀγρία* H. St.
πολὺ] Ald. Edd.; *πολλὴν* M. Lectionem non satis integram esse recte animadvertit Schn.
ἀρχαίων οὔσας] UMV Ald.; *ἀρχ. ἐκ θυίας οὔσ.* H. St.; *ἀρχ. ναῶν ἐκ θύας οὔσ.* Sch.; *atque etiam memorant contignationes quasdam vestustissimas thuiae* G.
τὴν ῥίζαν] *κατὰ τ. ῥ.* St.
ἐκ τῶνδε, κέδρων] UMV Sch. syll.; *ἐκ τῶν κέδρων* Ald. Edd.; *ἐκ τῆς κέδρου* St.
ἐλαΐνων] Dubitat Schn. an. h. l. *ἐλατίνων* scriptum fuerit.
μὲν οὖν] *τὰ ξύλα* add. St.

Cap. IV.

γλοιώδει] H. St. Sch.; *γλειώδει* MV Ald. St. verba transposuit: *καὶ σκληρ. καὶ μαλ. καὶ τῷ γλοιώδει ληπτέον.*
ἅμα σκληρὰ] U Sch. syll.; *ἅμα καὶ σκλ.* Ald. Edd. o.
τῇ ξηρότητι] U Sch. syll.; *τῇ σκληρότητι* Ald. Edd. o.
κρανείαν] *κρανίαν* Ald. Edd.
καὶ στερεώτεραι] *καὶ* om. St.
2. *πύξος*] *μίλος* addidit St.
τὰ γοῦν] UMV Ald. Sch.; *τὸ γοῦν* H. St. — Mox *ἐν* om. Cam.
νεωστὶ νεὼ] *νεωστὶ* om. H.; *νεωστὶ νήου* St.
τεθησαυρισμένα — ἔκειτο] corr. Bentl. ad Millium p. 30, Sch.; *τεθησαυρισμέναι — ἔκειντο* Ald. H. St.; *ἔκειτο* dat P.
θυώδη] UM Ald. Sch.; *θυιώδη* H.; *θυϊώδη* St.; *post cupressum ac thujam* G.
τὸ ξύλον· γίνεται δὲ τὸ ξ.] UMVP; *γιν. — ξύλ.* om. Ald. Edd.; *τὸ ξύλον καὶ γίνεται παλαιούμενον* Sch. — Post *ξύλον* addidit *αὐτῆς* St. Verba praescripta om. G.
3. *ἔτι δὲ*] Ald. Edd.; *ὅτι δὲ* UMV.

δὲ κατορυττομένη καὶ ἐν τῷ ὕδατι καταβρεχομένη· δοκεῖ γὰρ ὅλως ἀσαπὲς εἶναι· δι' ὃ καὶ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς λίμνας ἐκ τούτων ναυπηγοῦσιν· ἐν δὲ τῇ θαλάττῃ σήπεται. τὰ δὲ ἄλλα διαμένει μᾶλλον ὅπερ καὶ εὔλογον ταριχευόμενα τῇ ἅλμῃ. δοκεῖ δὲ καὶ ἡ ὀξύη πρὸς τὸ ὕδωρ ἀσαπὴς εἶναι καὶ 4.
βελτίων γίνεσθαι βρεχομένη. καὶ ἡ καρύα δὲ ἡ εὐβοϊκὴ ἀσαπής. φασὶ δὲ καὶ τὴν πεύκην ἐλάτης μᾶλλον ὑπὸ τερηδόνος ἐσθίεσθαι· τὴν μὲν γὰρ εἶναι ξηράν, τὴν δὲ πεύκην ἔχειν γλυκύτητα καὶ ὅσῳ ἐνδᾳδωτέρα μᾶλλον· πάντα δ' ἐσθίεσθαι τερηδόνι πλὴν κοτίνου καὶ ἐλάας· τὰ δὲ οὔ διὰ τὴν πικρότητα. ἐσθίεται δὲ τὰ μὲν ἐν τῇ θαλάττῃ σηπόμενα ὑπὸ τερηδόνος τὰ δ' ἐν τῇ γῇ ὑπὸ σκωλήκων καὶ ὑπὸ θριπῶν· οὐ γὰρ γίνεται τερηδὼν ἀλλ' ἢ ἐν τῇ θαλάττῃ. ἔστι δὲ ἡ τερηδὼν τῷ μὲν μεγέθει μικρὸν κεφαλὴν δ' ἔχει μεγάλην καὶ ὀδόντας· οἱ δὲ 5.
θρίπες ὅμοιοι τοῖς σκώληξιν, ὑφ' ὧν τιτραίνεται κατὰ μικρὸν τὰ ξύλα. καὶ ἔστι ταῦτα εὐΐατα· πιττοκοπηθέντα γὰρ ὅταν εἰς τὴν θάλατταν ἑλκυσθῇ στέγει· τὰ δὲ ὑπὸ τῶν τερηδόνων ἀνίατα. τῶν δὲ σκωλήκων τῶν ἐν τοῖς ξύλοις οἱ μέν εἰσιν ἐκ τῆς οἰκείας σήψεως οἱ δ' ἐντικτόντων ἑτέρων· ἐντίκτει γὰρ ὥςπερ καὶ τοῖς δένδροις ὁ κεράστης καλούμενος, ὅταν τιτράνῃ καὶ κοιλάνῃ περιστραφεὶς ὡςπερεὶ μυοδόχον. φεύγει δὲ τά τε ὀσμώδη καὶ πικρὰ καὶ σκληρὰ

τῷ ὕδ.] UMVPP2 Sch.; *τῷ* om. Ald. Edd. o.

λίμνας ἐκ τούτων] Ald. Edd.; *λίμνας καὶ ἐκ τ.* UMV; *ob id fluviis lacubusque naves hac etiam materie condunt* G.

ὅπερ καὶ] UMVP Sch.syll.; *ὥςπερ κ.* Ald. Edd.

καὶ ἡ ὀξύη] P2 Ald. H. St.; *καὶ ἡ φηγὸς καὶ ἡ ὀξ.* mBas. et Sch.; *fagus quoque sive scissima* G; *non improbatur et fagus in aqua et iuglans.* Plin. 16, 40 s. 79.

εὐβοϊκὴ ἀσαπής] P H. St. Sch.; *εὐ. ἀσαπές* Ald.

4. *ξηρὰν* UMV Ald., quam scripturam defendit Scalig.; *πικρὰν* H. St. Sch.; *amaram* G.

ἐσθίεσθαι — πικρότητα] P Ald. Bas. Sch., quibuscum etiam UMV convenire videntur; *ἐσθίεσθαι τερηδόνι, πλὴν βοτίνου καὶ ἐλαίας. ταῦτα γὰρ οὐχ ἐσθίεται διὰ πικρότητα ὑπὸ τερηδόνος* Cam., quae scriptura ab ingenio Camotii profecta esse videtur; haec sic mutilata dedit Heinsius: *ἐσθίεσθαι τερηδόνι πλὴν κοτίνου ὑπὸ τερηδόνος*; et Stackh. *ἐσθίεσθαι πλὴν κοτίνου ὑπὸ τερηδόνος.* — Post *πικρότητα* addit Ald. *τερηδὼν θρίπες* cum cruce, signo loci vel mutili vel vitiosi, et Sch. cum signo lacunae; om. Cam. H. St. Quae verba e margine, cui argumenti significandi causa adscripta fuerunt, in contextum venerunt. — *ἐλάας* solus dat U. — Gaza: *Omnes teredinem sentire affirmant: praeterquam oleastrum atque oleam quas amaritudinis causa Neque teredo neque tinea redit* (l. rodit). *Quae mari putrescere aptae sunt erodi et teredine solent.*

ἐσθίεται] UMV Sch.syll.; *ἐσθίεσθαι* Ald. Edd. o.; *εἰθίσθαι* P.

μὲν ἐν] V Ald. Edd.; *ἐν* om. UM.

ὑπὸ θρ.] UM Sch.syll.; *ὑπὸ* om. Ald. Edd.

ἀλλ' ἢ] *ἄλλοθι ἢ* St.

5. *τιτραίνεται*] de conj. Scal. Sch syll.; *τιτρένεται* U Vo.; *πεπαίνεται* MV Ald.; *περαίνεται* H. St. Sch.; *perforantur* G.

πιττοκοπηθέντα] UMV Ald. Sch.syll.; *θριποκοπηθέντα* de conj. Scal. H. St. Sch. — *στέγει* vertit G. *durabit.* Cf. cap. 7, 4.

ἐκ τῆς οἰκ.] Ald. Edd.; *ἐν τῆς οἰ.* MV.

σήψεως] MV Ald. Edd.; *ὄψεως* U.

ἐντικτόντων] U, Sch. de conj.; *ἐκ τικτόντων* Ald. H. St.

ἐντίκτει] *ἐκτίκτει* St.

καὶ τοῖς δέν.] U Ald. H. St. Sch.syll.; *καὶ ἐν τοῖς δ.* MV Sch.cont.

ὡπερεὶ μυοδόχον] dedi de conj.: *sicut muris latebras.* Sic explico: Vermis parit in recessu ligni, sicuti cerastes in arboribus, cum eas erodendo penetraverit ibique se circumagens caveam effecerit, murium latebris similem; *ὥςπερ οἱ μυόχοδοι* Ald. H. Sch.; *ὡ. οἱ μυοδόχοι* Scal. St.; *ὡ. οἱ μυοδόχον* conj. Dalecamp.; Gaza haec verba omisit. Schn. suspicatur Theophrastum narrasse, *vermem, dum se convertit, egerere scobem ligni corrosi, quae muscerdam figura imitetur,* quod an quisquam probaturus sit dubito.

6. διὰ τὸ μὴ δύνασθαι τιτρᾶναι καθάπερ τὴν πύξον. φασὶ δὲ καὶ τὴν ἐλάτην φλο-
ισθεῖσαν ὑπὸ τὴν βλάστησιν ἀσαπῆ διαμένειν ἐν τῷ ὕδατι· φανερὸν δὲ γενέ-
σθαι ἐν Φενεῷ τῆς Ἀρκαδίας ὅτε αὐτοῖς ἐλιμνώθη τὸ πεδίον φραχθέντος τοῦ
βερέθρου· τότε γὰρ τὰς γεφύρας ποιοῦντες ἐλατίνας καὶ ὅταν ἐπαναβαίνῃ τὸ
ὕδωρ ἄλλην καὶ ἄλλην ἐφιστάντες, ὡς ἐῤῥάγη καὶ ἀπῆλθε πάντα εὑρεθῆναι τὰ
7. 6 H. ξύλα ἀσαπῆ. τοῦτο μὲν οὖν ἐκ συμπτώματος. ἐν Τύλῳ δὲ τῇ νήσῳ τῇ περὶ
τὴν Ἀραβίαν εἶναί τί φασι ξύλον ἐξ οὗ τὰ πλοῖα ναυπηγοῦνται· τοῦτο δὲ ἐν
μὲν τῇ θαλάττῃ σχεδὸν ἄσηπτον εἶναι· διαμένει γὰρ ἔτη πλείω ἢ διακόσια
6 St. καταβυθιζόμενον· ἐὰν δὲ ἔξω χρόνιον μὲν θᾶττον δὲ σήπεται. θαυμαστὸν δὲ
καὶ ἕτερον λέγουσι, οὐδὲν δὲ πρὸς τὴν σῆψιν. εἶναι γάρ τι δένδρον ἐξ οὗ τὰς
βακτηρίας τέμνεσθαι, καὶ γίνεσθαι καλὰς σφόδρα ποικιλίαν τινὰ ἐχούσας ὁμοίαν
τῷ τοῦ τίγριος δέρματι· βαρὺ δὲ σφόδρα τὸ ξύλον τοῦτο· ὅταν δέ τις ῥίψῃ πρὸς
8. στερεώτερον τόπον κατάγνυσθαι καθάπερ τὰ κεράμια. καὶ τὸ τῆς μυρίκης δὲ
ξύλον οὐχ ὥςπερ ἐνταῦθα ἀσθενὲς ἀλλ' ἰσχυρὸν ὥςπερ πρίνινον ἢ καὶ ἄλλο τι
τῶν ἰσχυρῶν. τοῦτο μὲν οὖν ἅμα μηνύει χώρας τε καὶ ἀέρος διαφορὰς καὶ
δυνάμεις. τῶν δὲ ὁμογενῶν ξύλων οἷον δρυΐνων πευκίνων, ὅταν ταριχεύωνται
— ταριχεύουσι γὰρ οὐκ ἐν ἴσῳ βάθει πάντα δύοντες τῆς θαλάττης, ἀλλὰ τὰ
μὲν πρὸς αὐτῇ τῇ γῇ τὰ δὲ μικρὸν ἀνωτέρω τὰ δ' ἐν πλείονι βάθει· πάντων δὲ
τὰ πρὸς τὴν ῥίζαν θᾶττον δύεται καθ' ὕδατος, κἂν ἐπινῇ μᾶλλον ῥέπει κάτω.

Cap. V. Ἔστι δὲ τὰ μὲν εὔεργα τῶν ξύλων τὰ δὲ δύσεργα· εὔεργα μὲν τὰ μαλακὰ καὶ πάντων μάλιστα φίλυρα· δύσεργα δὲ καὶ τὰ σκληρὰ καὶ τὰ ὀζώδη καὶ οὔλας ἔχοντα συστροφάς· δυςεργότατα δὲ ἀρία καὶ δρῦς, ὡς δὲ κατὰ μέρος ὁ τῆς πεύκης ὄζος καὶ τῆς ἐλάτης. ἀεὶ δὲ τῶν ὁμογενῶν τὸ μαλακώτερον

τιτρᾶναι] corr. Sch.; *τιτράναι* St.; *τετράναι* Ald. H.

6. *γενέσθαι*] corr. Sch.; *γίνεσθαι* Ald. H. St.; *γίνεται* MV.

Φενεῷ] H. St. Sch.; *φανεῶι* UV; *φανεῶ* M; *φονέῳ* P; *φανεῷ* Ald.; *φνεῷ* mBas.; *faneum* G.; 9, 15, 6, et C. pl. 5, 14, 9 *Φενεὸς* habet U, altero loco etiam Ald., ut scriptum est apud Strabonem, Diodorum, Aelian H. Anim. 3, 38, Hom. Il. 2, 605, Steph. Byz. s. v.

φραχθέντος] corr. Schn.; cf. 3, 1, 2; *βραχέντος* Ald. H. St., quod defendit Scal.; *φραγέντος* conj. Palmer. Ex. p. 600.

ἐπαναβαίνῃ] *ἐπανέβαινε* Vo.

7. *ἔξω χρόνιον μὲν*] Ald. H. Sch.; *ἔξω ᾖ, χρόνον μὲν διαμένει, θᾶττον* etc. St.

ἕτερον] *ξύλον* add. St.

οὐδὲν δὲ πρὸς] UMV Sch. e conj. Dalecamp.; *οὐδὲν πρὸς* Ald.; *καὶ περ' οὐδὲν πρὸς* H.; *καίπερ οὐδὲν πρὸς* St.; *quamquam nil ad putredinem spectans* G.

τέμνεσθαι] Ald. H. Sch.; *τέμνονται* MV St.

ποικιλίαν τινὰ] MV St.; *ποικ. δέ τινα* Ald. H. Sch.

ὁμοίαν] de corr.; *ὅμοιον* Ald. Edd. o.

ῥίψῃ] *αὐτὸ* add. St.

κατάγνυσθαι] U Sch.syll.; de conj. Palmerii Ex. p. 600 St.; *καταρίγνεσθαι* M; *καταριγνησθαι* V; *καταγίνεσθαι* Ald.; *κατάγεσθαι* mBas.

κεράμια] *κεράμεα* St.

8. *καὶ δυνάμεις*] Ald. Edd.; *καὶ* om. MV.

κἂν ἐπινῇ — κάτω] U Sch.syll. conj. Palmer. Ex. p. 600 e vers. Gazae: *vel si fluitent plus deorsum versus sane inclinantur; καὶ ἐπινεῖ μᾶλλον* Ald. H. St.; *καὶ ἐπινεύει μᾶλλον* cum Scalig. Schn.

Cap. V.

τὰ δὲ δύσεργα· εὔεργα μὲν] Ald. Edd. G.: *εὔεργα δὲ* ceteris omissis UMV. Si codicum lectio stare debeat, scribendum est: *εὔεργα δὲ τὰ μαλ. — φίλυρα· τὰ δὲ δύσεργα, τὰ σκληρὰ* etc.

οὔλας] Ald. Edd.; *οὐλα* U; *οὔλω* MV. Scriptura *οὖλα* ferri potest.

τοῦ σκληροτέρου κρεῖττον· σαρκωδέστερον γάρ· καὶ εὐθὺ σκοποῦνται τὰς σανίδας οἱ τέκτονες οὕτως. τὰ δὲ μοχθηρὰ σιδήρια δύναται τέμνειν τὰ σκληρὰ μᾶλλον τῶν μαλακῶν· ἀνίησι γὰρ ἐν τοῖς μαλακοῖς ὥσπερ ἐλέχθη περὶ τῆς φιλύρας, παρακονᾷ δὲ μάλιστα ταῦτα· δι' ὃ καὶ οἱ σκυτοτόμοι ποιοῦνται τοὺς πίνακας ἀχράδος. μήτραν δὲ πάντα μὲν ἔχειν φασὶν οἱ τέκτονες φανερὰν δ' 2.
εἶναι μάλιστα ἐν τῇ ἐλάτῃ· φαίνεσθαι γὰρ οἷον φλοιώδη τινὰ τὴν σύνθεσιν αὐτῆς τῶν κύκλων. ἐν ἐλάᾳ δὲ καὶ πύξῳ καὶ τοῖς τοιούτοις οὐχ ὁμοίως· δι' ὃ καὶ οὔ φασί τινες ἔχειν τῇ δυνάμει πύξον καὶ ἐλάαν· ἥκιστα γὰρ ἕλκεσθαι ταῦτα τῶν ξύλων. ἔστι δὲ τὸ ἕλκεσθαι τὸ συμπεριΐστασθαι κινουμένης τῆς μήτρας. ζῇ γὰρ ὡς ἔοικεν ἐπὶ χρόνον πολύν· δι' ὃ πανταχόθεν μὲν ἅμα μάλιστα δ' ἐκ τῶν θυρωμάτων ἐξαιροῦσιν ὅπως ἀστραβῆ ᾖ· καὶ διὰ τοῦτο σχίζουσιν. ἄτοπον δ' ἂν δόξειεν ὅτι ἐν μὲν τοῖς ξύλοις τοῖς στρογγύλοις ἄλυπος ἡ μήτρα καὶ 3.
ἀκίνητος, ἐν δὲ τοῖς παρακινηθεῖσιν ἐὰν μὴ ὅλως ἐξαιρεθῇ κινεῖ καὶ παραστρέφει· μᾶλλον γὰρ εἰκὸς γυμνωθεῖσαν ἀποθνήσκειν. ὅμως δὲ οἵ γε ἱστοὶ καὶ αἱ κεραῖαι ἐξαιρεθείσης ἀχρεῖοι. τοῦτο δὲ κατὰ συμβεβηκός, ὅτι χιτῶνας ἔχει πλείους, ἰσχυρότατον δὲ καὶ λεπτότατον δὲ τὸν ἔσχατον, ξηρότατον γάρ, καὶ τοὺς ἄλλους ἀνὰ λόγον. ὅταν οὖν σχισθῇ περιαιρεῖται τὰ ξηρότατα. εἰ δ' ἡ μήτρα διὰ τὸ ξηρὸν σκεπτέον. διαστρέφει δὲ ἑλκομένη τὰ ξύλα καὶ ἐν τοῖς 4.

εὐθὺ σκοποῦνται] Cam. H. St. Sch.; *εὐθυ σκοποῦνται* Ald.; *εὐθυσκοποῦνται* Bas.; *εὐθὺς σκ.* P.

τέμνειν τὰ σκληρὰ μᾶλλον τῶν μαλακῶν] P2 mBas. e vers. Gazae: *ferrum viciatam duramque materiem magis quam mollem cedere valet*, ubi *viciatum duram* legendum; *τέμνειν τὰ σκληρὰ τῶν μαλακῶν* UMV Ald.; *τέμνειν μᾶλλον τὰ σκληρὰ τῶν μαλακῶν* H. St. Sch.

μάλιστα ταῦτα] P2 Ald. H. St.; *μ. τὰ σκληρά* Schn.

ἀχράδος] P2 Ald. H.; *ἐξ ἀχρ.* mBas. St., i. u. Sch., damnat vero praepositionem in Comm.

2. *ἔχειν φασὶν*] corr. Sch.; *ἔχει ᾗ φασὶν* Ald. H.; *ἔχ. τὰ ξύλα ᾗ φ.* St.

σύνθεσιν] *σύνεσιν* M.

οὔ φασί] *οὐ* om. P.

τῇ δυνάμει] *τὴν μήτραν* St. Subridicule Spr.: *dass es beiden an der Kraft (des Kernholzes) fehle; medulla omnino carere* G.

ἐλάαν] corr. Scalig. Moldenh. St. Sch.; *ἐλάτην* Ald. H.; *oleam* G.

ἥκιστα γὰρ] mBas. Vo. St. Sch.; *minime* G.; *μάλιστα γ.* Ald. H.

κινουμένης τῆς μήτρας] Ald. H. St.; *κινουμένη τῇ μήτρᾳ* Sch. cum Dalec. — Paulo ante *ἔσται* UMV.

ἅμα] Vox dubia; Dalecamp. substituit ei *τὴν μήτραν*, Sch. *ἅμα πᾶσιν* fuisse conjicit. Neutrum verum, illud tamen a vero propius; facilius scribi posset *αὐτὴν*. *διὸ μὲν ἅμα πάντ.* St.

θυρωμάτων] sic corr. Schn.; *γυρωμάτων* Ald. Edd.; *circis* G.

ἀστραβῆ ᾖ] dedi e conj. Dalec., qui *ᾖ ἀστραβῆ* voluit; *ἀστραβῆ* UMV Ald.; *ἀ. διαμένῃ* H. St. Sch.; *quo intorti permaneant* G.

σχίζουσιν] *σχάζουσιν* et mox *σχασθῇ* conj. Dalec.

3. *παρακινηθεῖσι*] *παρακνισθεῖσι* conj. Dalecamp. Mihi *πελεκηθεῖσι* vel *παραπελεκηθεῖσι* fuisse videtur.

ὅμως δὲ οἵ γε] *ὅμως δέ γε οἵ γε* P.

ἐξαιρεθείσης] *τῆς μήτρας* add. St.

ἔχει πλείους] corr. Sch.; *quoniam plerisque vestitur tunicis* G.; *ἔχει ἄλλους* Ald. H. St.; *ἔχει πολλοὺς* conj. Dal.; *ἔχει ἄλλας* M.

λεπτ. δὲ] UMV; *δὲ* om. Ald. Edd. o.

ἀνὰ λόγον] *ἀνάλογον* Ald. Edd. o.

εἰ δ' ἡ μήτρα] mBas. Vo. H. St. Sch., qui omnes *δὲ* plene scriptum habent; *ἡ δὲ μ.* UMV Ald.; *an vero sicci ratione medulla constet, quaerendum* G. Post *ξηρὸν* addit *διαστρέφει* St. Sensum nemo interpretum reclusit: fortasse vitium subest. *Ob man aber den Kern seiner Trockenheit wegen wegnimmt* etc. Spreng.

4. *διαστρέφει δὲ*] *διαστρεφομένη* P.

σχιστοῖς καὶ πριστοῖς ὅταν μὴ ὡς δεῖ πρίωσι· δεῖ γὰρ ὀρθὴν τὴν πρίσιν εἶναι
καὶ μὴ πλαγίαν. οἷον οὔσης τῆς μήτρας ἐφ' ἣν τὸ α, μὴ παρὰ τὴν βγ τέμνειν,
ἀλλὰ παρὰ τὴν βδ· φθείρεσθαι γὰρ οὕτω φασὶν ἐκείνως δὲ ζῆν. ὅτι δὲ πᾶν
4. ξύλον ἔχει μήτραν ἐκ τούτων οἴονται· φανερὸν γάρ ἐστι καὶ τὰ μὴ δοκοῦντα
πάντ' ἔχειν οἷον πύξον λωτὸν πρῖνον. σημεῖον δέ· τοὺς γὰρ στρόφιγγας τῶν
θυρῶν τῶν πολυτελῶν ποιοῦσι μὲν ἐκ τούτων, συγγράφονται δὲ οἱ ἀρχιτέκτονες
οὕτως ἐκ μήτρας. ταὐτὸ δὲ τοῦτο σημεῖον καὶ ὅτι πᾶσα μήτρα ἕλκεται, καὶ
5. αἱ τῶν σκληροτάτων ἃς δή τινες καρδίας καλοῦσι. παντὸς δὲ ὡς εἰπεῖν ξύλου
σκληροτάτη καὶ μανοτάτη ἡ μήτρα, καὶ αὐτῆς τῆς ἐλάτης· μανοτάτη μὲν οὖν ὅτι
τὰς ἶνας ἔχει καὶ διὰ πολλοῦ καὶ τὸ σαρκῶδες τὸ ἀνὰ μέσον πολύ· σκληροτάτη
δὲ ὅτι καὶ αἱ ἶνες σκληρόταται καὶ τὸ σαρκῶδες· δι' ὃ καὶ οἱ ἀρχιτέκτονες συγ-
γράφονται παραιρεῖν τὰ πρὸς τὴν μήτραν ὅπως λάβωσι τοῦ ξύλου τὸ πυκνότα-
6. τον καὶ μαλακώτατον. τῶν δὲ ξύλων τὰ μὲν σχιστὰ τὰ δὲ πελεκητὰ τὰ δὲ
στρογγύλα· σχιστὰ μὲν ὅσα διαιροῦντες κατὰ τὸ μέσον πρίζουσι· πελεκητὰ δὲ
ὅσων ἀποπελεκῶσι τὰ ἔξω· στρογγύλα δὲ δῆλον ὅτι τὰ ὅλως ἄψαυστα. τούτων
δὲ τὰ σχιστὰ μὲν ὅλως ἀρραγῆ διὰ τὸ γυμνωθεῖσαν τὴν μήτραν ξηραίνεσθαι
καὶ ἀποθνήσκειν· τὰ δὲ πελεκητὰ καὶ τὰ στρογγύλα ῥήγνυται· μᾶλλον δὲ πολὺ
τὰ στρογγύλα διὰ τὸ ἐναπειλῆφθαι τὴν μήτραν· οὐδὲν γὰρ ὅτι τῶν ἁπάντων οὐ
ῥήγνυται. τοῖς δὲ λωτίνοις καὶ τοῖς ἄλλοις οἷς εἰς τοὺς στρόφιγγας χρῶνται
πρὸς τὸ μὴ ῥήγνυσθαι βόλβιτον περιπλάττουσιν ὅπως ἀναξηρανθῇ καὶ διαπνευ-
σθῇ κατὰ μικρὸν ἡ ἐκ τῆς μήτρας ὑγρότης. ἡ μὲν οὖν μήτρα τοιαύτην ἔχει
δύναμιν.

τὸ α] *τὸ πρῶτον* MP. Deinceps *καὶ* addit Ald. H., quod om. St. Sch. — Ante *τὸ α* inserit *δεῖ τέμνειν* St.

οἴονται· φανερὸν] Ald. Edd.; *οἴονται φανερόν. Φανερὸν γ. ε.* Sch.cont., in Comm. mavult *οἴονται φανερὸν εἶναι· ἔτι καὶ τὰ* etc.; *οἴονται· φανερὸν δ' ἐστὶ καί τινα μὴ δοκ.* St.

τὰ μὴ δοκ.] H. Sch.; *quas carere putaveris* G.; *τὰ δοκ.* UMV Ald. omissa negatione. — Dein *πάντως* St.

συγγράφονται — οὕτως ἐκ μήτρας] Ald. H. Sch. Verum haec sensu cassa sunt, quamobrem St. *οὐκ ἐκ μήτρας ποιεῖν* scripsit. Primum vix dubitari potest quin *αὐτοὺς* pro *οὕτως* scribendum sit. Dein quaeritur num architecti strophiggas e medulla fieri jusserint an vetuerint. Vetuisse videntur quoniam ut omnis sic etiam loti buxi prini medulla contorsioni esset obnoxia. Quare *αὐτοὺς μὴ ἐκ μ.* scribendum esse censeo.

ταὐτὸ] *αυτὸ* H.; *αὐτὸ* St.

5. *ξύλου σκληροτάτη καὶ μαν.*] emendavit Sch.; *ξύλον σκληρότατον καὶ μανοτάτη* U et omisso *καὶ* MV; *ξύλου σκληροτάτου μανοτάτη* Ald. H. St.

αὐτῆς τῆς] *αὖ τῆς* St.

ἔχει] V mBas. Vo. St. Sch.; *ἐκεῖ* UM Ald. H.

σκλ. καὶ τὸ σ.] *σκλ. καὶ οὐ τὸ σ.* St.; *καὶ* om. P.

6. *ἀποπελεκῶσι*] solus Sch.; *ἀποπλεκῶσι* UM; *ἀποπλέκουσι* Ald.; *ἀποπελέκουσι* mBas. St.; *ἀποελεκῶσι* H.

τὰ σχιστὰ] *τάχιστα* M.

ῥήγνυται· μᾶλλον — στρογγύλα] UMVP Schn. et G. *et rotunda rimas admittunt longeque magis rotunda*; om. Ald. H. St.

ἐναπειλῆφθαι] Bas. St. Sch.; *ἐν ἀπειλῆφθαι* Ald. Cam. H.; *quod medulla in his lateribus plenioribus circumdatur* G.; *ἐναπολῆφθαι* P.

τὴν μήτραν] Ex errore additum est *οὐ* in edit. Sch., quod Schaefer in Melet. Crit. p. 96 addere jusserat scriptura codicum nondum cognita.

οἷς] P H. St. Sch.; *οἷς* Ald.; om. Cam.

βόλβιτον] Ald. Edd. In Syll. atticum *βόλιτον* reponere jubet Sch.

περιπλάττουσι] corr. Sch.; *illinunt* G.; *περιπάττουσιν* Ald. H. St.

ἀναξηρανθῇ] corr. Sch.; *ἀναξηραίνῃ* Ald. H. St.

Cap. VI. Βάρος δὲ ἐνεγκεῖν ἰσχυρὰ καὶ ἡ ἐλάτη καὶ ἡ πεύκη πλάγιαι τιθέμεναι· οὐδὲν γὰρ ἐνδιδόασιν ὥσπερ ἡ δρῦς καὶ τὰ γεώδη ἀλλ' ἀντωθοῦσι· σημεῖον δὲ ὅτι οὐδέποτε ῥήγνυνται καθάπερ ἐλάα καὶ δρῦς ἀλλὰ πρότερον σήπονται καὶ ἄλλως ἀπαυδῶσιν. ἰσχυρὸν δὲ καὶ ὁ φοῖνιξ· ἀνάπαλιν γὰρ ἡ κάμψις ἢ τοῖς ἄλλοις γίνεται· τὰ μὲν γὰρ εἰς τὰ κάτω κάμπτεται ὁ δὲ φοῖνιξ εἰς τὰ ἄνω. φασὶ δὲ καὶ τὴν πεύκην καὶ τὴν ἐλάτην ἀντωθεῖν. τὸ δὲ τῆς εὐβοϊκῆς καρύας, γίνεται γὰρ μέγα καὶ χρῶνται πρὸς τὴν ἔρεψιν, ὅταν μέλλῃ ῥήγνυσθαι ψοφεῖν ὥστε προαισθάνεσθαι πρότερον· ὅπερ καὶ ἐν Ἀντάνδρῳ συνέπεσεν ἐν τῷ βαλανείῳ καὶ πάντες ἐξεπήδησαν. ἰσχυρὸν δὲ καὶ τὸ τῆς συκῆς πλὴν εἰς ὀρθόν. ἡ δὲ ἐλάτη μάλιστα ὡς εἰπεῖν ἰσχυρόν. πρὸς δὲ τὰς τῶν τεκτόνων 2.
χρείας ἐχέκολλον μὲν μάλιστα ἡ πεύκη διά τε τὴν μανότητα καὶ τὴν εὐθυπορίαν· οὐδὲ γὰρ ὅλως οὐδὲ ῥήγνυσθαί φασιν ἐὰν κολληθῇ. εὐτορνότατον δὲ φιλύκη, καὶ ἡ λευκότης ὥσπερ ἡ τοῦ κηλάστρου. τῶν δὲ ἄλλων ἡ φίλυρα· τὸ γὰρ ὅλον εὔεργον ὥσπερ ἐλέχθη διὰ μαλακότητα. εὔκαμπτα δὲ ὡς μὲν ἁπλῶς εἰπεῖν ὅσα γλίσχρα. διαφέρειν δὲ δοκεῖ συκάμινος καὶ ἐρινεὸς δι ὃ καὶ τὰ ἰκρία καὶ τὰς στεφάνας καὶ ὅλως ὅσα περὶ τὸν κόσμον ἐκ τούτων ποιοῦσι. εὔπριστα δὲ καὶ εὔσχιστα τὰ ἐνικμότερα τῶν πάμπαν ξηρῶν· τὰ μὲν γὰρ 3. 8 H. 7 St.
παύονται τὰ δὲ ἵστανται· τὰ δὲ χλωρὰ λίαν συμμύει καὶ ἐνέχεται ἐν τοῖς ὀδοῦσι τὰ πρίσματα καὶ ἐμπλάττει, δι' ὃ καὶ παραλλάττουσιν ἀλλήλων τοὺς ὀδόντας ἵνα ἐξάγηται. ἔστι δὲ καὶ δυστρυπητότερα τὰ λίαν χλωρά· βραδέως γὰρ

Cap. VI.

πλάγιαι] corr. Schn. e Plinio 16, 42 s. 81 *in transversum positae*; *ἁπαλαὶ* Ald. H.; *ἀνάπαλιν* St.

ῥήγνυνται] Ald. Edd.; *ῥήγνυται* UMVP.

γὰρ ἡ καμ.] UV Sch.; *γὰρ καὶ ἡ κ.* Ald. H. St.; *δὲ ἡ. κ.* mavult Sch. in Ind. p. 539. Cf. Plut. Sympos. VIII. p. 724, e.

φασὶ — ἀντωθεῖν] Ni aliud inest vitium, *ἄνω* ante *ἀντωθεῖν* excidisse videtur. *ἀνθεῖν* P2.

τὸ δὲ τῆς] *καί τοι περὶ τῆς* St.

ἔρεψιν] *ἕψησιν* P.

ψοφεῖν] U; *ψόφοις* P2 MV Ald.; *ψοφεῖ* e corr. Scal. St. Sch. — Paulo antea *μέλῃ* H., dein *ὅσπερ* St.

καὶ τὸ τ. σ.] UMVP Sch.; *καὶ* om. Ald. Edd. „Ceterum scriptura *συκῆς* vera esse non potest: mollissima enim hujus materia est: fortasse *συκαμίνου* fuit scriptum.“ Sch. in Comm. Post *συκῆς* addit *ξύλον* St.

ὀρθὸν] *ὄρθρον* U. — Mox *δὲ* om. St.

2. *ἐχέκολλον*] U; idem conjectura inventum ab Arcerio apud Bodaeum et Salmasio — Plin. *sociabilis glutino* — dederunt St. Sch.; *ἐχέκαλλον* Ald. H.; *ἐχέκαλον* MV.

μὲν μάλιστα ἡ πεύκη διά τε τὴν] U Sch. syll.; *μὲν μάλιστα ἡ ἐλάτη διὰ τη τὴν* M; *μάλιστα ἡ ἐλάτη διὰ τη την* V; *μάλιστα ἡ ἐλάτη διὰ τὴν* Ald.; *μάλ. ἡ πεύκη διὰ τὴν* H. St.; denique *ἰσχυρὸν πρὸς τὰς τῶν τεκτόνων χρείας ἐχέκολλον γὰρ μάλιστα ἡ ἐλάτη διά τε τὴν* Schn. cont.; *Pinus omnium fere maxime viribus valet: et ad usum edificatorium spectabilis eadem potissimum est: laxitatis rectitudinisque meatuum causa* G.

ἐὰν κολληθῇ] U H. St. Sch.; *ἐὰν δὲ κ.* MV Ald.

εὐτορνότατόν] U Sch. syll.; *εὐτονώτατον* Ald. H. St.; *ἀτονώτατον* cum Bod. Sch. cont.; *obedientissima* G.

φιλύκη] Ald. H.; *ἡ φιλ.* St. Sch.

λευκότης] *αὐτῆς* add. St.

ὥσπερ ἡ] *ἡ* om. P.

εὔκαμπτα] *εὔκαμπα* Bas.

τὰ ἰκρία] *τὰς ἴτυας* margini adscripsit Spr. in exempl. suo edit. Schn.

3. *τῶν πάμπαν*] *τῶν μὴ π.* St.

ἵστανται] *ἵσταται* U. — G. verbis *τὰ μὲν παύονται* omissis *altera enim constant.*

ἐνέχεται] U, Sch. de conj.; *ἐνδέχεται* Ald. H, St.; *admittunt* G.

ἐμπλάττει] UMV Ald. Sch.; *ἐμπλήθει* H. St.; *implent* G.

τὰ λίαν χ.] U St. Sch.; *τὰ* om. Ald. H.

ἀναφέρεται τὰ ἐκτρυπήματα διὰ τὸ βαρέα εἶναι· τῶν δὲ ξηρῶν ταχέως καὶ εὐ-
θὺς ὁ ἀὴρ ἀναθερμαινόμενος ἀναδίδωσι· πάλιν δὲ τὰ λίαν ξηρὰ διὰ τὴν σκλη-
ρότητα δύςπριστα· καθάπερ γὰρ ὄστρακον συμβαίνει πρίειν, δι' ὃ καὶ τρυπῶν-
4. τες ἐπιβρέχουσιν. εὐπελεκητότερα δὲ καὶ εὐτορνότερα καὶ εὐξοώτερα τὰ
χλωρά· προςκάθηταί τε γὰρ τὸ τορνευτήριον μᾶλλον καὶ οὐκ ἀποπηδᾷ. καὶ ἡ
πελέκησις τῶν μαλακωτέρων ῥᾴων καὶ ἡ ξέσις δὲ ὁμοίως καὶ ἔτι λειοτέρα.
ἰσχυρότατον δὲ καὶ ἡ κρανεία, τῶν δὲ ἄλλων οὐχ ἥκιστα ἡ πτελέα, δι' ὃ καὶ
τοὺς στροφέας ὥςπερ ἐλέχθη ταῖς θύραις πτελεΐνους ποιοῦσιν. ὑγρότατον δὲ
μελία καὶ ὀξύη· καὶ γὰρ τὰ κλινάρια τὰ ἐνδιδόντα ἐκ τούτων.

Cap. VII. Ὅλως δὲ πρὸς ποῖα τῆς ὕλης ἑκάστη χρησίμη καὶ ποία ναυπη-
γήσιμος καὶ οἰκοδομική, πλείστη γὰρ αὐτῆς χρεία καὶ ἐν μεγίστοις, πειρατέον
εἰπεῖν, ἀφορίζοντα καθ' ἕκαστον τὸ χρήσιμον. ἐλάτη μὲν οὖν καὶ πεύκη καὶ
κέδρος ὡς ἁπλῶς εἰπεῖν ναυπηγήσιμα· τὰς μὲν γὰρ τριήρεις καὶ τὰ μακρὰ
πλοῖα ἐλάτινα ποιοῦσι διὰ κουφότητα, τὰ δὲ στρογγύλα πεύκινα διὰ τὸ ἀσαπές·
ἔνιοι δὲ καὶ τὰς τριήρεις διὰ τὸ μὴ εὐπορεῖν ἐλάτης. οἱ δὲ κατὰ Συρίαν καὶ
Φοινίκην ἐκ κέδρου· σπανίζουσι γὰρ καὶ πεύκης. οἱ δ' ἐν Κύπρῳ πίτυος· ταύ-
2. την γὰρ ἡ νῆσος ἔχει καὶ δοκεῖ κρείττων εἶναι τῆς πεύκης. καὶ τὰ μὲν ἄλλα
ἐκ τούτων· τὴν δὲ τρόπιν τριήρει μὲν δρυΐνην ἵνα ἀντέχῃ πρὸς τὰς νεωλκίας
ταῖς δὲ ὁλκάσι πευκίνην· ὑποτιθέασι δ' ἔτι καὶ δρυΐνην ἐπὰν νεωλκῶσι, ταῖς δ'
ἐλάττοσιν ὀξυΐνην· καὶ ὅλως ἐκ τούτου τὸ χέλυσμα. οὐχ ἅπτεται δὲ οὐδὲ
κατὰ τὴν κόλλησιν ὁμοίως τὸ δρύϊνον τῶν πευκίνων καὶ ἐλατίνων· τὰ μὲν γὰρ
πυκνὰ τὰ δὲ μανὰ καὶ τὰ μὲν ὅμοια τὰ δ' οὔ. δεῖ δὲ ὁμοιοπαθῆ εἶναι τὰ μέλ-
3. λοντα συμφύεσθαι καὶ μὴ ἐναντία καθαπερανεὶ λίθον καὶ ξύλον. ἡ δὲ τορνεία

τῶν δὲ ξηρῶν] G. mBas. Scal. St. Sch.; *τ. δὲ δρυῶν* Ald. H.

τὰ λίαν ξηρὰ] dedit Schn. de conj. Stackhousii, qui omisso *δὲ* scripsit *πάλιν τὰ λίαν ξηρά; τὰ λεῖα καὶ ξηρὰ* Ald. H.; *levia ac sicca* G.

καθάπερ γὰρ ὀ.] P, de conj. H. St. Sch.; *γὰρ* om. UM Ald.; *Evenit nanque* G.

4. *προςκάθηταί τε*] UMV Sch.; *τε* om. Ald. H. St.

πελέκησις τῶν] UMV; *π. διὰ τῶν* Ald. H. St.; *π. δὲ τῶν* Sch.

δὲ ὁμ.] UMV Sch.; *δὲ* om. Ald. Edd.

ὀξύη] *ὀξύει* Cam.; *ὀξύνη* H.

Cap. VII.

αὐτῆς] Ald. Edd.; *αυτῆ* U; *αὐτῇ* MV. Sribendum est, ni fallor, *αὕτη ἡ χρεία*, ut fere G.: *Nam hujusmodi usus plurimus summisque operibus adhibendus est.*

μὲν οὖν καὶ] U Ald. Edd.; *οὖν* om. St.

μακρὰ] Ald. Edd. o. G.; *μικρὰ* P.

γὰρ καὶ π.] UMV Sch.; *καὶ* om. Ald. H. St.; *quia pino etiam egent* G.

2. *τὰ μὲν ἄλλα* cum Vin. et Vo. Sch.; *τὰ μὲν ἔνια* Ald. Edd.; *et cetera quidem ex his* G. — Equidem dubito quin *ἄλλα* sit vera scriptura; an *τὸ μὲν κύτος* scriptum fuit?

τρόπιν] *τρόπην* M.

τριήρει] dedi de conj.; *τριήρη* U; *τριήρης* MV; *τριήρεσι* Ald. Edd. — *ἀντέχει* M.

νεωλκῶσι] *νεολκῶσι* P.

ταῖς δ' ἐλάττοσιν ὀξυΐνην] dedi cum Schn., nisi quod *ταῖς* pro *τοῖς* scripsi; *τοῖς μὲν ἐλάττοσιν ὀξύη* Ald.; *τ. μ. ἐλάττοσι ὀξύνη* H. et St., qui *ὀξύνην* scripsit.

οὐχ ἅπτεται] Haec omnia usque ad verba *λίθον καὶ ξύλον* hoc loco minime apta sunt; interpellant enim importune ordinem rerum, ac nescio an recte Schn. suspicatus sit haec e fine §. quartae huc migravisse.

καθαπερανεὶ] U; *καθαπερεὶ* Ald. Edd. *καθαπερ νεὶ* MV.

3 *τορνεία*] *tornatus* G.; *opus tornatile* explicat Scaliger. Equidem vitiosum esse judico; hoc enim si indicare voluisset aliud scripsisset vocabulum. Nihil in promtu est, nisi velis *αἱ παρειαὶ* scribere, *partes prorae laterales.* Interpunctionem a Schneidero male administratam restitui.

τοῖς μὲν πλοίοις γίνεται συκαμίνου μελίας πτελέας πλατάνου· γλισχρότητα
γὰρ ἔχειν δεῖ καὶ ἰσχύν. χειρίστη δὲ ἡ τῆς πλατάνου· τάχυ γὰρ σήπεται.
ταῖς δὲ τριήρεσιν ἔνιοι καὶ πιτυΐνας ποιοῦσι διὰ τὸ ἐλαφρόν. τὸ δὲ στερέωμα
πρὸς ᾧ τὸ χέλυσμα καὶ τὰς ἐπωτίδας μελίας καὶ συκαμίνου καὶ πτελέας· ἰσ-
χυρὰ γὰρ δεῖ ταῦτ᾽ εἶναι. ναυπηγήσιμος μὲν οὖν ὕλη σχεδὸν αὕτη. οἰκοδο- 4.
μικὴ δὲ πολλῷ πλείων, ἐλάτη τε καὶ πεύκη ἔτι κυπάριττος δρῦς καὶ κέδρος
καὶ ἄρκευθος· ὡς δ᾽ ἁπλῶς εἰπεῖν πᾶσα χρησίμη πλὴν εἴ τις ἀσθενὴς πάμπαν·
οὐκ εἰς ταὐτὸ γὰρ πᾶσαι καθάπερ οὐδ᾽ ἐπὶ τῆς ναυπηγίας. αἱ δ᾽ ἄλλαι πρὸς τὰ
ἴδια τῶν τεχνῶν οἷον σκεύη καὶ ὄργανα καὶ εἴ τι τοιοῦτον ἕτερον. πρὸς πλεῖ-
στα δὲ σχεδὸν ἡ ἐλάτη παρέχεται χρείαν· καὶ γὰρ πρὸς τοὺς πίνακας τοὺς
γραφομένους. τεκτονικῇ μὲν οὖν ἡ παλαιοτάτη κρατίστη ἐὰν ᾖ ἀσαπής· εὐ-
θετεῖ γὰρ ὡς εἰπεῖν πᾶσι χρῆσθαι· ναυπηγικῇ δὲ διὰ τὴν κάμψιν ἐνικμοτέρᾳ
ἀναγκαῖον· ἐπεὶ πρός γε τὴν κόλλησιν ἡ ξηροτέρα συμφέρει. ἵσταται γὰρ
καινὰ τὰ ναυπηγούμενα καὶ ὅταν συμπαγῇ καθελκυσθέντα συμμύει καὶ στέγει
πλὴν ἐὰν μὴ παντάπασιν ἐξικμασθῇ· τότε δὲ οὐ δέχεται κόλλησιν ἢ οὐχ ὁμοί-
ως. δεῖ δὲ καὶ καθ᾽ ἕκαστον λαμβάνειν εἰς ποῖα χρήσιμός ἐστιν. ἐλάτη μὲν 5.
οὖν καὶ πεύκη καθάπερ εἴρηται καὶ πρὸς ναυπηγίαν καὶ πρὸς οἰκοδομίαν καὶ
ἔτι πρὸς ἄλλα τῶν ἔργων, εἰς πλείω δὲ ἡ ἐλάτη. πίτυϊ δὲ χρῶνται μὲν εἰς

πρὸς ᾧ τὸ χέλυσμα] corr. fere cum Scalig. Schn.; *πρόσω· τὸ σχέλομα* Ald.; *πρόσω τὸ σχέλωμα* (o) V; *τὸ σχέλομα* M; *τὸ χωλ σμα* corr. *χέλυσμα* U; *πρόσω· τὸ δὲ χέλυσμα* m Bas. Vo. St.; *πρόσω· τὸ δὲ σχέλομα* H. Gaza legisse videtur: *ἐλαφρὸν τὸ στερέωμα· τὸ δὲ χέλυσμα* etc.

ἐπωτίδας] Bas. H. St. Sch.; *ἐποτίδας* Ald. Cam.

4. *πλείων*] Ald. Edd.; *πλείω* U.

ἐλάτη — ἄρκευθος] sic concinnavi scripturam e librorum vestigiis; *ἐλάτη τε καὶ πεύκη καὶ κέδρος ἔτι κυπάριττος δρῦς πεύκη καὶ κέδρος ἄρκευθος* U; *ἐλ. τε καὶ π. καὶ κ. καὶ ἄρκ.* Ald. H. St. Sch.; sic etiam MV sed ultimo *καὶ* omisso; *ἐλ. τε καὶ π. καὶ κέ. καὶ ἄρκ. ἔτι κυπάριττος δρῦς* Schn. syll. Sic scripsi ut ordine quodam arbores nominatae sint, primum *abies* et *pinus*, ut natura sua sic usu proximae, dein ceterae minus vulgares, in fine *cedrus* et *juniperus* et ipsae affines. Neque tamen nego ex codicis U vestigiis non minus recte scribi posse: *ἐλάτη τε καὶ πεύκη καὶ κέδρος ἔτι κυπάριττος δρῦς ἄρκευθος*.

ὡς δ᾽ ἁπλῶς εἰπεῖν] sic correxi; *ἁπλῶς δ᾽ ὡς εἰπ.* Ald. Edd. — Dein *πάσῃ* H. St.

εἴ τις] *εἴ τι* U.

πᾶσαι] Ald. H. St.; *πᾶσα* Sch.

ἡ παλαιοτάτη κρατ.] UP Sch.; *ἡ παλ. ἢ κρ.* Ald.; *ἡ παλ. ἡ κρ.* H. St.; *ἡ παλαιότητι ἡ κρ.* MV. Deinceps *ἰασαπὴς* M.

δὲ — ἀναγκαῖον] dedi cum UMV, mutato tamen *ἐνικμοτέραν* in *ἐνικμοτέρᾳ*; *δὲ ἡ ἐνικμοτέρα διὰ τὴν κάμψιν ἀναγκαῖον* Ald. et H. qui *ἀναγκαῖα* dedit; *δὲ ἡ ἐνικμοτέρα διὰ τὴν κ. γὰρ ἀναγκαῖα* St.; *δὲ διὰ τὴν κάμψιν ἡ ἐνικμοτέρα ἀναγκαία* Sch.

ἵσταται γὰρ καινὰ] dedi de conj. Schneideri in Comm.; *ἵστ. γὰρ καὶ νῦν* Ald. Edd. o. Deinde pro *συμπίῃ*, quod Ald. Edd. habent, scripsi *συμπαγῇ* ut sententia haec sit: Materies navalis ubi compacta est statim per aliquod tempus sub dio collocatur; dein quando glutine conjuncta sit in mare protracta coalescendo omnes rimas operit. Tamen vercor ne in verbis *ἵσταται γὰρ καὶ νῦν* gravius haereat vitium. Longe alia habuit G.: *Navis enim compacta: ut extra mare fidelior constat: et in mare protracta humorem imbibito* (an imbibit?): *se undique protinus comprimit atque rimis conjunctis omnibus continuat: nisi quicquam penitus exariuerit.*

ὅταν] *ὅσα ἂν* P.

πλὴν ἐὰν μὴ] sic correxi; *π. ἐάν τε* M; *π. ἐάν γε* Ald. Edd. Apertum est Th. dicere materiem siccam esse debere quae glutine conjungenda sit.

5. *καὶ καθ᾽ ἕκ.*] U Sch. syll.; *καὶ* om. Ald. Edd.; *νῦν καθ᾽ ἕκ.* Sch. cont.

ἄμφω καὶ οὐχ ἧττον εἰς ναυπηγίαν, οὐ μὴν ἀλλὰ τάχυ διασήπεται. δρῦς δὲ
πρὸς οἰκοδομίαν καὶ πρὸς ναυπηγίαν ἔτι τε πρὸς τὰ κατὰ γῆς κατορυττόμενα.
φίλυρα δὲ πρὸς τὰ σανιδώματα τῶν μακρῶν πλοίων καὶ πρὸς κιβώτια καὶ πρὸς
τὴν τῶν μέτρων κατασκευήν. ἔχει δὲ καὶ τὸν φλοιὸν χρήσιμον πρός τε τὰ
6. σχοινία καὶ πρὸς τὰς κίστας· ποιοῦσι γὰρ ἐξ αὐτῆς. σφένδαμνός τε καὶ ζυγία
πρὸς κλινοπηγίαν καὶ πρὸς τὰ ζυγὰ τῶν λοφούρων. μίλος δὲ εἰς παρακολλή-
ματα κιβώτοις καὶ ὑποβάθροις καὶ ὅλως τοῖς τοιούτοις. πρῖνος δὲ πρὸς ἄξο-
νας ταῖς μονοστρόφοις ἁμάξαις καὶ εἰς ζυγὰ λύραις καὶ ψαλτηρίοις. ὀξύη δὲ
πρὸς ἁμαξοπηγίαν καὶ διφροπηγίαν τὴν εὐτελῆ. πτελέα δὲ πρὸς θυροπηγίαν
καὶ γαλεάγρας· χρῶνται δὲ καὶ εἰς τὰ ἁμαξικὰ μετρίως. πηδὸς δὲ εἰς ἄξονάς
τε ταῖς ἁμάξαις καὶ εἰς ἔλκηθρα τοῖς ἀρότροις. ἀνδράχλη δὲ ταῖς γυναιξὶν
εἰς τὰ περὶ τοὺς ἱστούς. ἄρκευθος δὲ εἰς τεκτονίας καὶ εἰς τὰ ὑπαίθρια καὶ
7. εἰς τὰ κατορυττόμενα κατὰ γῆς διὰ τὸ ἀσαπές. ὡσαύτως δὲ καὶ ἡ εὐβοϊκὴ
καρύα, καὶ πρός γε τὴν κατόρυξιν ἔτι μᾶλλον ἀσαπής. πύξῳ δὲ χρῶνται μὲν
πρὸς ἔνια, οὐ μὴν ἀλλ' ἥ γε ἐν τῷ Ὀλύμπῳ γινομένη διὰ τὸ βραχεῖά τε εἶναι
καὶ ὀζώδης ἀχρεῖος. τερεβίνθῳ δὲ οὐδὲν χρῶνται πλὴν τῷ καρπῷ καὶ τῇ ῥη-
τίνῃ. οὐδὲ φιλύκῃ πλὴν τοῖς προβάτοις· ἀεὶ γάρ ἐστι δασεῖα. τῇ δὲ ἀφάρκῃ
εἰς χάρακάς τε καὶ τὸ καίειν. κηλάστρῳ δὲ καὶ σημύδᾳ πρὸς βακτηρίας. ἔνι-
οι δὲ καὶ δάφνῃ· τὰς γὰρ γεροντικὰς καὶ κούφας ταύτης ποιοῦσιν. ἰτέᾳ δὲ
πρός τε τὰς ἀσπίδας καὶ τὰς κίστας καὶ τὰ κανᾶ καὶ τἆλλα. προςαναλαβεῖν
8. δέ ἐστι καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως. διήρηται δὲ καὶ πρὸς τὰ τεκτονικὰ
9 II. 8 St. τῶν ὀργάνων ἕκαστα κατὰ τὴν χρείαν· οἷον σφυρίον μὲν καὶ τερέτριον ἄριστα

δρῦς] *δρυῒ* dedit St. et sic sequentia nomina usque ad *ἀρκεύθῳ*.

ἔτι τε] UM; *ἔτι δὲ* Ald. Edd.

τὰ σχοινία καὶ πρὸς] UMVP Sch.; om. Ald. Edd. St. interpunctione mutata *ἔχει καὶ* scripsit.

ποιοῦσι — αὐτῆς] Haec inutilia sunt ac vitiosa esse videntur; an fuit *πλέκουσι*? *αὐτοῦ* ded. H.

6. *τε καὶ*] UMV Ald. H.; *δὲ καὶ* Sch.

πρός] *πρός τε κλ.* H. St. — Dein *ξύγα* St.

ἄξονας ταῖς μονοστρόφοις ἁμάξαις] corr. Schn.syll.; *ἄξονάς τε καὶ μονοστρόφοις ἁμάξαις* UMV; *ἄξονάς τε καὶ μονοστρόφους ἁμάξας* Ald. Edd. o.

εἰς ζυγὰ λύραις] U Sch.syll.; *ἡ ζυγαλύραις* MV; *ὀξυγα λύρας* P; *ὀξυγα λύραις* Ald.; *πρὸς ξύγα λ.* H. St.; *πρὸς ζύγα ταῖς λύραις καὶ τοῖς ψαλτηρίοις* Sch.cont. — Dein *ψαλτήρια* P.

ὀξύη] UMV Sch.; *ὀξύα* Ald. Edd.

θυροπηγίαν] *θυροπηγίας* U.

γαλεάγρας] U H. St. Sch.; *γαλιάγρας* Ald.

πηδὸς] V Sch.; *πήδος* M; *πηδος* U; *πῆδος* P; *πύξος* Ald. Edd. In Comm. Schn. suspicatur *φηγὸς* scribendum esse. 4, 1, 3 est *πάδος*. Cf. Etym. M. 118, 45. 669, 39. Eustath. p. 613.

ἀνδράχλη] *ἀνδράχνη* Ald. Edd. o. Cf. ad 1, 5, 2.

τεκτονίας] Vox merito Schneidero suspecta.

7 *πρός γε τὴν*] Ald. Edd.; *πρός τε τ.* U; *πρός τι τὴν* M.

ἀσαπής] U Sch.syll.; *ἁπάσης* Ald. Edd. o.

τερεβίνθῳ] Sch.syll.; *τερεμίνθῳ* UM; *τερμίνθῳ* Ald. Edd. o. Dein *οὐδενὶ* St.

φιλύκῃ] His contradicere quae c. 6, 2 dicta sunt adnotant interpretes. Scaliger *φιλυρέᾳ* conjecit.

καὶ σημύδᾳ] sic conj. Schn. in Comm. nec comparato 3, 14, 4 sic scribere dubitavi; *καὶ μυῖα* U; *καὶ μύα* Ald.; *καὶ μία* mBas.; *μίᾳ* St.; om. G. — *κυλάστρῳ* M.

ταύτης] corr. H. Sch.; *ταύτας* UMV Ald.; *ἐκ ταύτης* St.

κίστας — τἆλλα] Ald. H.; addidit *τὰ τοιαῦτα* i. u. Sch.; *κίστας καὶ τἆλλα* St.; *κίστας καὶ τἆλλα καὶ τὰ κανᾶ καὶ τὰ ἄλλα* U; *Salicis ad scuta cistellas canistra et ejusmodi reliqua* G.

προςαναλαβεῖν] corr. Sch.; *προαναλαβεῖν* Ald. Edd.

μὲν γίνεται κοτίνου· χρῶνται δὲ καὶ πυξίνοις καὶ πτελεΐνοις καὶ μελεΐνοις· τὰς δὲ μεγάλας σφύρας πιτυΐνας ποιοῦσιν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ἔχει τινὰ τάξιν. καὶ ταῦτα μὲν αἱ χρεῖαι διαιροῦσιν.

Cap. VIII. Ἑκάστη δὲ τῆς ὕλης ὥςπερ καὶ πρότερον ἐλέχθη διαφέρει κατὰ
τοὺς τόπους· ἔνθα μὲν γὰρ λωτὸς ἔνθα δὲ κέδρος γίνεται θαυμαστὴ καθάπερ
καὶ περὶ Συρίαν· ἐν Συρίᾳ γὰρ ἔν τε τοῖς ὄρεσι διαφέροντα γίνεται τὰ δένδρα
τῆς κέδρου καὶ τῷ ὕψει καὶ τῷ πάχει· τηλικαῦτα γάρ ἐστιν ὥστ᾽ ἔνια μὲν μὴ
δύνασθαι τρεῖς ἄνδρας περιλαμβάνειν· ἔν τε τοῖς παραδείσοις ἔτι μείζω καὶ
καλλίω. φαίνεται δὲ καὶ ἐάν τις ἐᾷ καὶ μὴ τέμνῃ τόπον οἰκεῖον ἕκαστον ἔχον
γίνεσθαι θαυμαστὸν τῷ μήκει καὶ πάχει. ἐν Κύπρῳ γοῦν οὐκ ἔτεμνον οἱ βα-
σιλεῖς ἅμα μὲν τηροῦντες καὶ ταμιευόμενοι ἅμα δὲ καὶ διὰ τὸ δυςκόμιστον
εἶναι. μῆκος μὲν ἦν τῶν εἰς τὴν ἑνδεκήρη τὴν Δημητρίου τμηθέντων τρις-
καιδεκαόργυιον, αὐτὰ δὲ τὰ ξύλα τῷ μήκει θαυμαστὰ καὶ ἄοζα καὶ λεῖα. μέ-
γιστα δὲ καὶ παρὰ πολὺ τὰ ἐν τῇ Κύρνῳ φασὶν εἶναι· τῶν γὰρ ἐν τῇ Λατίνῃ
καλῶν γινομένων ὑπερβολῇ καὶ τῶν ἐλατίνων καὶ τῶν πευκίνων — μείζω γὰρ
ταῦτα καὶ καλλίω τῶν ἰταλικῶν — οὐδὲν εἶναι πρὸς τὰ ἐν τῇ Κύρνῳ. πλεῦ- 2.
σαι γάρ ποτε τοὺς Ῥωμαίους βουλομένους κατασκευάσασθαι πόλιν ἐν τῇ νήσῳ
πέντε καὶ εἴκοσι ναυσὶ καὶ τηλικοῦτον εἶναι τὸ μέγεθος τῶν δένδρων ὥστε εἰς-
πλέοντας εἰς κόλπους τινὰς καὶ λιμένας διασχισθεῖσι τοῖς ἱστοῖς ἐπικινδυνεῦ-
σαι. καὶ ὅλως δὲ πᾶσαν τὴν νῆσον δασεῖαν καὶ ὥςπερ ἠγριωμένην τῇ ὕλῃ·

8. *πτελ. καὶ μελ.*] UM$_2$; *καὶ μελ.* om. M$_1$. — Paulo ante *δὲ* om. U. Verba *τὰς δὲ — ποιοῦσιν* in editione Sch. casu exciderunt.

Cap. VIII.

τόπους] corr. Scal. H. St. Sch.; *πόδας* Ald.; *pro loci natura* G.

ἐν Συρ.] *ἐν* om. H.

ἔν τε τοῖς ὀρ.] Ald. H. St.; *τε* om. Sch.

περιλαμβάνειν] Ald. Edd.; *παραλ.* UMV.

ἔν τε τοῖς π.] U, *ἐν* a s. m. superscriptum; *τε τοῖς π.* MV; *τοῖς δὲ π.* Ald. H.; *ἐν τοῖς δὲ π.* St.; *ἐν δὲ τοῖς π.* Sch.

ἔτι μείζω] U Sch.; *ἔτι καὶ μ.* Ald. Edd.

ἔχον] om. M.

ἅμα μὲν — ταμιευόμενοι] U Sch.syll.; om. Ald. Edd.; post *βασιλεῖς* i. u. *τὴν ὕλην δι᾽ ἀγνοίαν* add. Sch.cont. cum G.: qui *cum ex imperitia* de suo addidisse videtur.

ἑνδεκήρη] Bas. H. etc.; *ἐνδ.* Ald. Cam.; *ἑνδέκηρα* P.

Δημητρίου] *Poliorcetis.* Cf. Plut. Vit. Demetr. c. 43.

τριςκαιδεκαόργυιον] corr. Schn.; *τρειςκαιδεκαόργυιον* Ald.; *τριςκαιδεκώρυτον* U; *τριςκαιδεκωρττον* MV; *τρεις καιδεκόργυιον* P; *τρεῖς καὶ δέκα ὀργυιῶν* H. St.

κύρνῳ] *κορσικῇ* mBas.

μείζω — εἶναι] UMV. *Quamvis enim in latino agro pini et abietes tum magnitudine tum pulchritudine inter omnes italicas praestant: tamen ad earum rationem, quas corsica gignit, pro nullo certe habentur* G.; *μείζω τ. κ. κ. τ. ἰ.· οὐδὲν γὰρ εἶναι* Ald. H. St.; *μείζω τ. κ. κ.· τὰ δ᾽ ἰταλικὰ οὐδὲν εἶναι* de conj. Sch.

2. *πόλιν*] mBas. St. Sch.; *condendi causa oppidi* G.; *πλοῖον* UMV Ald. H.

εἰςπλέοντας] U Sch.syll.; *τοὺς πλέοντας* Ald. H. Sch.

διασχισθεῖσι τοῖς ἱστοῖς] U; *διασχίοισι τ. ἱ.* V; *διασχίασι τ. ι.* M; *διασχίζειν τοὺς ἱστοὺς* Vinar. Vo. cod.Casaub. Sch.; *διασχίεισι τοῖς ἱστοῖς ἐπὶ τὸν πυκνὸν* Ald.; *διασχίζεσθαι τοὺς ἱστοὺς ἐπὶ τὸ πυκνὸν* conj. Scal.; *διασχίσαι τοὺς ἱστοὺς ἐπὶ τῷ πυκνῷ* conj. Dalecamp.; *διασχιεῖσι τοῖς ἱστοῖς ἐπὶ τὸν πυκνὸν* H.; *διασχίζεσθαι τοὺς ἱστοὺς ἐπὶ τὸν πυκνὸν* St.

ἐπικινδυνεῦσαι] dedi de conj.; *ἐπὶ τὸν πύκνσον* Ald.; *πυκνον* sine accentu dat U. Editorum mutationes vide in lemmate proximo. Versio Gazae: *ut navigantes per sinus quosdam et portus nexus densaque malis perscinderent* nec aliis nec nobis intelligitur.

ὅλως δὲ] U Sch.syll.; *ὅλως καὶ* M; *ὅλας καὶ* V; *δὲ* om. Ald. Edd.

δι' ὃ καὶ ἀποστῆναι τὴν πόλιν οἰκίζειν· διαβάντας δέ τινας ἀποτεμέσθαι πάμπολυ πλῆθος ἐκ τόπου βραχέος ὥστε τηλικαύτην ποιῆσαι σχεδίαν ἣ ἐχρήσατο πεντήκοντα ἱστίοις· οὐ μὴν ἀλλὰ διαπεσεῖν αὐτὴν ἐν τῷ πελάγει. Κύρνος μὲν οὖν εἴτε διὰ τὴν ἄνεσιν εἴτε καὶ τὸ ἔδαφος καὶ τὸν ἀέρα πολὺ διαφέρει τῶν
3. ἄλλων. ἡ δὲ τῶν Λατίνων ἔφυδρος πᾶσα· καὶ ἡ μὲν πεδεινὴ δάφνην ἔχει καὶ μυρρίνους καὶ ὀξύην θαυμαστήν· τηλικαῦτα γὰρ τὰ μήκη τέμνουσι ὥστ' εἶναι διανεκῶς τῶν τυρρηνίδων ὑπὸ τὴν τρόπιν· ἡ δὲ ὀρεινὴ πεύκην καὶ ἐλάτην. τὸ δὲ Κιρκαῖον καλούμενον εἶναι μὲν ἄκραν ὑψηλὴν δασεῖαν δὲ σφόδρα καὶ ἔχειν δρῦν καὶ δάφνην πολλὴν καὶ μυρρίνους. λέγειν δὲ τοὺς ἐγχωρίους ὡς ἐνταῦθα ἡ Κίρκη κατῴκει καὶ δεικνύναι τὸν τοῦ Ἐλπήνορος τάφον ἐξ οὗ φύονται μυρρίναι καθάπερ αἱ στεφανώτιδες τῶν ἄλλων ὄντων μεγάλων μυρρίνων. τὸν δὲ τόπον εἶναι καὶ τοῦτον νέαν πρόςθεσιν καὶ πρότερον μὲν οὖν νῆσον εἶναι τὸ
9St. Κιρκαῖον, νῦν δὲ ὑπὸ ποταμῶν τινων προςκεχῶσθαι καὶ εἶναι ἠϊόνα. τῆς δὲ νήσου τὸ μέγεθος περὶ ὀγδοήκοντα σταδίους. καὶ τὰ μὲν τῶν τόπων ἴδια πολλὴν ἔχει διαφορὰν ὥςπερ εἴρηται πολλάκις.

10H. Cap. IX. Τὸ δὲ καὶ πρὸς τὴν πύρωσιν πῶς ἑκάστη τῆς ὕλης ἔχει λεκτέον ὁμοίως καὶ πειρατέον λαβεῖν. ἄνθρακες μὲν οὖν ἄριστοι γίνονται τῶν πυκνοτάτων οἷον ἀρίας δρυὸς κομάρου· στερεώτατοι γὰρ ὥστε πλεῖστον χρόνον ἀντέχουσι καὶ μάλιστα ἰσχύουσι, δι' ὃ καὶ ἐν τοῖς ἀργυρείοις τούτοις χρῶνται πρὸς τὴν πρώτην τούτων ἔψησιν. χείριστοι δὲ τούτων οἱ δρύϊνοι· γεωδέστατοι γάρ· χείρους δὲ καὶ οἱ τῶν πρεσβυτέρων τῶν νέων, καὶ μάλιστα οἱ τῶν γερανδρύων διὰ ταὐτό· ξηρότατοι γὰρ δι' ὃ καὶ πηδῶσι καιόμενοι· δεῖ δὲ ἐνικ-

διαβάντας δέ τινας] corr. St. Sch. in Comm. et Syll. sensu flagitante; *sed nonnullos ingressos* G.; *διαβάντα δέ τινα* Ald. H.

ἀποτεμέσθαι] U, Sch. in Syll.; *ἀποτέμνεσθαι* Ald. Edd.

ἣ ἐχρήσατο π. ἱστ.] de conj. Sch.; *ἣ ἐχρήσαντο οἱ πεντήκοντα ἱστίοις* Ald. H.; *ὥστ' ἑλκύσαι π. ἱστ.* e conj. Scaligeri dedit St. Etenim G.: *ut ratem perconderent quinquaginta velis ducendam.*

3. *πεδεινὴ*] Cf. ad 3, 2, 4. *πεδινὴ* MV et U ex corr. Vo. St. Sch.; *πεδάνη* Ald.; *πεδανὴ* H.

μυρρίνους] U Sch.syll.; *μυρίνους* MV; *μυρρίνην* Ald. Edd.

διανεκῶς] corr. Sch.; *διὰ νεὼς* Ald. Edd.; *ut pro carina etruscis navibus possit sufficere* G.

μυρρίνους] MV Sch.; *μυρρίνην* Ald. Edd.

ἐγχωρίους] *ἐγχυρίους* H. — *λέγει* MV.

δεικνύναι] Ald. Edd.; *δεικνύουσι* e conj. Sch.

τὸν δὲ τόπον εἶναι καὶ τοῦτον] UMV Sch. syll.; *καὶ* om. Ald. Edd.; *τὸν δὲ τάφον εἶναι τοῦτον* St.

νέαν πρόςθεσιν] scripsi de conj.: *hunc locum recenti tempore continenti terrae adjunctum esse. εἰς ἀνδρὸς θέσιν* Ald. Edd. o.; *τὸν — θέσιν* om. G. Interpretum commenta referre supersedeo.

καὶ τὰ μὲν τῶν] UMV Ald. Sch.; *καὶ κατὰ μὲν τῶν* H.; *καὶ κατὰ μὲν τὰ τῶν* St.; *sed pro locorum propriis permulta magnaque exultant discrimina* G. — Dein *ὥσπερ* om. St.; *τῶν* om. V.

ἔχει] corr. Sch.; *εἶναι* Ald. Edd.

Cap. IX.

δὲ καὶ] UMVP Sch.syll.; *καὶ* om. Ald. Edd.

λαβεῖν] *τὰς διαφορὰς* add. St. et Sch. i. u.

ἀργυρείοις] Ald. Edd. o.; *ἀργυρίοις* UMV; *ἀργυρέοις* P.

τῶν νέων] Ald. Edd. o. Schn. *ἢ* additum voluit sed non addidit.

γερανδρύων] *μελανδρύων* conj. Coraes. Differunt *τὰ πρεσβύτερα* et *τὰ γεράνδρυα* ut Comparativus a Superlativo. *γεράνδρυα* omnes arbores sylvestres audiunt seniles et ad mortem vergentes. Cf. 2, 7, 2.

ταὐτὸ] *τ' αὐτὸ* H. St. ut saepe.

καὶ μάλ.] *τῶν μάλ.* H.; *καὶ τούτων μ.* St.

μον εἶναι. βέλτιστοι δὲ οἱ τῶν ἐν ἀκμῇ καὶ μάλιστα οἱ τῶν κολοβῶν· συμμέτρως γὰρ ἔχουσι τῷ πυκνῷ καὶ γεώδει καὶ τῷ ὑγρῷ· βελτίους δὲ καὶ ἐκ τῶν εὐείλων καὶ ξηρῶν καὶ προςβόρρων ἢ ἐκ τῶν παλισκίων καὶ ὑγρῶν καὶ πρὸς νότον· καὶ εἰ ἐνικμοτέρας ὕλης, πυκνῆς· ὑγροτέρα γὰρ ἡ πυκνή. καὶ ὅλως ὅσα ἢ φύσει ἢ διὰ τὸν τόπον ξηρότερον πυκνότερα ἐξ ἁπάντων βελτίω διὰ τὴν αὐτὴν αἰτίαν. χρεία δὲ ἄλλων ἄλλη· πρὸς ἔνια γὰρ ζητοῦσι τοὺς μαλακοὺς οἷον ἐν τοῖς σιδηρείοις τοὺς τῆς καρύας τῆς εὐβοϊκῆς, ὅταν ἤδη κεκαυμένος ᾖ καὶ ἐν τοῖς ἀργυρείοις τοὺς πιτυΐνους. χρῶνται δὲ καὶ αἱ τέχναι τούτοις. ζητοῦσι δὲ καὶ οἱ χαλκεῖς τοὺς πευκίνους μᾶλλον ἢ δρυΐνους· καίτοι ἀσθενέστεροι ἀλλ' εἰς τὴν φύσησιν ἀμείνους ὡς ἧσσον καταμαραινόμενοι· ἔστι δὲ ἡ φλὸξ ὀξυτέρα τούτων. τὸ δὲ ὅλον ὀξυτέρα φλὸξ καὶ ἡ τούτων καὶ ἡ τῶν ξύλων τῶν μανῶν καὶ κούφων καὶ ἡ τῶν αὔων· ἡ δ' ἐκ τῶν πυκνῶν καὶ χλωρῶν νωθεστέρα καὶ παχυτέρα· πασῶν δὲ ὀξυτάτη ἡ ἐκ τῶν ὑλημάτων· ἄνθρακες δὲ ὅλως οὐ γίνονται διὰ τὸ μὴ ἔχειν τὸ σωματῶδες. τέμνουσι δὲ καὶ ζητοῦσι εἰς τὰς ἀνθρακιὰς τὰ εὐθέα καὶ τὰ λεῖα· δεῖ γὰρ ὡς πυκνότατα συν-

(margin: 2. beside line 1; 3. beside line 10; 4. beside line 15)

2. *κολοβῶν*] conj. Palmer. Ex. p. 601 Scalig. Sch.; *κολλάβων* U; *κολάβων* Ald.; *καὶ — κολοβῶν* om. G.

συμμέτρως] *σύμμετροι* St.

ἔχουσι] U Sch.syll.; om. Ald. Edd. Schn. *ἔχουσι* i. u. inseruerat post *ὑγρῷ*.

δὲ καὶ ἐκ τῶν] dedi e conj.; *δὲ οἱ τῶν* Ald. H. St.; *δὲ καὶ οἱ τῶν* UMVP; *δὲ καὶ οἱ ἐκ τῶν* Schn.

εὐείλων] corr. Sch.; *εὐήλων* UMV; *εὐηλίων* Ald. Edd.

προςβόρρων] UMV Sch.syll.; *προςβορείων* Ald. Edd. o.

ἢ ἐκ τῶν] UMV; *ἢ οἱ ἐκ τῶν* Ald. Edd. o.

καὶ εἰ ἐνικμοτέρας ὕ. π.] sic dedi e conj.; *καὶ οἱ ἐν ἀκμητέρας ὕ. π.* Ald. Bas. Cam.; *καὶ οἱ* (an vere sic?) *ἐνακμωτέρας* U; *καὶ ἡ ἐν ἀκμητέρας* MV; *καὶ οἱ ἐνικμωτέρας ὕ. π.* H.; *καὶ οἱ ἐξ ἐνικμοτέρας ὕλης καὶ π.* St.; *καὶ οἱ ἐνικμοτέρας ὕλης καὶ πυκνῆς* Schn. Idem in Auct. conj. *καὶ οἱ ἐξ ἀραιοτέρας ὕλης ἢ πυκνῆς*. G.: *generis item siccioris quantum spissius est carbonem praestat commodiorem. Quo spissius enim humidius est atque in totum odoris vel natura loci siccioris pars spissior commodior eadem de causa est.* Equidem lenissima mutatione vitium sustuli, quamquam fateor me nimis breviloquum Theophrastum fecisse. Sensus: *si vero carbones e ligno humidiore fiunt, debent e denso fieri: hoc enim plus habet succi.* Animadvertendum autem, quod antea dixerat *δεῖ δὲ ἔνικμον εἶναι* et omnino quae paragrapho secunda dicta sunt, ad carbones ipsos pertinere: nunc vero, paragrapho tertia, exponi qualia esse debeant ligna e quibus fiant carbones. Ligna, inquit, meliora quae in siccis nata sunt; si vero humida ligna sumantur, densa esse debent. Densa enim plus habent succi, id quod carbonibus aptum. Tenuia vero, si humida, non succo sed alio minus bono humore plena sunt.

ξηρότερον πυκνότερα] dedi de conj.; *ξηρότερα πυκνότερα* UMV; *πυκνότερα ξηρότερα* Ald.; *πυκνότερα καὶ ξηρότερα* H. St. Sch. et inverso ordine idem in Syll. Sensus est: Ac omnino quae sunt vel natura vel propter locum sicciorem inter omnia materiei genera maxime densa, ea propter eandem causam ad carbones conficiendos meliora.

βελτίω] corr. Sch.; *βελτίων* UM; *βέλτιον* Ald. H.; *βελτίονα* St.

οἷον] mBas. H. St. Sch.; *οἷς* UMV Ald.

σιδηρείοις] St. Sch.; *σιδηρίοις* Ald. H.

ἀργυρείοις] St. Sch.; *ἀργυρίοις* Ald. H.

3. *ἀσθενέστεροι*] UMV mBas. St. Sch.; *εὐσθενέστεροι* Ald. H.

καὶ ἡ τῶν ξ.] U St. Sch.; *ἡ* om. Ald. H. Deinceps *ἡ τῶν μανῶν* Ald. H., ubi *ἡ τῶν* om. St.

νωθεστέρα] U Sch.syll.; *νωθροτέρα* Ald. Edd. o.

ἡ ἐκ] U St. Sch.; *ἡ* om. Ald. H.

δὲ ὅλως οὐ] U Sch.syll.; *ὅλως* om. Ald. Edd. o.

τὸ σωμ.] *τι σωμ.* St.

4. *ζητοῦσι*] *ζητοῦσιν* U; *κ τοῦσιν* superscripto *η* V; *κ τοῦσιν* M; *ἐκζητοῦσιν* Ald. Edd. o.

ἀνθρακιὰς] Ald. Edd.; *ἀνθρακείας* Sch.

λεῖα] corr. Scal. Sch.; *levia* G.; *νέα* Ald. Edd.

θεῖναι πρὸς τὴν κατάπνιξιν. ὅταν δὲ περιαλείψωσι τὴν κάμινον ἐξάπτουσι παρὰ μέρος παρακεντοῦντες ὀβελίσκοις. εἰς μὲν τὴν ἀνθρακιὰν τὰ τοιαῦτα
5. ζητοῦσι. δύςκαπνα δὲ τῷ γένει μὲν ὅλως τὰ ὑγρά· καὶ τὰ χλωρὰ διὰ τοῦτο δύςκαπνα. λέγω δὲ τὰ ὑγρὰ τὰ ἕλεια οἷον πλάτανον ἰτέαν λεύκην αἴγειρον· ἐπεὶ καὶ ἡ ἄμπελος ὅτε ὑγρὰ δύςκαπνος. ἐκ δὲ τῆς ἰδίας φύσεως ὁ φοῖνιξ ὃν δὴ καὶ μάλιστά τινες ὑπειλήφασι δύςκαπνον· ὅθεν καὶ Χαιρήμων ἐποίησε „τοῦ τε δυςκαπνοτάτου φοίνικος ἐκ γῆς ῥιζοφοιτήτους φλέβας.“ δριμύτατος δὲ ὁ καπνὸς συκῆς καὶ ἐρινεοῦ καὶ εἴ τι ἄλλο ὀπῶδες· αἰτία δὲ ἡ ὑγρότης· φλοϊσθέντα δὲ καὶ ἀποβρεχθέντα ἐν ὕδατι ἐπιρρύτῳ καὶ μετὰ ταῦτα ξηρανθέντα πάντων ἀκαπνότατα καὶ φλόγα μαλακωτάτην ἀνίησιν ἅτε καὶ τῆς οἰκείας ὑγρότητος ἐξῃρημένης. δριμεῖα δὲ καὶ ἡ τέφρα καὶ ἡ κονία ἡ ἀπ' αὐτῶν. μάλιστα
6. δέ φασι τὴν ἀπὸ τῆς ἀμυγδαλῆς. πρὸς δὴ τὰς καμινίας καὶ τὰς ἄλλας τέχνας ἄλλη ἄλλοις χρησίμη. ἐμπυρεύεσθαι δὲ ἄριστα συκῇ καὶ ἐλάᾳ· συκῇ μὲν ὅτι γλίσχρον τε καὶ μανὸν ὥστε ἕλκει τε καὶ οὐ δίεισιν· ἐλάα δὲ ὅτι πυκνὸν καὶ λιπαρόν. πυρεῖα δὲ γίνεται μὲν ἐκ πολλῶν, ἄριστα δὲ ὥς φησι Μενέστωρ ἐκ κιττοῦ· τάχιστα γὰρ καὶ πλεῖστον ἀναπνεῖ. πυρεῖον δέ φασιν ἄριστον μὲν ἐκ τῆς ἀθραγένης καλουμένης ὑπό τινων· τοῦτο δ' ἐστὶ δένδρον ὅμοιον τῇ ἀμπέλῳ καὶ τῇ οἰνάνθῃ τῇ ἀγρίᾳ· ὥςπερ ἐκεῖνα καὶ τοῦτο ἀναβαίνει πρὸς τὰ
7. δένδρα. δεῖ δὲ τὴν ἐσχάραν ἐκ τούτων ποιεῖν τὸ δὲ τρύπανον ἐκ δάφνης· οὐ

συνθεῖναι] U, Sch. in Syll.; *θεῖναι* Ald. Edd.

κατάπνιξιν] U, Sch. in Syll.; *κατάπληξιν* Ald.; *κατάκαυσιν* conj. Scal.; *κατάπρηξιν* H. St.; *κατάπρησιν* Sch.cont.; *κατάπλησιν* MV.

παρὰ μέρος] Haec verba solus praebet U.

ἀνθρακιὰν] H.; *ἀνθρακίαν* Ald. St.; *ἀνθρακείαν* Sch.

5. *ὅλως*] Ald. Edd.; *ὅλῳ* MV.

τὰ ὑγρὰ] UP Sch.syll.; *τὰ* om Ald. Edd. — Exc. P2: *δύςκαπνα δὲ τὰ ἐν ὑγροτέροις τόποις οἷον πλάτανος ἰτέα οὔλη. αἰτία δ' ἡ ὑγρότης.*

ἐπεὶ καὶ] *ἔτι καὶ* St.

τινες] *τινος* H.

Χαιρήμων] H. St. Sch.; *χερήμων* Ald.; *chermonis* G.

δυςκαπνοτάτου] *δυςκαπνωτάτου* Scaliger St.

φλοϊσθέντα] Vo. Scal. H. St. Sch.; *decorticata* G.; *φλογισθέντα* Ald.; *ἐκφλοισθέντα* P2.

ἀνίησιν] P2; *ἀφίησιν* Ald. Edd. o.

ἀμυγδαλῆς] P2 Sch.; *ἀμυγδάλης* Ald. Edd.

6. *δὴ*] corr. Sch.; *δὲ* Ald. Edd. o.

καὶ—χρησίμη] dedi de conj.; *τ. ἀλλήλοις χρ.* U; *τ. ἀλλήλας χρ.* MV; — *τεχ. ἄλλη ἐστὶ χρ.* P; — *τ. ἀλλήλοις ἐστὶ χρησίμη* Ald. H.; — *τ. ἐστὶ χρ.* St.; *καὶ τὰς τέχνας ἄλλας ἄλλη ὕλη ἐστὶ χρησίμη* Sch. Sensus est: *Ad fornaces ac reliquas artes alia materies alium cedit in usum.*

ἐμπυρεύεσθαι δὲ ἄριστα] *ἐμπορεύεσθαι δὲ ἄριστα* UMV; *ἐμπορεύεσθαι δὲ ἀρίστη* P; *ἐμπορεύεται δὲ ἀρίστη* Ald. H.; *ἐμπυρεύεσθαι δὲ ἀρίστη* St. Sch.

πυρεῖα δὲ γίνεται μὲν] corr. cum Sch.; *πυρία μὲν γίνεται δὲ* UMV Ald. Edd. Ceterum *πυρὰ* H.; *πυρεῖα* St.; *πυρὰ μὲν γίνεται* Vo.

κιττοῦ] corr. Bod. e Plinio 16, 140 et Theophrasti Fragm. de igne Sch.; *καρύου* Ald. Edd.

πυρεῖον δὲ] corr. Salm. Ex. 126. St.; *πυροὶ δὲ* UMV Ald.; *πυρίον δὲ* H. Sch.

ἄριστον] *ἄρισται* UM1V; *ἄριστοι* P.

ἀθραγένης] *ἀτραγένης* St. Dein *δὲ τὸ δένδρον ὅμ. ἐστι τῇ* St. Verba *τῇ ἀμπέλῳ καὶ τῇ ἀγρίᾳ* Salmas Ex. p. 126. vult deleri ut ex interpretatione orta.

ὥςπερ ἐκεῖνα] *καὶ ὥ. ἐκείνη* St. Forsitan *ὡς γὰρ ἐκ* scriptum fuit.

γὰρ ἐκ ταὐτοῦ τὸ ποιοῦν καὶ πάσχον, ἀλλ' ἕτερον εὐθὺ δεῖ κατὰ φύσιν καὶ τὸ μὲν δεῖ παθητικὸν εἶναι τὸ δὲ ποιητικόν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ αὐτοῦ γίνεται καὶ ὥς γέ τινες ὑπολαμβάνουσιν οὐδὲν διαφέρει. γίνεται γὰρ ἐκ ῥάμνου καὶ πρίνου καὶ φιλύρας καὶ σχεδὸν ἐκ τῶν πλείστων πλὴν ἐλάας· ὃ καὶ δοκεῖ ἄτοπον εἶναι· καὶ γὰρ σκληρότερον καὶ λιπαρὸν ἡ ἐλάα· τοῦτο μὲν οὖν ἀσύμμετρον ἔχει δῆλον ὅτι τὴν ὑγρότητα πρὸς τὴν πύρωσιν. ἀγαθὰ δὲ τὰ ἐκ ῥάμνου· ποιεῖ δὲ τοῦτο καὶ τὴν ἐσχάραν χρηστήν· πρὸς γὰρ τῷ ξηρὰν καὶ ἄχυμον εἶναι δεῖ καὶ μανοτέραν ἵν' ἡ τρίψις ἰσχύῃ, τὸ δὲ τρύπανον ἀπαθέστερον· δι' ὃ τὸ τῆς δάφνης ἄριστον· ἀπαθὲς γὰρ ὂν ἐργάζεται τῇ δριμύτητι. πάντα δὲ τὰ πυρεῖα βορείοις μὲν θᾶττον καὶ μᾶλλον ἐξάπτεται νοτίοις δὲ ἧττον· καὶ ἐν μὲν τοῖς μετεώροις μᾶλλον ἐν δὲ τοῖς κοίλοις ἧττον. ἀνίει δὲ τῶν ξύ- 8.
λων τὰ κέδρινα καὶ ἁπλῶς ὧν ἐλαιώδης ἡ ὑγρότης· δι' ὃ καὶ τὰ ἀγάλματά φασιν ἰδίειν ἐνίοτε· ποιοῦσι γὰρ ἐκ τούτων. ὃ δὲ καλοῦσιν οἱ μάντεις Εἰλειθυίας ἄφεδρον ὑπὲρ οὗ καὶ ἐκθύονται, πρὸς τοῖς ἐλατίνοις γίνεται συνισταμένης τινος

7. *ταὐτοῦ*] *τούτου* U; *τοῦ αὐτοῦ* Ald. Edd. o.

καὶ πάσχον] Ald. Edd.; *καὶ τὸ πάσχον* Sch.

εὐθὺ δεῖ] U; *εὐθυδεῖ* MV Ald.; *εὐθετεῖ* H.; *εὐθὺς δεῖ εἶναι* Sch.; *ἑτέρως δεῖ εἶναι* St.

γίνεται] U St. Sch.syll.; *ξύλον* anteposuit St.; *ἐγγίνεται* Ald. H. Sch. Dein *ὥστε τινὲς* UMV.

γίνεται γὰρ — τὴν πύρωσιν] Totum hoc membrum in libris legitur post verba *ἐργάζεται τῇ δριμύτητι.* Transponendum esse vidit primus Schn., nec dubitavi id suo loco reponere, quo cum praegressis optime cohaereat et sequentia recte procedant, cum illo modo sententiarum ordo et nexus prorsus turbatus sit.

πρίνου] Ald. Edd.; *πρίμνου* UMV. ,,An fuit *προύμνου?*" Sch.; *γίνεται καὶ ἐκ πρίνου* scripsit St.

ἀσυμμ. ἔχει] *ἀ. ἐστι* St.

δὲ τὰ ἐκ ῥ.] sic correxi; *δέ καὶ ἐκ ῥ.* Ald. Edd.; *δὴ καὶ ἐκ ῥ.* maluit Sch.

πρὸς γὰρ τῷ] Ald. Edd.; *π. γ. τὸ* U.

ἄχυμον] Ald. Edd.; *ἄχυλον* Sch. — *μανωτέραν* Ald.; *ἄχυμον δεῖ δὲ μανωτέραν εἶναι ἵν'* St.

ἄριστον· ἀπαθὲς γὰρ ὂν] Levi mutatione, quae peti poterat e verbis ,,*ἅμα γὰρ ἀπαθὲς ὂν ἐργ. τ. δρ.*" in Fragm. de Igne §. 64 ed. Sch., correxi locum vexatum; *ἄριστον ἀπαθέστερον* U qui solus voc. *ἄριστον* praebet; nam Ald. H. *ἀπαθέστερον,* cui *ὂν* addidere St. Sch., in Syll. vero Schn. scribi vult: *τ. τ. δάφνης ἄριστον· ἀπαθέστερον γὰρ καὶ ἐργάζεται.*

πυρεῖα] U Sch. in Comm.; *πυρὰ* Ald. H.; *πάντα δὲ πυρεῖα* St.; *πυρία* Sch.

8. *ἀνίει*] Sch.; *ἀνιει* H.; *ἀνήει* Ald. St.

ἰδίειν] Ald. H. Sch.; *ἱδρίειν* conj. Scalig.; *ἱδρόειν* St.

οἱ μάντεις Εἰλειθυίας ἄφεδρον — τοῖς ἐλατίνοις γίνεται] Scripsi ex emendatione Lobeckii. ,,Mihi si quis dederit ut pro *ιλειαν της,* quod pro desperato abjecit Schneiderus, scribatur *οἱ μάντεις,* haud magno negotio totum locum sic restituam: *ὃ δὲ καλοῦσιν οἱ μάντεις Εἰλειθυίας ἄφεδρον, ὑπὲρ οὗ καὶ ἐκθύονται, πρὸς τοῖς ἐλατίνοις γίνεται συνισταμένης* etc. Illos, qui de parvis magnifice loqui amarunt, excrescentia stipitum *Εἰλειθυίας ἄφεδρον,* id est purgationes, nominasse, veri non absimile videtur." Aglaoph. p. 882. Imo librorum scriptura *οἱ λειαν της* propius abest ab eo, quod vir doctissimus ingeniosa reperit conjectura. Quamobrem quin *οἱ μάντεις* reponendum sit, quod et ratio sententiae et locus parallelus C. pl. 5, 4, 4 commendat, dubitatione carere credo. Sed in altera emendationis parte, in voce *ἄφεδρον,* haereo. Quae enim hic *εἰλειθυίας ἄφεδρον* vocari dicuntur, eadem loco altero simpliciter *εἰλειθυίας* appellari? Interim virum doctissimum sequor. Quod tertium correxit, *ἐλατίνοις,* quod et ipse jamdudum inveneram, et a loco laudato et a verbis proximis *τὰ κέδρινα, τὰ ἐλάϊνα* confirmatur. His ita compositis librorum scripturas et doctorum hominum conjecturas expono. *ἰλεῖαν τῆς εἰληθυίας ἔφυδρον — τοὺς ἑκατίνους γιν.* Ald., H. (qui *ἱλεῖαν*), Sch.; *ἱλεῖαν τὸ τῆς* etc. St.; *οἱ λεῖαν — τοῖς ἑκατίνοις* U; *οἰλείαν — τοὺς ἐκματίνους* V; *οἱ λεῖαν τῆς εἰληθήας — τοῖς ἐκματίνοις* M, sed in M2 cum p. sub *μ*; *οἱ λεῖαν τῆς ἀλη-*

ὑγρότητος, τῷ σχήματι μὲν στρογγύλον μέγεθος δὲ ἡλίκον ἄπιον ἢ καὶ μικρῷ μεῖζον ἢ ἔλαττον. ἐκβλαστάνει δὲ μάλιστα τὰ ἐλάϊνα καὶ ἀργὰ κείμενα καὶ εἰργασμένα πολλάκις, ἐὰν ἰκμάδα λαμβάνῃ καὶ ἔχῃ τόπον νοτερόν· ὥςπερ ἤδη τις στροφεὺς τῆς θύρας ἐβλάστησε καὶ εἰς κυλίκιον πλίνθινον τεθεῖσα κώπη ἐν πήλῳ.

ε
θυίας ἔφαιδρον — τοὺς ἑκατίνους P2. *Quod autem lucinam appellant et sacrificis observandum aruspices jubent concreto quodam humore extuberat magnitudine pyri* etc. G. Scaligeri nugas et Schneideri conjecturas jam taceo.

τινὸς ὑγρ.] UVP2; *τῆς ὑγρ.* Ald. Edd. o.; *concreto quodam humore* G.

στρογγύλον] corr. Sch.; *στρογγύλης* UMVP2 Ald.; *στρογγύλη* H. St.

ἄπιον] St. Sch.; *ἄπιος* Ald. H.; *ἡλίκος ἄπιος* P2.

νοτερὸν] Ald. Edd.; *νεοτερὸν* Bas.

ἤδη τις στροφεὺς] P2 Ald. Edd.; *ἤδη τις τροφεὺς* M1; *ἤδη ἔτις τροφεὺς* M2.

κυλίκιον] P2 mBas. Sch.; *κιλίκιον* M Ald. Edd. Posui dein conjecturam Sprengelii, qui vero *σὺν πήλῳ* scripserat; *πλίνθινον τεθεὶς τῇ κώπῃ πηλός* P2 Ald. H. Sch.; *καὶ ἡ κυλικίου πλινθίνου κώπη τεθεῖσα εἰς πηλόν* St.



ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Ζ.

Cap. I. Περὶ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται πρότερον· ἑπόμενον δ'
εἰπεῖν περί τε τῶν φρυγανικῶν καὶ ποιωδῶν καὶ εἴ τινες ἐν τούτοις ἕτεραι συμ-
περιλαμβάνονται φύσεις· οἷον ἥ γε σιτηρὰ ποιώδης ἐστί. πρῶτον δὲ λέγωμεν
περὶ τῆς φρυγανικῆς· αὕτη γὰρ ἐγγυτέρω τῶν προειρημένων διὰ τὸ ξυλώδης
εἶναι. πανταχοῦ μὲν οὖν ἴσως αἰεὶ τὸ ἄγριον τοῦ ἡμέρου πλεῖον, εἰ δὲ μὴ περί
γε τὴν φρυγανικὴν οὐσίαν· ὀλίγον γὰρ τὸ ἥμερον αὐτῆς, ὅπερ σχεδὸν ἐν τοῖς
στεφανωτικοῖς ἐστιν οἷον ῥοδωνία ἰωνία διόσανθος ἀμάρακος ἡμεροκαλλές, ἔτι
δὲ ἕρπυλλος σισύμβριον ἑλένιον ἀβρότονον. ἅπαντα γὰρ ταῦτα ξυλώδη καὶ
μικρόφυλλα δι' ὃ καὶ φρυγανικά. καὶ ἐπὶ τῶν λαχανηρῶν δ' ὁμοίως οἷον ῥά- 2.
φανος πήγανον καὶ ὅσα παραπλήσια τούτοις ἐστίν. ὑπὲρ ὧν οὐχ ἧττον ἴσως
ἁρμόττει κατὰ τὴν οἰκείαν προςηγορίαν εἰπεῖν ὅταν περὶ στεφανωμάτων καὶ
λαχάνων ποιώμεθα μνείαν. νῦν δὲ πρῶτον περὶ τῶν ἀγρίων λέγωμεν. ἔστιν
αὐτῶν εἴδη καὶ γένη πλείω ἃ δεῖ διαιρεῖν καὶ τοῖς καθ' ἕκαστον εἴδεσι καὶ τοῖς
ὅλοις γένεσι. μεγίστην δ' ἄν τις λάβοι διαφορὰν τῶν ὅλων γενῶν ὅτι τὰ μὲν

Cap. I.

ἥ γε σιτ.] Ald. H. Sch.; *ἥ τε σ.* UMV; *εἰ ἥ γε σ.* St. Post *σιτηρὰ* interpunxit Sch. et scripsit cum C. Hoffmann *ποώδης γάρ ἐστι.*

περὶ τῆς] Ald. Edd.; *ὑπὲρ τ.* UM.

ξυλώδης] *ξυλώδη* St.

μὲν οὖν] U Sch.syll.; *οὖν* om. Ald. Edd. o.

περί γε] UMVP Sch.; *περί τε* Ald. Edd.

ὅπερ] UV Ald. Sch.; *ὥςπερ* H. St.

ῥοδωνία ἰωνία] Cf. ad 1, 9, 4.; *ῥοδωνιὰ ἰωνιὰ* Ald. Edd. o.

ἡμεροκαλλὲς] UM St. Sch.syll.; *ἡμεροκαλὲς* Ald. H. Sch.

ἕρπυλλος] U; *ἕρπυλλος* M; *ἕρπυλος* Ald. Edd. o.

ἀβρότονον] U Vo. Sch.; *ἀβρότειον* Ald.; *ἀβρότανον* H. St.

ἑλένιον] *ἐλένιον* Ald. ut reliquis locis omnibus praeter 6, 7, 4 ubi *ἑλλένιον*, M *ἑλλενικὸν* habet. U habet C. pl. 6, 20 *ἑλένειον* et 6, 20, 3 *ἑλένειον* sed utroque loco *ε* in rasura, ceteris locis collatio tacet. Postremo loco *ἑλένιον* M. Schn. bis, hic et C. pl. 6, 11, 3 *ἑλένιον* ut in indice, reliquis omnibus *ἐλένιον* dedit; sed videtur ubique voluisse *ἑλένιον* dare, sicut scribunt Eustath. p. 1493 Hesych. Dioscor. 1, 15, 27. 28. *ἑλένειον* scribunt Etym. Choerob. in Cram. Anecd. II. p. 279. Nicand. ap. Athenae. 15. p. 684. I. Pollux 6, 106 (ubi ed. Bas 1536 *ἐλέεινον*).

2. *οἷον ῥάφ. πήγανον*] *οἷος ῥάφ. τήγανον* H.

καὶ γένη] corr. Sch.; *καὶ μέρη* Ald. H. St.

ἃ δεῖ — γένεσι.] Sch. de conj.; *καὶ τοῖς καθ' ἕκαστον γένος καὶ τοῖς ὅλοις εἴδεσιν, ἃ δεῖ διαιρεῖν* Ald. H. St. et G. qui pro *γένος* habuit *γένεσιν.*

ἀνάκανθα τὰ δὲ ἀκανθώδη τυγχάνει. πάλιν δ' ἐν ἑκατέρῳ τούτων πολλαὶ δια-
3. φοραὶ γενῶν καὶ εἰδῶν ὑπὲρ ὧν καθ' ἑκάτερα πειρατέον εἰπεῖν. τῶν ἀκανθικῶν
δὴ τὰ μὲν ἁπλῶς εἰσιν ἄκανθαι ὥςπερ ἀσφάραγος καὶ σκορπίος· οὐ γὰρ ἔχουσι
φύλλον οὐδὲν παρὰ τὴν ἄκανθαν. τὰ δὲ φυλλάκανθα καθάπερ ἄκανος ἠρύγγιον
κνῆκος· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐπὶ τῶν φύλλων ἔχει τὴν ἄκανθαν δι' ὃ καὶ
φυλλάκανθα καλεῖται. τὰ δὲ καὶ παρὰ τὴν ἄκανθαν ἕτερον ἔχει φύλλον ὥς-
περ ἡ ὀνωνὶς καὶ ὁ τρίβολος καὶ ὁ φέως ὃν δή τινες καλοῦσι στοιβήν. ὁ δὲ
τρίβολος καὶ περικαρπιάκανθός ἐστιν· ἔχει γὰρ ἀκάνθας ἐν τῷ περικαρπίῳ,
δι' ὃ καὶ τοῦτο ἴδιον πρὸς ἅπαντα ὡς εἰπεῖν· ἐπεὶ πτορθάκανθά γε πολλὰ καὶ
τῶν δένδρων καὶ τῶν θαμνωδῶν ἐστιν οἷον ἀχρὰς ῥόα παλίουρος βάτος ῥοδωνία
κάππαρις. ἐν μὲν οὖν τοῖς ἀκανθικοῖς ταύτας ἄν τις ὡς εἰπεῖν τύπῳ λάβοι τὰς
4. διαφοράς. ἐν δὲ τοῖς ἀνακάνθοις οὐκ ἔστιν οὕτως διαλαβεῖν τοῖς γένεσιν· ἡ
γὰρ τῶν φύλλων ἀνωμαλία μεγέθει καὶ μικρότητι καὶ σχήμασιν ἄπειρος καὶ
ἀσαφής· ἀλλὰ δεῖ πειρᾶσθαι κατ' ἄλλον τρόπον διαιρεῖν. πλείω δέ ἐστι τὰ
γένη τὰ τούτων καὶ διαφορὰς ἔχοντα μεγάλας, οἷον κίσθος μήλωθρον ἐρευθέ-
δανον σπείραια κνέωρον ὀρίγανος θύμβρα σφάκος ἐλελίσφακος πράσιον κόνυζα
μελισσόφυλλον ἕτερα τοιαῦτα· πρὸς τούτοις ἔτι τὰ ναρθηκώδη καὶ ἐννευρό-
καυλα καθάπερ μάραθον ἱππομάραθον ναρθηκία νάρθηξ καὶ τὸ καλούμενον ὑπό

καθ' ἑκατέρα] om. G.

3. *ἄκανθαι*] P_2 Ald. H. Sch.; *ex toto aculei sunt* G.; *ἀκανθικαὶ* St. Sed vocabant ipsas plantas aculeatas *ἄκανθας*, fere ut nos interdum *Dornen* i. e. *dornige Gewächse* cf. cap. 4, 6.

ἀσφάραγος] Sch.syll.; *ἀσπάραγος* Ald. Edd. o.: *ἀσπάραγγος* P_2. Vide ad cap. 4, 1.

οὐ γὰρ] UMVP_2 Sch.; *οὐδὲ γὰρ* Ald. Edd.

ἠρύγγιον] UM Sch.; *ἠρίγγιον* Ald. Edd.; om. P_2. — Deinceps *κνίκος* P_2.

τὴν ἀκ.] *τὸ ἀκ.* M.

ὀνωνὶς] *ὄνωνις* St., sine accentu H.; *ὀν ὦν* P_2.

ὁ φέως ὃν] *ὁ φλεὼς ὃ* Ald. H.; *τὸ φέως ὃ* St. Vide Schn. ad c. 5, 1 et in Ind. s. v. *καὶ ὃ δή τινες καλ. στ.* P_2. — Disputat de hoc loco Salm. Exerc. p. 279.

στοιβὴν] P_2, corr. Sch.syll.; *στοίβην* Ald. Edd.

ὁ δὲ τρίβ.] Ald. Edd.; *ἡ δὲ τρ.* UP; *οἱ δὲ τρ.* MV.

καὶ περικαρπιάκανθός ἐστιν] corr. Schn.; *καὶ ἡ περικαρπία φυλλάκανθόν ἐστιν* UMV Ald. Totum locum sic mutilavit H.: *τρίβολος καὶ τῇ περικαρπίῳ*, ac St. *τρίβολος ἔχει ἀκάνθας καὶ ἐν τῷ περικαρπίῳ.* Dein *ἀκάθας* Ald. sol. *Tribulus vel semine aculeiger constat. Habet enim in semine aculeum* G. Cf. c. 5, 3.

ἐπεὶ] *ἔτι* St. Dein *καὶ* om. H. St.

ῥόα] P_2 Ald. H. Sch.; *ῥοία* St.

παλίουρος] P_2 Ald. Edd.; *παλίουρον* UMV.

ῥοδωνία] Ald. H.; *ῥοδωνιὰ* P_2 Sch.; *ῥωδωνία* Cam.

μὲν οὖν] *οὖν*, quod om. Ald. Edd., addidit Sch.

4. *οὕτως δ.*] U Sch.syll.; *ὅλως δ.* Ald. Edd.

μεγάλας] Ald. Edd.; *τὰς μεγ.* UMV.

κίσθος] corr. Schn.; *κισσός* Ald. H.; *κιστὸς* St.

σπείραια] corr. St. Sch. e Plinio 21, 9 s. 29; *σμηρέα* Ald. G.

ὀρίγανος] sic plerisque locis dat U, quamobrem hic quoque scripsi; *ὀρίγανον* P Ald. Sch.; *ὠρίγανον* cum Cam. H. St.

θύμβρα σφάκος] corr. Sch.; (*σφακὸς* in cont.); *θύμβρας φακὸς* UMV Ald.; *θύμβρας, σφάκελος* H; *θύμβρα σφάκελος* St.

μελισσόφυλλον] P Edd. post Bas.; *μελισόφ.* Ald. Cam.

πρὸς τούτοις] U Sch.syll.; *καὶ τὰ τούτοις* MVP; *καὶ τὰ τούτοις ὅμοια* Ald. Edd. o.; *atque etiam quae minus similia sunt, scilicet quae ferulacea* etc. G.

ἐννευρόκαυλα] U Sch.syll.; *ἐνευρόκαυλα* MV; *νευρόκαυλα* Ald. Edd. o.

μάραθον] U Ald. Sch.syll.; *μάραθρον* H. St. Sch.cont.

ἱππομάραθον] corr. Sch.syll.; *ἱππομάραθρον* U Ald. Edd. o.

ναρθηκία] Ald. H.; *ναρθηκῆα* St.; *ναρθηκυία* Sch.

τινων μυοφόνον καὶ ὅσα ὅμοια τούτοις. ἅπαντα γὰρ ἄν τις καὶ ταῦτα καὶ ὅλως εἴ τι ναρθηκῶδές ἐστι τῆς φρυγανικῆς θείη φύσεως.

Cap. II. Εἴδη δὲ καὶ διαφοραὶ καθ' ἕκαστον τῶν εἰρημένων εἰσὶ τῶν μὲν 2St.
φανερώτεραι τῶν δὲ ἀφανέστεραι. καὶ γὰρ κίσθου δύο γένη διαιροῦσι τὸ μὲν 2H.
ἄρρεν τὸ δὲ θῆλυ, τῷ τὸ μὲν μεῖζον καὶ σκληρότερον καὶ λιπαρώτερον εἶναι
καὶ τὸ ἄνθος ἐπιπορφυρίζον· ἄμφω δὲ ὅμοια τοῖς ἀγρίοις ῥόδοις πλὴν ἐλάττω
καὶ ἄοσμα. δύο δὲ εἴδη καὶ τοῦ κνεώρου· ὁ μὲν γὰρ λευκὸς ὁ δὲ μέλας. 2.
ἔχει δὲ ὁ μὲν λευκὸς τὸ φύλλον δερματῶδες πρόμηκες ὁμοιόσχημον τρόπον
τινὰ τῇ ἐλάᾳ, ὁ δὲ μέλας οἷον ἡ μυρίκη σαρκῶδες· ἐπίγειος δὲ μᾶλλον ὁ λευκός· ἔστι δὲ ὀσμώδης, ὁ δὲ μέλας ἄοσμος. τὴν δὲ ῥίζαν τὴν εἰς βάθος ἄμφω μεγάλην ἔχουσι καὶ τοὺς ἀκρεμόνας πολλοὺς καὶ παχεῖς καὶ ξυλώδεις ἀπ' αὐτῆς τῆς γῆς ἢ μικρὸν ἄνω σχιζομένους, ξυλωδεστάτην δέ. γλίσχρον δὲ σφόδρα, δι' ὃ καὶ χρῶνται πρὸς τὸ καταδεῖν καὶ περιλαμβάνειν ὥσπερ τῷ οἴσῳ. βλαστάνει δὲ καὶ ἀνθεῖ μετ' ἰσημερίαν μετοπωρινὴν καὶ ἀνθεῖ πολὺν χρόνον.
καὶ τῆς ὀριγάνου δὲ ἡ μέλαινα ἄκαρπος ἡ δὲ λευκὴ κάρπιμος. καὶ θύμον τὸ 3.
μὲν λευκὸν τὸ δὲ μέλαν εὐανθὲς δὲ σφόδρα· περὶ τροπὰς γὰρ ἀνθεῖ θερινάς. ἀφ' οὗ καὶ ἡ μέλιττα λαμβάνει τὸ μέλι, καὶ τούτῳ φασὶν οἱ μελιττουργοὶ δῆλον εἶναι πότερον εὐμελιτοῦσι ἢ οὔ· καλῶς γὰρ ἀπανθήσαντος εὐμελιτεῖν· βλάπτει δὲ καὶ ἀπόλλυσι τὴν ἄνθησιν ἐὰν ὕδωρ ἐπιγένηται. σπέρμα δὲ κάρπιμον

μυοφόνον] Sch.; *μυόφωνον* Ald. H.; *μυόφονον* mBas. St.

θείη φύσεως] UMV Sch.; *φύσεως θείη* Ald. Edd.

Cap. II.

κίσθου] corr. Sch.; *κισσοῦ* Ald. H.; *κιστοῦ* St.; *hederae* G.

εἶναι] dedi de conj.; *ἔχειν* UMV Ald.; *φύλλον ἔχειν* H. St.; *τὸ φύλλον ἔχειν* Sch. Ceterum *λιμπαρώτερον* Ald. Bas.; *λιπαρότερον* mBas.; *λιπαρώτερον* Cam.

ἀγρίοις ῥόδοις] UMVP St. Sch.; *ῥόδοις* om. Ald. H.; *rosis silvestribus* G.; *ῥόδοις τοῖς ἀγρίοις* Vo. Dalec. Scalig.

2. *μυρίκη*] *μυρρίνη* St.

ἄοσμος] P, e corr. Scal. H. St. Sch.; *εὔοσμος* Ald., quod probat Dalecamp. qui vertit: *album — parum quid olet, nigrum valde odoratum est.*

παχεῖς] Dalecamp. conj. *βραχεῖς* quod probare videtur Schn.

ξυλωδεστάτην δέ· γλίσχρον δὲ σφ.] UMV Ald.; *ξυλωδέστατον δὲ καὶ γλ. σφ.* H. Sch.; *ξυλωδέστατοι δὲ καὶ γλίσχροι σφ.* St. — Gaza *σχιζομένους καὶ γλίσχρους σφ.* legisse vel correxisse videtur. Scalig. et Dalecamp. *ξυλωδεστάτην δὲ* delere jubent. Scriptura Heinsii non minus inepta ea quam libri praebent; emendare hoc loco anceps visum.

περιλαμβάνειν] scripsi e conj.; *προλαμβάνειν* Ald. Edd.; *προςλαμβάνειν* cum Dalec. Sch.; *ad comprehendendum* G.

οἴσῳ] corr. Sch.; *οἰσῷ* Ald. Edd.

ἰσημερίαν] Ald. Edd.; *ἰσημερίην* UMV.

3. *εὐανθὲς*] *sero id admodum floret* G., unde Vo. Dalec. *ὀψιανθὲς* praecipiunt.

περὶ — θερινάς] dedi cum U Ald., nisi quod *καὶ* ante *γὰρ* addunt; *π. τρ. (καὶ τότε γὰρ ἀνθεῖ) θερινάς* H. St.; *καὶ γὰρ περὶ τρ. ἀνθεῖ θερινάς* Vo. Sch.

τούτῳ] corr. Sch.; *τοῦτο* Ald. Edd.

μελιττουργοὶ] Ald. Edd.; *μελιτουργοὶ* U, quod Sch. in Auctar. probat quidem, sed non dedit in Syll. Illam scripturam defendit C. E. Ch. Schneider ad Plat. Civ. 8. p. 564 C. Certe ab U hic discedendum erat, quippe qui mox *εὐμελιττεῖν* habeat, quod male scriptum esse constat.

εὐμελιτοῦσιν] corr. Sch.; *εὐμελιττοῦσιν* UMV Ald.; *εὖ μελιττοῦσιν* H. St.

καλῶς] corr. mBod. Sch.; *ἄλλως* UMV Ald. H.; *οὐ καλῶς γὰρ ἀνθήσαντος οὐκ εὐ μελίττει* St.

εὐμελιτεῖν] corr. Sch. syll.; *εὐμελιττεῖν* UMV; *εὐμελιττεῖ* Ald.

βλάπτει] *βλάπτεται* St.

κάρπιμον] *καὶ κάρπιμον* U.

ἡ μὲν θύμβρα καὶ ἔτι μᾶλλον ἡ ὀρίγανος ἔχει φανερόν, τοῦ θύμου δ' οὐκ ἔστι
λαβεῖν ἀλλ' ἐν τῷ ἄνθει πως ἀναμέμικται· σπείρουσι γὰρ τοῦτο καὶ ἀναβλα-
4 στάνει. ζητοῦσι δὲ καὶ λαμβάνουσιν οἱ ἐξάγειν Ἀθήνησι βουλόμενοι τὸ γένος.
ἴδιον δὲ ἔχει καὶ πρὸς ταῦτα καὶ σχεδὸν πρὸς τὰ ἄλλα τὸ κατὰ τοὺς τόπους·
οὐ γάρ φασι δύνασθαι φύεσθαι καὶ βλαστάνειν ὅπου μὴ ἀναπνοὴ διϊκνεῖται ἡ
ἀπὸ τῆς θαλάττης· δι' ὃ οὐδ' ἐν Ἀρκαδίᾳ γίνεται· θύμβρα δὲ καὶ ὀρίγανος καὶ
τὰ τοιαῦτα πολλὰ καὶ πολλαχοῦ. παραπλήσιον οὖν τὸ συμβαῖνον τοῦτο καὶ
ἐπὶ τῆς ἐλάας· οὐδὲ γὰρ οὐδ' ἐκείνη δοκεῖ τριακοσίων σταδίων ἀπὸ θαλάττης
5. ἐπάνω φύεσθαι. σφάκος δὲ καὶ ἐλελίσφακος διαφέρουσιν ὥσπερ τὸ μὲν ἥμερον
τὸ δὲ ἄγριον· λειότερον γὰρ τὸ φύλλον τοῦ σφάκου καὶ ἔλαττον καὶ αὐχμηρό-
τερον τὸ δὲ τοῦ ἐλελισφάκου τραχύτερον. δύο δὲ γένη καὶ τοῦ πρασίου· τὸ
μὲν γὰρ ἔχει ποῶδες τὸ φύλλον καὶ μᾶλλον ἐπικεχαραγμένον, ἔτι δὲ τὰς ἐν-
τομὰς ἐνδήλους σφόδρα καὶ βαθείας, ᾧ καὶ οἱ φαρμακοπῶλαι χρῶνται πρὸς
ἔνια· τὸ δὲ ἕτερον στρογγυλότερον καὶ αὐχμῶδες σφόδρα καθάπερ τοῦ σφάκου
6. καὶ τὰς ἐντομὰς ἀμαυροτέρας ἔχον καὶ ἐπικεχαραγμένον ἧττον. κονύζης δὲ
τὸ μὲν ἄρρεν τὸ δὲ θῆλυ. διαφορὰς δὲ ἔχει καθάπερ τὰ ἄλλα τὰ οὕτω διαι-
ρούμενα· τὸ μὲν γὰρ θῆλυ λεπτοφυλλότερον καὶ ξυνεστηκὸς μᾶλλον καὶ τὸ
ὅλον ἔλαττον, τὸ δὲ ἄρρεν μεῖζόν τε καὶ παχυκαυλότερον καὶ πολυκλωνότερον
καὶ τὸ φύλλον μεῖζον καὶ λιπαρώτερον ἔχον, ἔτι δὲ τὸ ἄνθος λαμπρότερον.
καρποφόρα δὲ ἄμφω· τὸ δὲ ὅλον ὀψιβλαστεῖ καὶ ὀψιανθεῖ περὶ ἀρκτοῦρον καὶ
μετ' ἀρκτοῦρον ἁδρύνει. βαρεῖα δὲ ἡ ὀσμὴ τοῦ ἄρρενος ἡ δὲ τῆς θηλείας δρι-

ἔχει] *οἱ μὲν* i. u. add. St.
ἔστι λαβ.] *ἔτι λαβ.* U.
4. *ἴδιον δὲ*] *τι* add. St.
τὸ κατὰ τοὺς τ.] dedi e conj.; *καὶ κατὰ τ. τ.* Ald. Edd.; *καὶ κατὰ τόπους* P; *καὶ τὸ κατὰ τ. τ.* corr. Sch.
βλαστάνειν] scripsi de conjectura; *λαμβάνειν* P2 Ald. Edd. o. — Dein *διϊκνεῖται* P2.
θαλάττης] U Sch.syll.; *θαλάσσης* P2 Ald. Edd.
οὐδ' ἐν] P2 Ald. Sch.; *οὐδὲ ἐν* U V H.; *οὐδὲν ἐν* St.
θύμβρα δὲ καὶ ὀρίγανος] corr. Sch.; *θύμβρα τε καὶ ὀρίγανος* U; *θύμβρα τε κ. ὀρίγανον* Ald. H. St.; *θύμβρας τε καὶ ὀρίγανος* MV; *θύμβρος τε καὶ ὀρίγανος* P2.
καὶ τὰ τοιαῦτα] e corr. Palmer. Ex. p. 601 Salm. Ex. 908. Sch.; *καίτοι τοιαῦτα* P2 Ald. Edd.
ἐλάας] *ἐλαίας* P2 H. St. Sch.; *ἐλέας* Ald. — Ceterum G. locum aliter vel legit scriptum vel interpretatus est; vertit enim: *Qua de causa nec in Arcadia satureia et origanum provenire possunt. quanquam similia multa multisque in locis gignuntur. Proximum sane quod etiam in olea evenire notatum est.*

ἐκείνη] UMV St. Sch.; *ἐκεῖνο* Ald. H. Praeterea verba *οὐδὲ γὰρ* omisit St.
θαλάττης] UP2 Sch.syll.; *θαλάσσης* Ald. Edd.
5. *σφάκος*] corr. Sch.; *σφάκελος* UMVP2 Ald. Edd. Sic etiam mox iidem.
αὐχμηρότερον] Ald. H. Sch. habent *ἧττον αὐχμηρότερον*; St. e Dalecampii correctione *ἧττον αὐχμηρόν*. Non dubitavi *ἧττον*, quod ex antecedente *ἔλαττον* ortum esse videtur, exterminare. Paulo mox est *αὐχμῶδες σφόδρα καθάπερ τοῦ σφάκου.*
τραχύτερον] corr. Scal. St. Sch.; *scabrius* G.; *βραχύτερον* Ald. H.
δύο δὲ γ.] U Sch.; *δὲ* om. Ald. Edd.
ἐντομὰς ἐνδ.] St. Sch.; *ἐντομὰς ἐντόμους ἐνδ.* Ald. H.
αὐχμῶδες] H. St. Sch.; *ἀχμῶδες* Ald. — Dein *καθάπερ τὸ τοῦ — καὶ τὸ φύλλον ἐπικ.* St.
6. *κονύζης*] UMVP2 mBas. St. Sch.; *κορίζης* Ald. H.; *pulicariae* G.
καὶ ὀψιανθεῖ] *ἀνθεῖ γὰρ* substituit St.
ἁδρύνει] dedi e conj.; *λαμβάνει* Ald. Edd.; om. P2. Bod. ad *λαμβάνει* intelligit *τὸ ἄνθος*. Dalec. conj. *βλαστάνει*; *incipiant* G.

μυτέρα δι' ὃ καὶ πρὸς τα θηρία χρησίμη. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα ὥςπερ διαφέροντα. πάλιν δὲ ἄλλα μονοειδῆ τυγχάνοντα καὶ τῶν πρότερον εἰρημένων καὶ ἕτερα παρὰ ταῦτα· πλείω γάρ ἐστι. τὸ δὲ ναρθηκῶδες γένος, καὶ γὰρ καὶ 7.
τοῦτο τῶν φρυγανικῶν, πολλὰς περιείληφεν ἰδέας· ἐν οἷς πρῶτον ὑπὲρ τοῦ κοινοῦ πᾶσι λεκτέον, ὑπὲρ νάρθηκός τε καὶ ναρθηκίας, εἴτε τὸ αὐτὸ γένος ἐστὶν ἀμφοῖν διαφέρον δὲ κατὰ μέγεθος, εἴτε καὶ ἕτερον ὥςπερ τινές φασιν. ἡ δ' οὖν φανερὰ φύσις ἀμφοῖν ὁμοία πλὴν κατὰ τὸ μέγεθος· ὁ μὲν γὰρ νάρθηξ γίνεται μέγας σφόδρα ἡ δὲ ναρθηκία μικρά. μονόκαυλα δ' ἄμφω καὶ γονατώδη, ἀφ' ὧν τά τε φύλλα βλαστάνει καὶ καυλοί τινες μικροί· βλαστάνει δὲ 8.
παραλλὰξ τὰ φύλλα· λέγω δὲ παραλλὰξ ὅτι οὐκ ἐκ τοῦ αὐτοῦ μέρους τῶν γονάτων ἀλλ' ἐναλλάξ· περιειληφότα δὲ τὸν καυλὸν ἐπὶ πολὺ καθάπερ τὰ τοῦ καλάμου πλὴν ἀποκεκλιμένα ταῦτα μᾶλλον διὰ τὴν μαλακότητα καὶ τὸ μέγεθος· μέγα γὰρ τὸ φύλλον καὶ μαλακὸν καὶ πολυσχιδὲς ὥστε εἶναι σχεδὸν τριχῶδες· ἔχει δὲ μέγιστα τὰ κάτω πρὸς τὴν γῆν καὶ ἀεὶ κατὰ λόγον. ἄνθος δὲ μηλινοειδὲς ἀμαυρὸν, καρπὸν δὲ παρόμοιον τῷ ἀνήθῳ πλὴν μείζω. ἐξ ἄκρου δὲ σχίζεται καὶ ἔχει τινὰς οὐ μεγάλους καυλούς· ἐνταῦθα δὲ τό τε ἄνθος καὶ ὁ καρπός. ἔχει δὲ καὶ ἄνθος καὶ καρπὸν καὶ ἐν τοῖς παρακαυλίζουσι δι' ὅλου καθάπερ τὸ ἄνηθον. ἐπετειόκαυλον δὲ, καὶ ἡ βλάστησις τοῦ ἦρος πρῶτον μὲν τῶν φύλλων ἔπειτα τοῦ καυλοῦ καθάπερ τῶν ἄλλων. ῥίζαν δὲ ἔχει βαθεῖαν, ἔστι δὲ μονόρριζον. ὁ μὲν οὖν νάρθηξ τοιοῦτος. τῶν δ' ἄλλων τὰ μὲν 9.
ὁμοιότερον τούτῳ τὸν καυλὸν ἔχει καθάπερ ὁ μανδραγόρας καὶ τὸ κώνειον καὶ ὁ ἐλλέβορος καὶ ὁ ἀνθέρικος· τὰ δ' οἷον ἐννευρόκαυλα τυγχάνει καθάπερ μάραθον

ὥςπερ διαφ.] *ὥςπέρι δ.* M2.

7. *ναρθηκῶδες γένος, καὶ γὰρ καὶ τοῦτο*] U; *ναρθηκῶδες (γένος γὰρ καὶ τοῦτο τ. φρ.)* Ald. Edd. o.

ναρθηκίας] U; *ναρθηκία* P2; *ναρθηκνίας* Ald. Edd. Sic etiam mox. Cf. Lobeck ad Phrynich. p. 522.

8. *ἐπὶ πολὺ*] *πολὺ* om. cum Cam. H.

σχεδὸν τριχῶδες] U Sch.; *σχεδὸν* om. Ald. Edd.; *σχετριχῶδες* MV.

τῷ βρωτοὺς εἶναι καὶ ἐγχύλους ἐνίοις] sic emendare conatus sum scripturam vitiatam *τὸ βρωτὰ εἶναι καὶ καυλοὺς εἶναι* Ald.; H. St. Sch. dederunt *τῷ* et St. alterum *εἶναι* omisit. *Quin et in fructibus ratio gustandi eadem est et in caulibus et foliis* G. Unum mihi est certum in voce *καυλοὺς* quaerendum esse *χυλοὺς:* reliquas difficultates expedire sine libris vix continget. Primum quid *ὁμοίως* significet dubitari potest; aut enim ad superiora illa, quae de radicibus esculentis dicta sunt, pertinet, aut e proxi-

ἐγχύλους ἐνίοις καὶ φύλλα καὶ σπέρματα καὶ ῥίζας· καὶ ἐν αὐτοῖς τούτοις κατὰ τοὺς χυλοὺς οἷον ὀξύτητι καὶ δριμύτητι καὶ γλυκύτητι καὶ αὐστηρότητι καὶ ταῖς ἄλλαις ταῖς τοιαύταις ἁπλῶς τε καὶ κατὰ τὸ μᾶλλον. τὰς μὲν οὖν διαφορὰς ἐν τούτοις ληπτέον.

10 H. Cap. X. Διῃρημένων δὲ κατὰ τὰς ὥρας ἑκάστων πρός τε τὰς βλαστήσεις καὶ κατὰ τὰς ἀνθήσεις καὶ τελειώσεις τῶν καρπῶν οὐδὲν ἀναβλαστάνει πρὸ τῆς οἰκείας ὥρας οὔτε τῶν ῥιζοφυῶν οὔτε τῶν σπερμοφυῶν ἀλλ' ἕκαστον ἀναμένει τὴν οἰκείαν οὐδ' ὑπὸ τῶν ὑδάτων οὐδὲν πάσχον· ἔνια γὰρ θερινὰ κομιδῇ καὶ τῇ βλαστήσει καὶ τῇ ἀνθήσει καθάπερ ὅ τε σκόλυμος καὶ ὁ σίκυος ἄγριος, ὥςπερ καὶ περὶ τῶν φρυγανικῶν ἐλέχθη περὶ κονύζης τε καὶ καππάριδος καὶ τῶν ἄλλων· οὐδὲν γὰρ οὐδὲ ἐκείνων ἀνθεῖ καὶ βλαστάνει πρὸ τῆς οἰκείας
2. ὥρας. δι' ὃ κἂν ταύτῃ δόξαιεν ἂν διαφέρειν τῶν δένδρων. τῶν μὲν γὰρ ἅμα πως πάντων ἢ ἐγγὺς ἡ βλάστησις, εἰ δὲ μὴ κατὰ μίαν γε ὥραν ὡς εἰπεῖν· τούτων δὲ ἐν πολλαῖς μᾶλλον δὲ ἐν ἁπάσαις ἡ βλάστησις καὶ ἔτι μᾶλλον ἡ ἄνθησις, ὥστε εἴ τις ἐθέλει κατανοεῖν σχεδὸν συνεχὴς γίνεται καθ' ὅλον ἐνιαυτὸν καὶ ἡ βλάστησις καὶ ἡ ἄνθησις· αἰεὶ γὰρ ἕτερον ἐξ ἑτέρου διαδεχόμενον πάσας καταλαμβάνει τὰς ὥρας· οἷον μετὰ τὴν ἀπάπην κρόκος ἔσται καὶ ἀνεμώνη καὶ ὁ ἠριγέρων καὶ τὰ ἄλλα χειμερινά, μετὰ δὲ ταῦτα τὰ ἠρινὰ καὶ μετοπωρινά.
3. πολλὰ δὲ ὥσπερ ἐλέχθη διὰ τὸ κατὰ μέρος ἀνθεῖν ἐπιτείνεται ταῖς ὥραις·

mis *εἰσὶ διαφοραὶ* repetendum. Deinde mirum quod semina non adjunxerit ipsis fructibus, atque quod iterum radices afferat, de quibus supra locutus erat.

καὶ δριμύτητι] UMP Sch.; om. Ald. Edd.; *acidi acris dulcis austeri* G.

τοιαύταις] *διαφοραῖς* addidit Sch. cum Vo.

τὸ μᾶλλον] *καὶ τὸ ἧττον* add. Sch. Debebat *καὶ ἧττον*. Nescio an hoc possit subaudiri.

Cap. X.

ἑκάστων] U M Ald. Sch.; *ἑκάστας* H. St.

ἀναβλαστάνει] dedi e conj.; *ἀναβλαστεῖ καὶ* Ald H.; *καὶ* om. St., seclusit Sch.

ῥιζοφυῶν — σπερμοφυῶν] *ῥιζοφυῶν οὔτε τῶν σπερμάτων οὔτε τῶν σπερμοφυῶν* UM Ald.; verba *οὔτε τῶν σπερμάτων* om. H. St. Sch.

οὐδ'] *οὔθ'* Ald. Edd. Mutavi propter sequens participium; *εἴθ'* St.

πάσχον] UM Ald. H.; *πάσχει* St. Sch.; *infestatur* G.

θερινὰ] mBas. St. Sch.syll.; *θερμὰ* UM Ald.; *ὄψιμα* Vo. Sch.cont.; *serotina* G.

βλαστ. καὶ τῇ ἀνθ.] UM Sch.; *ἀνθ. κ. τ. βλαστ.* Ald. Edd.

ὅ τε σκολ.] Sch.; *ὅ,τε σκ.* Ald.; *ὅτε σκολ.* U; *ὁ σκολ.* H. St.

περὶ τ. φρ.] Sch. seclusit *περὶ*. Equidem malim *ἐπί*.

2. *κἂν ταύτῃ*] UM Sch.syll.; *καὶ τ.* Ald. Edd. o.

ἢ ἐγγὺς] *ἢ* add. Sch. e conj. — Deinceps *εἰ μὴ κατὰ μίαν ὡς ἐ.* St.

καθ' ὅλον] corr. Scal. H. St. Sch.; *καθόλου* M Ald.

αἰεὶ] M Ald. Sch.; *ἀεὶ* H. St.

καταλαμβάνει] UM Sch.; *ἀναλαμβάνει* Ald. H. St.

ἀπάπην] dedi e conj. Vide ad cap. 7, 1; *ἀφάκην* UM Ald. Edd.

κρόκος] *ἦρος* U, sed sigma a correctione ita ut rasura post eam literam appareat; *κρος* M; om. Ald. H. St.; *τὸ κρόκον* mBas.; *ὁ κρόκος* Sch.; *post aphacam crocum erumpit et fremium* G. *ἐστὶ* mavult Sch.

καὶ ἀνεμώνη] *καὶ ἡ ἀνεμώνη* mBas. Sch.; *ἡ ἀνεμώνη* H. St.; *ἀνεμωλία* U, *ὁ ἀνεμωλία* M; *ἡ ἀνεμωλία* Ald. Sch. mavult *εἶτα ἀνεμώνη*.

3. *διὰ τὸ κατὰ μέρος ἀνθεῖν*] scripsi de conjectura; *καὶ τῶν κατὰ μέρος ἀνθέων* Ald. H. St.; *καὶ τῶν κατὰ μέρος ἀνθούντων* Schn. de conj.; *Multi vero ex singulis floribus proventus prorogant suos ut dictum est* G. *Diuturnior hic* (i. e. flos) *quibusdam per partes florentibus, ut ocimo, heliotropio, aphacae, onochili* Plin. 21 s. 60. Utraque interpretatio scripturae a me propositae favet; Plinius brevius ac minus accurate locutus est, nec tamen ineptit. Sed quam Schn. emendationem posuit vide ne ea prorsus damnanda sit.

ἔνια γὰρ οὕτως ἀνθεῖ καθάπερ ἥ τε ἀπάπη καὶ τὸ ὀνοχειλὲς καὶ τὸ κιχόριον καὶ τὸ ἀρνόγλωσσον καὶ ἄλλα· διὰ δὲ τὴν συνέχειαν καὶ τὴν περικατάληψιν τὴν ὑπ' ἀλλήλων οὐ φαίνεται ῥᾴδιον ἐν ἐνίοις οὐδ' ὁρίσαι ποῖα πρῶτα βλαστάνει καὶ ποῖα ὀψιβλαστῆ· πλὴν εἴ τις ὑποθοῖτο τοῦ ἔτους τὴν ἀρχήν τινα ὥρας τινὸς ἀρχῇ. καὶ αὐτῶν δὲ τούτων τὰς γενέσεις καὶ τὰς ὥρας ὅταν τελειωθέν- 4.
των τῶν καρπῶν πάλιν ἄλλας ἀρχὰς ἐνίστωνται τῆς γενέσεως· ὅπερ μάλιστα δοκεῖ συμβαίνειν μετ' ἰσημερίαν μετοπωρινήν· τότε γὰρ ἤδη τὰ σπέρματα πλεῖστα τετελείωται καὶ τῶν δενδρικῶν καρπῶν οἱ πολλοὶ καὶ ἅμα μεταβολή τις αὐτοῦ τούτου προςγίνεται καὶ τῆς ὥρας· ὅσα δὲ ἀτελῆ καὶ ἄπεπτα περι-

ἀπάπη] Vide ad c. 7, 1; *ἀφάκη* Ald. Edd.

τὸ ὀνοχειλὲς] sic corr. e Plinio et Dioscoride Sch.; *ὁ ὀνοκίχλης* UM Ald. St.; *ὁ ὀνοχειλτὸς* H.

κιχόριον] *κιχώριον* Ald. Edd. o.

καὶ ἄλλα] *καὶ ὡς ἄλλα* St.

ποῖα πρῶτα — ὅλως] Haec verba om. St. seclusit Sch. Gaza sequentia *ποῖα πρωϊ βλ.* omisit. Inconsiderate fecerunt.

ὀψιβλαστῆ] UP Sch.syll.; *ὀψιβλαστῆ* (aut *ὄψιν βλαστῆ*) M; *ὀψιβλαστεῖ* Ald. Edd.

πλὴν εἴ τις — τινὸς ἀρχῇ] Sic dedi supplementum ab Urb. suppeditatum extremis e conjectura mutatis; *πλὴν εἴ τις ὑποθοῖτο τοῦ ἔτους τὴν ἀρχήν τινα πρὸς τῇ ἵνα ζῇ* (vel ξεῖ, scriptura dubia) U; ultima verba *ἵνα ζῇ* habent etiam M Ald., omissa ab H. St. Sch. Conatus sum extremis vitiatis verba ea substituere quae literarum numero et tractu similia sensum aliquem praebent. Dicit: nisi quis initium anni aliquod ab initio tempestatis cujusdam statuere velit. In re adeo dubia non datur certa emendandi via: liceat igitur alteram conjecturam apponere quae in mentem venerat: *-ἀρχὴν τροπὰς τὰς χειμερινάς.* Notum est Graecos anni initium fecisse a solstitio aestivali.

4. *καὶ αὐτῶν δὲ τούτων*] sic Sch.; *κ. ἀ. τε τ.* M Ald. Edd. Omnes interpretes a Scaligero usque ad Sprengelium posteriorem hujus capitis partem vitiis magnis et turbis laborare conquesti sunt, interpretandi nemo periculum fecit. Liceat igitur nobis explicationem conari. Postquam dixit: *quoniam multae herbaceae plantae diu florent et altera alterius florem excipit, difficile esse, si compares ea, definire quae citius quae serius floreat, nisi terminum quendam ponere velis a quo incipiat annus,* sic pergit: *Sed etiam in singula quaque vix definiendum est tempus quo post perfecta semina nova ejus fiat generatio. Atque id tempus potissimum post aequinoctium auctumni esse dicunt. Tunc enim semina plurima atque arborum fructus matura, et accedit ipsius plantae atque tempestatis transmutatio. Sed si fructus ante hiemis aditum non matura facta sunt, earum generationem facta anni conversione demum fieri necesse est. Sic fieri ut horum alia sub solstitium alia sub canem alia post aequinoctium floreant.* Haec ultima sic explices: Quorum fructus immaturi ab hieme occupantur quoniam vere demum novo exorto concoquuntur, novaeque generationi apti fiunt: ea altero anno post hiemis intervallum (*ἐκ περιόδου*) germinationem novam habent, ideoque prout flores germinationem citius vel serius sequuntur, vel aestate vel autumno florent. Breviter: *plurimae plantae fructus maturos edunt sub aequinoctium auctumnale, qui deiecti teraque conditi statim germinare incipiunt: sic natae stirpes vere novo flores dabunt. Sed non mirum si earundem plantarum semina hieme praecociore superventa, insequenti vere germinant sic ut flores aestate demum vel auctumno edere possint.* Vides igitur cur inter florendi tempora *ver* h. l. non nominatum sit. Verbis *ὅσα τούτοις* indicantur diversa individua ejusdem speciei, nec species ipsae. Fateor vero locum mihi nondum ab omni dubitatione esse liberum. Quid sit *αὐτοῦ τούτου* nondum inveni; maxime in promptu est subaudire *δένδρον*, vel corrigere *αὐτοῦ τοῦ φυτοῦ*, sed ad sensum parum hoc aptum est; melius quod Sch. maluit *αὐτοῦ τοῦ ἔτους*; *γενέσεως* substituit St. Ceterum Sch. post *τὰς ὥρας* i. u. addidit *οὐ ῥᾴδιον διορίσαι,* dein *ὅταν* auctore G. mutavit in *ἃ ἂν -ἐνίστανται* (in cont. est *ἐνίστωνται* ipso invito), ubi *ἐνιστῶνται* U, *ἐνιστῶντες* M Ald., *ἐνίστονται* H. Dein *σπέρματα τὰ πλ.* Sch.; *ἄπεπται καὶ περικ.* UM Ald. ubi *καὶ* cum H. St. Sch. omisi. *τούτοις οὐ κατὰ λόγον* vult Spr. Post *κύνα τὰ δὲ* addidi *καὶ* cum UMP Sch.

τετελείωται] Sch.; *τε τέλείωται* Ald. Edd.; *τὲ τελειῶσαι* P.

καταλαμβάνεται τούτοις κατὰ λόγον ἐκ περιόδου καὶ ἡ βλάστησις γίνεται καὶ
ἡ ἄνθησις καὶ ἡ τελείωσις· δι' ὃ συμβαίνει τὰ μὲν ὑπὸ τροπὰς ἀνθεῖν τὰ δ' ὑπὸ
5. κύνα τὰ δὲ καὶ μετὰ ἀρκτοῦρον καὶ ἰσημερίαν μετοπωρινήν. ἀλλὰ ταῦτα μὲν
ἔοικε κοινοτέραν ἔχειν σκέψιν εἰς ἀφορισμὸν ἀρχῆς. ὅτι δὲ αἱ διαφοραὶ πλεί-
ους ἢ οὐκ ἐλάττους ἐν τούτοις φανερόν. ἐπεὶ καὶ ἀείφυλλα τῶν τοιούτων ἐστὶν
ἔνια καθάπερ τὸ πόλιον καὶ ἡλιοτρόπιον καὶ τὸ ἀδίαντον.

10 St. Cap. XI. Ἀφωρισμένων οὖν τούτων περὶ τὰς διαφορὰς ἐν οἷς γίνονται καὶ
πῶς λεκτέον ἤδη τὰς καθ' ἕκαστον ἱστορίας . . . ὅσα μὴ κατὰ τὴν ἰδίαν ἑκά-
στου φύσιν. λέγω δὲ οἷον τὰ σταχυώδη καὶ τὰ σκανδικώδη καὶ μυοφάα κἂν
εἴ τι ἕτερόν ἐστι τοιοῦτον κοινὸν ἐπὶ πάντων λαβεῖν ὃ τῇ αἰσθήσει γνώριμον ἢ
φύλλοις ἢ ἄνθεσιν ἢ ῥίζαις ἢ καρποῖς· ἐκ γὰρ τῶν φανερῶν ὁ μερισμὸς ὥσπερ
2. καὶ ἐκ τῶν ῥιζῶν. σταχυώδη μὲν οὖν ἐστιν ὅ τε ἀχύνωψ ὑπό τινων καλούμε-
νος πλείους ἔχων ἰδέας ἐν ἑαυτῷ· καὶ ὁ ἀλωπέκουρος καὶ ὁ στελέφουρος ὑπ'
ἐνίων δὲ ἀρνόγλωσσον τῶν δὲ ὄρτυξ καλούμενος· παρόμοιον δὲ τούτῳ τρόπον
τινὰ καὶ ἡ θρυαλλίς. ἁπλᾶ δὲ καὶ μονοειδῆ τρόπον τινὰ ταῦτα καὶ στάχυν οὐκ
ὀξὺν οὐδ' ἀθερώδη ἔχοντα· ὁ δ' ἀλωπέκουρος μαλακὸν καὶ χνοωδέστερον δι' ὃ
καὶ ὅμοιον ταῖς τῶν ἀλωπέκων οὐραῖς ὅθεν καὶ τοὔνομα μετείληφεν. ὅμοιος
δὲ τούτῳ καὶ ὁ στελέφουρος πλὴν οὐχ ὥςπερ ἐκεῖνος ἀνθεῖ κατὰ μέρος ἀλλὰ
δι' ὅλου τοῦ στάχυος ὥςπερ ὁ πυρός. ἡ δὲ ἄνθησις ἀμφοῖν χνοώδης καθάπερ
καὶ τοῦ σίτου· παρόμοιον δὲ τῇ ὅλῃ μορφῇ τῷ πυρῷ πλὴν πλατυφυλλότερον.
3. ὡςαύτως δὲ τούτοις καὶ τὰ ἄλλα τὰ σταχυώδη λεκτέον. τὰ δὲ κιχοριώδη

5. *αἱ διαφ.*] *καὶ διαφ.* St.

τὸ πόλιον καὶ ἡλ.] sic UMP; *τὸ πολ. καὶ τὸ ἡλ.* St. Sch.; *πόλιον καὶ* om. Ald. H. mBas. e vers. G.

Cap. XI.

ἱστορίας . . .] Lacuna versus unius in U M Ald. Cam. Bas.; lacunae signum om. H. St. Sch. in cont.

ὅσα μὴ] UMP Sch.; *quae scilicet non pro cujusque propria natura consistant* G.; *ὅσα καὶ* Ald. H.; *ὅσαι καὶ — φύσιν* [*διαφοραὶ*] St.

σταχυώδη] *σταχωδη* P.

σκανδικώδη καὶ μυόφαα] U; *σκ. καὶ μυοφῶα* M Ald.; *σκ. καὶ μυοφόνα* H. Sch., sed ultimis seclusis; *κιχωριώδη καὶ τὰ σαρκόρριζα ἢ κεφαλόρριζα* St.; *ut quae spicosa scandicosaque constent* G. Hoc tantum suspicari licet in terminatione vocis *μυοφάα* syllabam *φυη* latere posse.

κἂν εἴ τι] UM Sch.syll.; *καὶ εἴ τι* Ald. Edd. o.

τοιοῦτο] UM Sch.syll.; *τοιοῦτον* Sch. cont.; *τοῦτο* Ald.; *οὐ τὸ* H.; *ὡς τὸ* St.

ἢ φύλλοις] UMP Sch.; *τοῖς φ.* Ald. H. St

2. *ἀχύνωψ*] U Ald. Sch.syll.; *ἄχυνωψ* U; *oculus caninus* G.; *κύνωψ* Sch.cont.; *χήνων* H.; *χήνωψ* St.; *τανύοψ* conj. Salm. Ex. p. 912.

ὑπό τινων καλούμενος] H. St. Sch.; om. G.; *ὑπό τιν μενος* UM et sine accentu in *ὑπο* P; *ὑπό μένος* Ald.

πλείους] e corr. Dalec. St. Sch.; *τελείους* Ald. H.

παρόμοιον] *παρομοιος* P.

ἀθερώδη] P, e corr. Scalig. St. Sch.; *ἀθαρώδη* UM; *ἀνθερώδη* Ald. H.

μαλ. καὶ χνοωδ.] P H. St.; *καὶ* om. Ald.; *χνωδέστερον* dant M; *μαλ. καὶ* [*δασὺν καὶ*] *χνοωδ.* Sch.

δι' ὃ] scripsi auctore G. *quamobrem*; *ὅτι* Ald. H. Sch., quod fortasse tenendum minime vero *ἔτι* cum St.

στελέφουρος] *στελεφοῦρος* Ald. H. St. hic et supra. Nomen suspectum est Schneidero, qui comparat *scelepyros* a Scaligero e Plinio laudatum, quod hodie in editionibus Plinii non reperitur.

τὰ ἄλλα τὰ στ.] Ald.; *ἄλλα τὰ στ.* H. St.; *τὰ ἄλλα στ.* Sch.

3. *κιχοριώδη*] *κιχωρ.* Ald. Edd.

πάντα μὲν ἐπετειόφυλλα καὶ ῥιζόφυλλα, βλαστάνει δὲ μετὰ πλειάδα πλὴν τῆς 11 H.
ἀπάπης, τοῖς δὲ καυλοῖς καὶ ταῖς ῥίζαις μεγάλας ἔχουσι διαφοράς· οἱ μὲν γὰρ τῶν ἄλλων ἁπλούστεροι καὶ ἐλάττους ὁ δὲ τοῦ κιχορίου μέγας καὶ ἀποφύσεις ἔχων πολλάς, ἔτι δὲ γλίσχρος καὶ δυσδιαίρετος δι᾽ ὃ καὶ δεσμῷ χρῶνται· παραβλαστητικὸν δὲ καὶ τῇ ῥίζῃ καὶ ἄλλως μακρόρριζον δι᾽ ὃ καὶ δυσώλεθρον· ὅταν γὰρ ἐκλαχανίσωνται πάλιν τὸ ὑπόλοιπον ἀρχὴν λαμβάνει γενέσεως. συμβαίνει δὲ καὶ παρανθεῖν αὐτοῦ μέρος ἄλλο καὶ ἄλλο καὶ τοῦτο ἄχρι τοῦ μετοπώρου σκληροῦ δοκοῦντος εἶναι τοῦ καυλοῦ. φέρει δὲ καὶ λοβὸν ἐν ᾧ τὸ σπέρμα περὶ τὰ ἄκρα τῶν καυλῶν. ἡ δὲ ὑποχοιρὶς λειοτέρα καὶ ἡμερωτέρα τῇ προσόψει 4.
καὶ γλυκυτέρα καὶ οὐχ ὥσπερ ἡ χόνδρυλλα· τὸ γὰρ ὅλον οὐκ ἐδώδιμος αὕτη καὶ ἄβρωτος καὶ ἐν τῇ ῥίζῃ δριμὺν ὀπὸν ἔχει καὶ πολύν. ἄβρωτος δὲ καὶ πικρὰ ἡ ἀπάπη· πρωϊανθὴς δὲ καὶ ταχὺ γηράσκει καὶ ἀποπαππουται, εἶτ᾽ ἄλλο φύεται πάλιν καὶ ἄλλο καὶ τοῦτο παρ᾽ ὅλον ποιεῖ τὸν χειμῶνα καὶ τὸ ἔαρ ἄχρι τοῦ θέρους· τὸ δ᾽ ἄνθος μηλινοειδές. ὡσαύτως δὲ καὶ ἡ πικρίς· καὶ γὰρ αὕτη τῷ ἦρι ἀνθεῖ καὶ παραπλησία δι᾽ ὅλου τοῦ χειμῶνος καὶ τοῦ θέρους παρανθεῖ· τῇ γεύσει δὲ πικρὰ δι᾽ ὃ καὶ τοὔνομα εἴληφε. ταῦτα μὲν οὖν ἐν ταύταις ταῖς 11 St.
διαφοραῖς. πειρατέον δὲ ὡς ἐλέχθη καὶ τῶν ἄλλων λαμβάνειν ὁμοίως.

Cap. XII. Πολὺ δέ τι γένος ἐστὶ καὶ τῶν σαρκορρίζων ἢ κεφαλορρίζων ἃ καὶ πρὸς τὰ ἄλλα καὶ καθ᾽ αὑτὰ τὰς διαφορὰς ἔχει ῥίζαις τε καὶ φύλλοις καὶ καυλοῖς καὶ ταῖς ἄλλαις μορφαῖς. τῶν γὰρ ῥιζῶν ὥσπερ εἴρηται πρότερον αἱ μὲν λεπυριώδεις αἱ δὲ σαρκώδεις, καὶ αἱ μὲν ἔχουσαι φλοιὸν αἱ δ᾽ ἄφλοιοι, ἔτι δὲ αἱ μὲν στρογγύλαι αἱ δὲ προμήκεις καὶ αἱ μὲν ἐδώδιμοι αἱ δ᾽ ἄβρωτοι· ἐδώ-

ἀπάπης] U; *ἀπάτης* M Ald. Sch. syll.; *ἀφάκης* H. St. Sch.; *fraude excepta* G.

καὶ ταῖς ῥίζαις] mBas. H. St. Sch.; *καὶ αἱ ῥίζαι* UM Ald., *caulibus atque radicibus* G.

ἐλάττους] e correctione Scaligeri H. St. Sch.; *minoresque* G.; *θάττους* UM Ald.

κιχορίου] *κιχωρ.* Ald. Edd.

δεσμῷ] *θεσμῷ* Bas.

παραβλαστητικὸν] UP Sch., — *στητικοὺς* M, *-βλαστικὸν* Ald. Edd.

ἐκλαχανίσωνται] Ald. Sch.; *-νίζωνται* H. St.

τὸ ὑπόλοιπον] dedi ex emendatione Schneideri ab ipso non recepta; *τὴν ὑπόλοιπον* Ald. Edd. o.

λοβὸν] P, corr. Scal. H. St. Sch.; *λόμον* M Ald.; *siliquam* G.

4. *ὑποχοιρὶς*] e corr. Scalig. H. St. Sch., *ὑποχώρησις* UM Ald.; *porcellia* H.

καὶ γλυκ.] Ald. Edd.; *καὶ ἡ γλ.* U; *καὶ ἡ γλυκ.* M. Verba sequentia *καὶ οὐχ ὥσπερ* minime genuina imo vix graeca esse censeo, quibus *καὶ εὐχυμότερα ἢ χ.* substituenda esse conjiciebam. Sed cum sine multis mutationibus locus expediri nequeat satis habui vitia graviora corrigere.

χόνδρυλλα] corr. St. Sch.; *cadryalia* G. Tarv.; *candralia* G. Bas. Par.; *χανδρυ αλλα* U, *χανδρὺ αλλα* M; *χανδρὰς ἀλλὰ* Ald. H. Cf. ad 7, 1.

τὸ γὰρ ὅλον — αὕτη καὶ ἀβρ.] dedi e corr.; *τὸ ὅλον — αὕτη γὰρ ἀβρ.* Ald. H.; *ἀλλὰ τὸ ὅλον — αὕτη γὰρ ἀβρ.* St.; *αὕτη γὰρ ἄβρωτος* ceteris auct. Plin. omissis Sch.

ἀπάπη] *ἀφάκη* Ald. Edd. Cf. c. 7, 1.

πρωϊανθὴς] Sch.; *προϊανθὴς* U; *προϊανθεὶς* Ald.; *πρωῒ ἀνθεῖ* H.; *πρωιανθεῖ* St.

πικρίς· καὶ] *πικρίς· ὡς* P.

παραπλησία] vitiosum esse videtur; *παραπλήσια* Ald. P2.

Cap. XII.

ἄλλα καὶ καθ᾽ αὑτὰ] corr H. St. Sch.; *ἄλλα καὶ καθὰ* U; *ἄλλα καθὰ καὶ* M Ald.

λεπυριώδεις] corr. Sch.; *λεπυρώδεις* Ald. Edd.

στρογγύλαι] *στρογγῦλαι* Ald.

διμοι μὲν γὰρ οὐ μόνον βολβοὶ καὶ τὰ ὅμοια τούτοις ἀλλὰ καὶ ἡ τοῦ ἀσφοδέλου
ῥίζα καὶ ἡ τῆς σκίλλης, πλὴν οὐ πάσης ἀλλὰ τῆς ἐπιμενιδείου καλουμένης ἣ
ἀπὸ τῆς χρήσεως ἔχει τὴν προςηγορίαν· αὕτη δὲ στενοφυλλοτέρα τε καὶ λειο-
2. τέρα τῶν λοιπῶν ἐστιν. ἐδώδιμος δὲ καὶ ἡ τοῦ ἄρου καὶ αὐτὴ καὶ τὰ φύλλα
προαφεψηθέντα ἐν ὄξει καί ἐστιν ἡδεῖά τε καὶ πρὸς τὰ ῥήγματα ἀγαθή. πρὸς
δὲ τὴν αὔξησιν αὐτῆς ὅταν ἀποφυλλίσωσιν, ἔχει δὲ μέγα σφόδρα τὸ φύλλον, ἀν-
ορύξαντες στρέφουσιν ὅπως ἂν μὴ διαβλαστάνῃ ἀλλὰ πᾶσαν ἕλκῃ τὴν τροφὴν
εἰς ἑαυτήν, ὃ καὶ ἐπὶ τῶν βολβῶν τινες ποιοῦσι συντιθέντες· ἡ δὲ τοῦ δρακον-
τίου, καλοῦσι γάρ τι δρακόντιον ἄρον διὰ τὸ τὸν καυλὸν ἔχειν τινὰ ποικιλίαν,
3. ἄβρωτος καὶ φαρμακώδης. ἀλλὰ ἡ τοῦ φασγάνου καλουμένου γλυκεῖά τε ἑψη-
θεῖσα καὶ τριφθεῖσα μιγνυμένη τῷ ἀλεύρῳ ποιεῖ τὸν ἄρτον γλυκὺν καὶ ἀσινῆ·
στρογγύλη δέ ἐστι καὶ ἄφλοιος καὶ ἀποφύσεις ἔχουσα μικρὰς ὥσπερ τὸ γήθυον·
πολλὰς δὲ εὑρίσκουσιν ἐν ταῖς σκαλοπιαῖς· χαίρει γὰρ καὶ συλλέγει τὸ ζῶον.
ἡ δὲ τοῦ θησείου τῇ μὲν γεύσει πικρὰ τριβομένη δὲ κοιλίαν ὑποκαθαίρει.
φαρμακώδεις δέ τινές εἰσι καὶ ἕτεραι, πολλῶν δὲ οὔτε φαρμακώδεις οὔτε ἐδώ-
διμοι. καὶ αὗται μὲν ἐν ταῖς ῥίζαις αἱ διαφοραί.

12 H. Cap. XIII. Κατὰ δὲ τὰ φύλλα τοῖς τε μεγέθεσιν καὶ τοῖς σχήμασιν. ὁ μὲν
ἀσφόδελος μακρὸν καὶ στενότερον καὶ ὑπόγλισχρον ἔχει τὸ φύλλον, ἡ δὲ σκίλλα
πλατὺ καὶ εὐδιαίρετον, τὸ δὲ φάσγανον ὑπό τινων δὲ καλούμενον ξίφος ξιφοει-
δὲς ὅθεν ἔσχε καὶ τοὔνομα, ἡ δὲ ἴρις καλαμωδέστερον· τὸ δὲ τοῦ ἄρου πρὸς
τῇ πλατύτητι καὶ ἔγκοιλον καὶ σικυῶδές ἐστιν· ὁ δὲ νάρκισσος στενὸν καὶ πολὺ
καὶ λιπαρόν· βολβὸς δὲ καὶ τὰ βολβώδη παντελῶς στενὰ καὶ τοῦ κρόκου δ' ἔτι
2. στενότερον. καυλὸν δὲ τὰ μὲν οὐκ ἔχει τὸ ὅλον οὐδ' ἄνθος ὥςπερ τὸ ἄρον τὸ

βολβοὶ] Ald. H.; *οἱ βολβοὶ* St. Sch.
σκίλλης] Ald. Sch.; *σκύλλης* H. St.
ἐπιμενιδείου] Huc spectare videtur quae e vetere scriptore affert Eustath. p. 1220, 60. *ὁ δ' αὐτὸς λέγει καὶ ὅτι ἀσφοδέλου τὴν ῥίζαν Θεόφραστος καλεῖσθαί φησιν ἐπιμενίδιον.*
αὕτη δὲ] Sch.; *αὐτὴ δὲ* Ald. Edd.
2. *προαφεψηθέντα*] corr. Sch.; *προσαφ.* Ald. Edd.
ἀποφυλλίσωσιν] corr. Sch.; *ἀποφυλάσσωσιν* U; *ἀποφυλλάσσωσιν* M Ald.; *ἀποφυλλίζουσιν* H. St. auctore RConst.; *cum foliis luxuriatur* G.
ἀνορύξαντες] St. Sch.; *ὃ ἀνορύζαντες* Ald. H.
μὴ διαβλαστάνῃ] UM Sch.; *μηδὲν βλαστάνῃ* Ald. Edd.
ἑαυτὴν] *ἑαυτὸν* P.
συντιθέντες] merito ut suspectum notat Sch.
3. *ἑψηθεῖσα*] *καὶ* anteponit U.
ἐν ταῖς σκαλοπιαῖς] dedi auctore Sch., qui ipse *παρὰ τ. σκ.* scripsit; *ταῖς σκολοπίαις* UM Ald.; quibus *παρὰ* anteposuit H.; *πὰρ αὐτῇ τὰς σκολοπένδρας* St.; *permultas juxta eam scolopendras reperiunt* G. Cf. C. Gesner in Hist. Talpae p. 1059.
συλλέγει] UM Ald Sch.; *συλλέγεται* H.; *χ. γὰρ αὐτῇ καὶ ἐκεῖ συλλέγεται τ. ζ.* St.
τριβομένη δὲ] *μεθ' ὕδατος* e Plinio monente Dalec. addidit Sch.

Cap. XIII.

ὁ μὲν ἀσφόδ.] *ὁ μὲν γὰρ ἀσφ.* St. Sch.; *etenim albuco* G.
στενότερον] H. St.; *στενώτερον* Ald. Sch. Vide ad 3, 11, 3.
σκίλλα] Ald. Sch.; *σκύλλα* H. St.
καὶ εὐδιαίρετον] om. G.; *tractabile* Plin. Plin. 21, 17 s. 68.
ἴρις] H. St. Sch.; *ἦρις* M Ald.; *ἵερις* mBas.; *consecratrix* G.
σικυῶδες] *σαρκῶδες* St.
βολβὸς] *ὁ* anteposuit Sch.; *βολβοὶ* P.
δ' ἔτι] UP St. Sch.; *δ' ἔστι* M; *δέ τι* Ald. H.
στενότερον] *στενώτερον* Ald. Edd. o.
2. *οὐδ' ἄνθος*] U Sch. syll.; *οὐκ ἄνθος* M Ald. H. St., Sch. in cont. seclusit.

ἐδώδιμον· τὰ δὲ τὸν τοῦ ἄνθους μόνον ὥςπερ ὁ νάρκισσος καὶ ὁ κρόκος·
ἔνια δὲ ἔχει καθάπερ ἡ σκίλλα καὶ ὁ βολβὸς καὶ ἡ ἴρις καὶ τὸ ξίφιον· μέγιστον
δὲ πάντων ἀσφόδελος· ὁ γὰρ ἀνθέρικος μέγιστος· ὁ δὲ τῆς ἴριδος ἐλάττων μὲν
σκληρότερος δὲ τὸ δὲ ὅλον ἀνθερικώδης. ἔστι δὲ καὶ πολύκαρπος ὁ ἀσφόδελος
καὶ ὁ καρπὸς αὐτοῦ ξυλώδης τῇ μὲν μορφῇ τρίγωνος τῷ δὲ χρώματι μέλας·
γίνεται δὲ ἐν τῷ στρογγύλῳ τῷ ὑποκάτω τοῦ ἄνθους, ἐκπίπτει δὲ τοῦ θέρους
ὅταν τοῦτο διαχάνῃ. τὴν ἄνθησιν ποιεῖται κατὰ μέρος ὥςπερ καὶ ἐπὶ τῆς 3.
σκίλλης, ἄρχεται δὲ πρῶτον ἀπὸ τῶν κάτωθεν. ἐν δὲ τῷ ἀνθερίκῳ συνίσταται
σκώληξ ὃς εἰς ἄλλο μεταβάλλει ζῷον ἀνθρηνοειδὲς, εἶθ᾽ ὅταν ὁ ἀνθέρικος αὐ-
ανθῇ διεσθίον ἐκπέταται. δοκεῖ δὲ ἴδιον ἔχειν πρὸς τὰ ἄλλα τὰ λειόκαυλα δι-
ότι στενὸς ὢν ἀποφύσεις ἄνωθεν ἔχει. πολλὰ δὲ εἰς τροφὴν παρέχεται χρή-
σιμα· καὶ γὰρ ὁ ἀνθέρικος ἐδώδιμος σταθευόμενος καὶ τὸ σπέρμα φρυγόμενον
καὶ πάντων δὲ μάλιστα ἡ ῥίζα κοπτομένη μετὰ σύκου καὶ πλείστην ὄνησιν ἔχει
καθ᾽ Ἡσίοδον. ἅπαντα μὲν οὖν φιλόζωα τὰ κεφαλόρριζα μάλιστα δ᾽ ἡ σκίλλα· 4.
καὶ γὰρ κρεμαννυμένη ζῇ καὶ πλεῖστόν γε χρόνον διαμένει· δύναται δὲ καὶ τὰ
θησαυριζόμενα σώζειν ὥςπερ τὴν ῥόαν ἐμπηγνυμένου τοῦ μίσχου, καὶ τῶν φυ-
τευομένων δ᾽ ἔνια βλαστάνει θᾶττον ἐν αὐτῇ· λέγεται δὲ καὶ πρὸ τῶν θυρῶν
τῆς εἰςόδου φυτευθεῖσαν ἀλεξητήριον εἶναι τῆς ἐπιφερομένης δηλήσεως.
πάντα δὲ ταῦτα ἀθρόα φύεται καθάπερ καὶ τὰ κρόμυα καὶ τὰ σκόροδα· παρα-
βλαστάνουσι γὰρ ἀπὸ τῆς ῥίζης· ἔνια δὲ καὶ ἀπὸ τοῦ σπέρματος φανερῶς οἷον
ὅ τε ἀνθέρικος καὶ τὸ λείριον καὶ τὸ φάσγανον καὶ ὁ βολβός. ἀλλ᾽ ἴδιον τοῦτο 5.
τοῦ βολβοῦ λέγεται τὸ μὴ ἀπὸ πάντων βλαστάνειν ἅμα τῶν σπερμάτων ἀλλὰ

ἔνια δ' ἔχει] Ald. H.; *ἐνίως ἔ.* St.; *ἔνια δ' ἔχει μέγαν* Sch., qui cum Scaligero defectum sentiebat. At cum *καυλὸς* non dici soleat de scapo aphyllo sed de caule folioso, ac verbis disertis scapus florigerus distinctus sit, solum *καυλός* sufficere videtur.

σκίλλα] M Ald. Sch.; *σκύλλα* H. St.; *καθ. καὶ ἡ σκ.* St.

ἴρις] St. Sch.; *ἦρις* Ald. H.

πάντων ἀσφοδ.] UM; *παντ. ὁ ἀσφ.* Ald. Edd. o.

ἴριδος] St. Sch.; *ἤριδος* Ald. H.

ἀνθερικώδης] Ald. Edd.; *ἀνθεριώδης* U.

χρώματι] UM G. St. Sch.; *σχήματι* Ald. H.

ἐκπίπτει δὲ] sic correxi; *ἐκπίπτων δὲ* Ald. Edd.; Sch. *δὲ* seclusit. *Decidit aestate* G. Sed participium hic non locum habet.

3. *ἄνθησιν*] e corr. Scal. H. St. Sch.; *ἄνανσιν* correctum in *αὔανσιν* U, *ἄνανσιν* M; *αὔανσιν* Ald. *Floret per partes ut etiam scilla* G.

σκίλλης] P Sch.; *σκύλλης* Ald. Edd. — Deinceps *ἄρξεται* P.

ὃς εἰς] Ald. Edd.; *ὃ εἰς* UP; *ὃ καὶ εἰς* M.

ἀνθρηνοειδὲς] U Sch. syll., ut correxerat H. Steph.; *ἀνθηνοειδὲς* P Ald. H.; *ἀθεροειδὲς* St.

αὐανθῇ] *cum herba florere incipit* G., igitur *ἀνθῇ* habuit. *ἀνανθῇ* P.

διεσθίον] U Sch. syll.; *διεσθίων* Ald. Edd. o.

λειόκαυλα] *ὁ ἀσφόδελος* i. u. addit St.

καὶ πάντων] U Sch. syll.; *καὶ* om. Ald. Edd. o.

Ἡσίοδον] Op. et D. v. 41, laudatus etiam Galen. IV. p. 335

4. *σκίλλα*] P Sch.; *σκύλλα* Ald. Edd.

κρεμαννυμένη] tacite scripserat Sch., confirmant UP2; *κρεμαμένη* Ald. Edd.

ἐμπηγνυμένου] UP2, de corr. Scal. St. Sch.; *ἐκπηγν.* Ald.; *ἐκρηγνυμένου* H.; *detracto pediculo* G. Antea *τὸ ῥόον* St., *τὴν ῥοιὰν* P2.

ἀλεξητήριον] St. Sch.; *ἀλεξιτήριον* P2 Ald. H.

ἔνια δὲ καὶ] UMP Sch.; *καὶ* om. Ald. Edd. o.

ἀνθέρικος] *ἀσφόδελος* mavult Sch.

τοῦ μὲν αὐτοετὲς τοῦ δ' εἰς νέωτα καθάπερ τὸν αἰγίλωπά φασι καὶ τὸν λωτόν.
τοῦτο μὲν οὖν εἴπερ ἀληθὲς κοινὸν ἑτέρων. κοινὸν δὲ ἴσως καὶ τὸ μέλλον λέ-
γεσθαι πλὴν οὐ πολλῶν θαυμαστὸν δὲ ἐπὶ πάντων, ὅπερ ἐπί τε τῆς σκίλλης καὶ
τοῦ ναρκίσσου συμβαίνει· τῶν μὲν γὰρ ἄλλων καὶ τῶν ἐξ ἀρχῆς φυτευομένων
καὶ τῶν βλαστανόντων καθ' ὥραν ἔτους τὸ φύλλον ἀνατέλλει πρῶτον εἶθ' ὕστε-
6. ρον ὁ καυλός· ἐπὶ δὲ τούτων ὁ καυλὸς πρότερον. τοῦ ναρκίσσου δὲ ὁ τοῦ ἄν-
θους μόνον εὐθὺ προωθῶν τὸ ἄνθος· τῆς δὲ σκίλλης καθ' αὑτὸν, εἰς ὕστερον
ἐπὶ τούτῳ τὸ ἄνθος ἀνίσχων προςκαθήμενον· ποιεῖται δὲ τὰς ἀνθήσεις τρεῖς
ὧν ἡ μὲν πρώτη δοκεῖ σημαίνειν τὸν πρῶτον ἄροτον ἡ δὲ δευτέρα τὸν μέσον ἡ
δὲ τρίτη τὸν ἔσχατον· ὡς γὰρ ἂν αὗται γένωνται καὶ οἱ ἄροτοι σχεδὸν οὕτως
ἐκβαίνουσιν· ὅταν δὲ οὗτος ἀπογηράσῃ τότε ἡ τῶν φύλλων βλάστησις πολλαῖς
ἡμέραις ὕστερον· ὡςαύτως δὲ καὶ ἐπὶ τοῦ ναρκίσσου, πλὴν οὔτε καυλὸν ἕτερον
ἔχει παρὰ τὸν τοῦ ἄνθους ὥςπερ εἴπομεν οὔτε καρπὸν φανερὸν ἀλλ' αὐτὸ τὸ
ἄνθος ἅμα τῷ καυλῷ καταφθίνει καὶ ὅταν αὐανθῇ τότε τὰ φύλλα ἀνατέλλει.
7. πρὸς μὲν οὖν τὰ ἄλλα τὰ συνάμφω ταῦτα ἴδια· πρὸς δὲ τὰ προανθοῦντα τῶν
φύλλων καὶ τῶν καυλῶν, ὅπερ δοκεῖ ποιεῖν τό τ' ἴφυον καὶ ἕτερα τῶν ἀνθικῶν
ἔτι τε τῶν δένδρων ἡ ἀμυγδαλῆ μάλιστα ἢ μόνον, ὅτι ταῦτα μὲν ἅμα τῷ ἄνθει

5. *τοῦ μὲν αὐτοετὲς τοῦ δὲ*] UM Ald. Sch. syll.; *τὸ μὲν αὐ. τὸ δὲ* H. St. Sch.cont.; *αἰγίλωπα*] Sch.; *aegilopa* Plin. 11, 17; *γίλωπα* UM Ald.; *γίγλοπα* H.; *αἰγίλοπα* St.

σκίλλης] P Sch.; *σκύλλης* Ald. Edd.

ναρκίσσου] P Bas. Sch.; *ναρκίσου* Ald. H.; *κρόκου* substituit hic et in sequentibus ubique St. auctore Plinio, 21, 17 s. 66, refutatus a Sch.

ὥραν ἔτους] U Sch.syll.; *ἔτους* om. Ald. Edd. o.

6 *τοῦ ναρ.—μόνον*] *καὶ τοῦ κρόκου* substituit St.

εὐθὺ προωθῶν] sic correxi; *εὐθυπρόωρον* Ald. H. St.; *εὐθύς· πρόωρον γὰρ τὸ ἄνθος* auctore Scal. Sch. e versione Gazae *et narcissi quidem floris tantum caulis protinus exit. Flos enim ejus plurimum festinat.* Sed quae sequuntur de scilla, aliud hic dictum fuisse ostendunt. Recte igitur Sch. in Comm. vidit duce Plinio (21 s. 66. *Notabilis et scillae crocique natura, quod cum omnes herbae folium primum emittant, mox in caulem rotundentur, in iis caulis prior intelligitur quam folium. Et in croco quidem flos impellitur caule: in scilla vero caulis exit, deinde flos ex eo emergit.*) *εὐθὺς προωθεῖ τὸ ἄνθος* scribi p sse.

σκίλλης] Sch.; *σκύλλης* Ald. Edd.

ἀνίσχων] corr. Sch.; *ἀνίσχον* Ald. Edd. — *ἐπὶ τούτῳ δὲ* St.

οὗτος ἀπογ.] corr. Sch.; *οὕτως ἀπ.* Ald. Edd.

ναρκίσσου] Bas. H. Sch.; *ναρκίσου* Ald. Cam.; *κρόκου* St.

παρὰ τὸν] Ald. etc.; *παρὰ τῶν* Bas.

ἀλλ' αὐτὸ τὸ] UMP Sch.; *ἀλλὰ καὶ αὐτὸ τὸ* Ald. Edd.

αὐανθῇ] Ald. cett.; *cum reflorescit* G., qui *ἀνανθῇ* habuisse videtur.

7. *πρὸς μέν — προφαίνει*] Ald. H.; St. mutavit *συνάμφω* in *συνανθοῦντα*. Sch. locum vitiosum esse ratus sic correxit: *πρὸς μὲν οὖν τὰ ἄλλα τὰ προανθοῦντα τ. φ. — ἢ μόνον τὰ συνάμφω. ταῦτα ἴδια, ὅτι ταῦτα μὲν — προφαίνει,* quam scripturam multis de causis improbamus. Primum est mutatio violenta, dein ne sic quidem structura bene procedit neque sensus bonus prodit, tum particulae *μὲν οὖν* indicant primis verbis inesse clausulam ad praecendentia pertinentem. Retiuni veterem scripturam, quam etsi non omnino integram, a vera tamen proxime abesse existimo. Sic explico: A reliquis (radice bulbosa praeditis) igitur duo haec (scilla ac narcissus) modo dicto differunt. Ab iis vero quae ante folia et caulem emissa florent, qualia sunt iphyum et amygdala, (scil. eo differunt, *ἰδίως ἔχει*) quod haec q. sqq. — Dein St. *ταῦτα μὲν οὐχ ἅμα — φύλλον ἀλλ' εὐθύς*.

τ' ἴφυον] sic correxi; *τίφυον* Ald. Edd.; *ἴφυον* mBas.; *typhium* G. Tarv.; *iphyum* G. Bas. Par. Cf. 6, 6, 10.

προφαίνει τὸ φύλλον ἢ εὐθὺς κατόπιν ὥστε καὶ διαζητεῖσθαι περί τινων, ἐπὶ δὲ
τούτων οἷον ἀφ' ἑτέρας ἀρχῆς φαίνεται καὶ διὰ τὸ πλῆθος τῶν ἡμερῶν καὶ διὰ
τὸ μὴ πρότερον βλαστάνειν πρὶν ἂν τοῦ μὲν τὸ ἄνθος τοῦ δὲ καὶ ὁ καυλὸς ὅλος
ἀπογηράσῃ. ἡ δὲ βλάστησις προτέρα μὲν τῆς σκίλλης ὑστέρα δὲ τοῦ ναρκίσ-
σου· πολὺ δὲ πλέον τὸ φύλλον οὗτος ἀφίησι καί ἐστιν ἡ ῥίζα αὐτὴ μικρὰ καὶ
οὐ μεγάλη προσεμφερὴς δὲ κατὰ τὸ σχῆμα τῷ βολβῷ πλὴν οὐ λεπυριώδης.
ταῦτα μὲν οὖν ἔχει σκέψιν· τῶν δὲ βολβῶν ὅτι πλείω γένη φανερὸν, καὶ γὰρ 8. 13 H.
τῷ μεγέθει καὶ τῇ χρόᾳ καὶ τοῖς σχήμασι διαφέρουσι καὶ τοῖς χυλοῖς. ἐνιαχοῦ
γὰρ οὕτω γλυκεῖς ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι καθάπερ ἐν Χερρονήσῳ τῇ ταυ-
ρικῇ. μεγίστη δὲ καὶ ἰδιωτάτη διαφορὰ τῶν ἐριοφόρων· ἔστι γάρ τι γένος τοι-
οῦτον ὃ φύεται μὲν ἐν αἰγιαλοῖς ἔχει δὲ τὸ ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας
ὥστε ἀνὰ μέσον εἶναι τοῦ τε ἐδωδίμου τοῦ ἐντὸς καὶ τοῦ ἔξω· ὑφαίνεται δὲ ἐξ
αὐτοῦ καὶ πόδεια καὶ ἄλλα ἱμάτια· δι' ὃ καὶ ἐριῶδες τοῦτο καὶ οὐχ ὥσπερ τὸ
ἐν Ἰνδοῖς τριχῶδες. πλείω δὲ καὶ τὰ βολβώδη καὶ ἐλάττω. ταῦτα δὲ . . . 9.
καθάπερ τὸ λευκόϊον καὶ βολβίνη καὶ ὀπιτίων καὶ κύϊξ καὶ τρόπον τινὰ τὸ σισυ-
ρίγχιον. βολβώδη δὲ ταῦτα ὅτι στρογγύλα ταῖς ῥίζαις· ἐπεὶ τοῖς γε χρώμασι
λευκὰ καὶ οὐ λεπυριώδη. ἴδιον δὲ τοῦ σισυριγχίου τὸ τῆς ῥίζης αὐξάνεσθαι

φύλλον ἢ εὐθὺς] corr. Sch.; *ἢ* om. Ald. H.

ἐπὶ δὲ τούτων] corr. H. St. Sch.; *περὶ δὲ τ.* Ald. UM. — *οἷον εἰ — φαίνηται* St.

πρὶν ἂν] Addidi *ἂν* de meo.

τοῦ μὲν — τοῦ δὲ] Ald. H.; *τῆς μὲν — τοῦ δὲ* St. Spr.; *τοῦ μὲν τῆς δὲ* Sch.

σκίλλης] Sch.; *σκύλλης* Ald. Edd.

τοῦ ναρκίσσου] UMP Sch.; articulo om. Bas. H. St.; *ναρκίσου* sine *τοῦ* Ald. Cam.

οὗτος] mBas. St. Sch.; *οὕτως* Ald. H. —; *δὲ πλέον τὸ* margo U. Sch.syll.; *δέ καὶ τὸ* Ald. Edd.

μικρὰ κ. οὐ μ.] *οὐ μικρὰ καὶ οὐ μεγάλη* Ald. Edd.; Sch. prius *οὐ* seclusit. Sed ejusmodi appositum *καὶ οὐ μεγάλη* ibi tantum locum habet ubi antea de alia, quae est *μεγάλη*, sermo fuit. Mihi vitium in verbis *καὶ οὐ μεγάλη* esse videtur.

προσεμφερὴς δὲ] U Sch.syll.; *δὲ* om. Ald. Edd. o.

οὐ λεπυριώδης] corr. Sch.; *οὐδὲ πυρώδη* UM Ald.; *οὐ λεπυρώδης* H.; *εἰ λεπυρώδης* St.; *non squamata* G.

οὖν ἔχει σκέψιν] *οὖν τοιαύτην ἔχει τὴν σκ.* Sch.

8. *Χερρον· τῇ ταυρ.*] H. St. Sch.; *χερονήσῳ τῇ ταυρ.* Ald.; *cherroneso taurica* Plin. 19, 5 s. 30; *χερρ. καὶ τῇ ταυρ.* UM.

φύεται μὲν ἐν αἰγ.] sic correxi; *φύεται μὲν αἰγ.* UM Ald.; *φ. ἐν αἰγ.* H. Sch.; *φ. αἰγ.* St.

πόδεια] H. St. Sch.; *πόδια* UM Ald.

διὸ καὶ ἐρ.] *διὸ* aperte est vitiosum. An scribendum *ἔστι δὲ ἐρ.*?

καὶ ἐλάττω] UM Ald.; *καί οὐκ ἐλάττω* H. St. Sch.; *nec iis pauciora notare licet* G. Equidem hoc ineptum esse censeo. Fortasse *πλείω δὲ γένη βολβώδη καὶ ἐλάττω* scriptum fuit; sed cetera non expedio.

9. *ταῦτα δὲ . . . καθάπερ*] Lacunam indicavi. Etenim verba *τρόπον τινὰ* indicant hic excidisse aliquid. Voci *καθάπερ* substituit *καλεῖται* St.

ὀπιτίων] H. Sch.; *opticionem* G.; *ὁ πιτίων* Ald.; *ὁ πιτύων* St.; *pithyon* Plin. 1, 9, s. 30.

κύϊξ] Ald. Sch.; *κύξ* UMP; *κόιξ* H.; *cicem* G.

σισυρίγχιον] H. St. Sch.; *σισυριύγχιον* U, *σισυριύχιον* M, *σισυρίχιον* Ald. P.; *sesyrinchium* G.

βολ. δὲ ταῦτα] *λέγεται* add. Sch., quod subaudiendum.

ἐπεὶ] *ἔτι* St. — *τοῖς γε χρ.* corr. Sch.; *τοῖς τε χρ.* Ald. Edd. — Sch. e versione Gazae colligit eum integrius scriptum habuisse *χρώμασι πάνυ διαφέρει . . λευκὰ γάρ.*

λεπυριώδη] Sch.; *λευπυρώδη* Ald. Edd.

ἴδιον δὲ] *τὸ* addit St.

σισυριγχίου] H. St. Sch.; *σισυριχίου* Ald.; *sisyrinchio* G.

τὸ κάτω πρῶτον, ὃ καλοῦσι . . . χειμῶνα, τοῦ δ' ἦρος ὑποφαίνοντος τοῦτο μὲν ταπεινοῦσθαι τὸ δ' ἄνω τὸ ἐδώδιμον αὐξάνεσθαι. καὶ τὰ μὲν τοιαύτας ἔχει τὰς διαφοράς.

12 St. CAP. XIV. Ἴδια δὲ καὶ ταῦτα ἐν τοῖς ποιώδεσιν, οἷον τό τε ἐπὶ τοῦ ἀδιάντου συμβαῖνον· οὐδὲ γὰρ ὑγραίνεται τὸ φύλλον βρεχόμενον οὐδ' ἐπίδροσόν ἐστι διὰ τὸ μὴ τὴν νοτίαν ἐπιμένειν ὅθεν καὶ ἡ προσηγορία. γένη δὲ αὐτοῦ δύο. τὸ μὲν λευκὸν τὸ καὶ τριχομανὲς καλούμενον, τὸ δὲ μέλαν, χρήσιμα δ' ἀμφότερα πρὸς ἔκρυσιν κεφαλῆς τριχῶν ἐν ἐλαίῳ τριβόμενα. φύεται δὲ μάλιστα πρὸς τὰ ὑδρηλά. ὡς δὲ οἴονταί τινες καὶ πρὸς στραγγουρίαν τὸ τριχομανὲς ποιεῖ· ἔχει δὲ τὸν καυλὸν ὅμοιον τῷ ἀδιάντῳ τῷ μέλανι, φύλλα δὲ μικρὰ σφόδρα καὶ πυκνὰ καὶ πεφυκότα κατ' ἀντικρὺ ἀλλήλων, ῥίζα δὲ οὐχ ὕπεστι· χωρία
2. δὲ φιλεῖ σκιερά. τῶν δὲ κατὰ μέρος ἀνθούντων ἴδιον τὸ περὶ τὸ ἄνθεμον ὅτι τῶν μὲν ἄλλων πάντων τὰ κάτω πρῶτον ἀπανθεῖ τούτου δὲ τὰ ἄνω· τυγχάνει δ' αὐτοῦ τὸ μὲν κύκλῳ τὸ λευκὸν ἄνθος τὸ δὲ ἐν τῷ μέσῳ τὸ χλωρόν· καὶ καρπὸς ὃς ἐκπίπτει καθάπερ τοῖς ἀκανθώδεσι καταλιπὼν τὴν πρόσφυσιν κενήν· εἴδη
3. 14 H. δ' αὐτοῦ πλείω. ἴδιον δὲ καὶ τὸ περὶ τὴν ἀπαρίνην ἣ καὶ τῶν ἱματίων ἀντέχεται διὰ τὴν τραχύτητα καί ἐστι δυσαφαίρετον· ἐν τούτῳ γὰρ ἐγγίνεται τῷ τραχεῖ τὸ ἄνθος οὐ προϊὸν οὐδὲ ἐκφαῖνον ἀλλ' ἐν ἑαυτῷ πεττόμενον καὶ σπερμο-

πρῶτον ὃ καλοῦσι . . . χειμ.] Lacunam indicavi; continuo scripta exhibent UM Ald.; *ὃ — χειμ.* seclusit Sch.; idem in Syll. *πρῶτον . . . κατὰ χειμ.* correxit; *πρῶτον κατὰ χειμ.* H. St. Si verba *ὃ καλοῦσι* genuina sunt, excidisse aliquid apparet; alioquin in Heinsii scriptura a Dalecampio profecta acquiescere licet.

ὑποφαίνοντος τοῦτο] UM Ald. Sch.; *ὑποφ. τοῦ ἴου, τοῦτο* H. St. e Plinio 19 s. 30.

CAP. XIV.

οἷον] UMP Sch.; om. Ald. Edd.; *ὡς τὸ ἐπὶ* St.

βρεχόμενον] *δεχόμενον* P2.

οὐδ' ἐπίδροσόν ἐστι] dedi e conj.; *οὐδ' ἐπίδηλόν ἐστι* U P2 M Ald. Sch.; *ὃ μὲν ἐπίδηλόν ἐστι* H. St.; *nec quicquam adhaesisse humoris constat* G. Schn. Aldinae scripturam sufficere putat, modo addatur in sequentibus negatio. At quid novi inest verbis *οὐδ' ἐπίδηλόν ἐστι?* Dein *οὐδὲ* ab initio positum monstrat alterum sequi quod ad eandem rem explicandam faciat. Quo nihil aptius quam *ἐπίδροσον.* Quod si offendis in vocabulo novo, poteris *ἔνδροσον* substituere quod Lexica habent: quanquam non video cur *ἐπίδροσον* Graecos dixisse negemus, cum *ἔνδροσον* dixerint.

τὸ μὴ τὴν νοτίαν ἐπιμ.] dedi de conjectura; necessario enim addenda est negatio, quam ante *τὴν* excidisse verisimilius est, quam post *νοτίαν* ubi Sch. suppleri eam voluit. *τὸ τὴν νοτίαν ἐπιμ.* P2 Ald. H.; *τὸ τὴν νοτίαν [οὐκ] ἐπιμ.* Sch.

τὸ καὶ τριχόμανες καλούμενον] Haec verba, quae in libris non extant, auctore Schneidero addere non dubitavi; sequentia enim haec scripta olim fuisse ostendunt. Sch. voluit *ἰδίως τριχ. καλ.*

ἔκρυσιν] UMP2 Sch.; *ἔκφυσιν* Ald. Edd.

φύεται] St. Sch.; *nascuntur* G.; *φύεσθαι* P2 Ald. H.

ποιεῖ· ἔχει] H. St. Sch.; *ποιεῖν· ἔχειν* UM Ald.; *ποιεῖν· ἔχει* P2.

κατ' αὐτικρὺ] P2; *καταντικρὺ* Ald. Edd.

ὕπεστι] U, Sch. e conj.; *ὑθέστη* Ald.; *radicem minimam* G.

2. *πάντων τὰ κάτω*] *παντ. ἴδιον τὸ κάτω* Ald. Edd.; Sch. *ἴδιον* seclusit, equidem omisi ut e proximis huc illatum. — Dein *ἀνθεῖν* St., quod probat Sch. Ceterum *ἀπανθεῖν* Ald. H. quod correxit Sch. — Paullo ante *τὸν ἄνθεμον* U.

τὸ λευκὸν — τὸ χλωρόν] Utrumque *τὸ* seclusit Sch. Non ausim quidquam mutare; fortasse tamen utrobique *ὂν* scriptum fuit. — *μέσῳ χρύσουν* St.

καὶ καρπὸς ὃς ἐκπ.] Haec parum dextra, ut a suspicione vitii vix queant vindicari; *καὶ ὁ καρπὸς* mavult Sch., *ὃς* delevit Dalec. Pro *καταλιπὼν* dedit *καταλείπει* St.

εἴδη δ' αὐτοῦ] Ald. Edd.; *δ'* om. UM.

3. *ἀπαρίνην*] *ἀσπρίνην* P2.

γονοῦν· ὥστε παρόμοιον εἶναι τὸ συμβαῖνον ὥςπερ ἐπὶ τῶν γαλεῶν καὶ ῥινῶν· ἐκεῖνά τε γὰρ ἐν ἑαυτοῖς ᾠοτοκήσαντα ζωογονεῖ, καὶ αὕτη τὸ ἄνθος ἐν ἑαυτῇ κατέχουσα καὶ πέττουσα καρποτοκεῖ.

Cap. XV. Ὅσα δὲ τὰς ἀνθήσεις λαμβάνουσι ἀκολουθοῦντα τοῖς ἄστροις οἷον τὸ ἡλιοτρόπιον καλούμενον καὶ ὁ σκόλυμος, ἅμα γὰρ ταῖς τροπαῖς καὶ οὗτος, ἔτι δὲ τὸ χελιδόνιον, καὶ γὰρ τοῦτο ἅμα τῷ χελιδονίᾳ ἀνθεῖ, ταῦτα δὲ δόξειεν ἂν τῇ μὲν φυσικὴν ἔχειν τὴν αἰτίαν τῇ δὲ συμπτωματικήν. πολλὰ δὲ τοι- 2.
αῦτά ἐστι καὶ ἐν ἑτέροις ἴδια· οἷον καὶ ἡ τοῦ ἀειζώου φύσις τὸ διαμένειν ὑγρὸν ἀεὶ καὶ χλωρὸν, φύλλον σαρκῶδες ἔχον καὶ λεῖον καὶ πρόμηκες. φύεται δὲ ἔν τε τοῖς ἀλιπέδοις τοῖς τε ἐπὶ τῶν τειχῶν ἀνδήροις καὶ οὐχ ἥκιστα ἐπὶ τῶν κεράμων ὅταν ἐπιγένηται γῆς τις ἀμμώδης συρροή. πολλὰ δ' ἄν τις ἴσως λάβοι 3.
καὶ ἕτερα περιττά. χρὴ δὲ ὥςπερ πολλάκις εἴρηται τὰς ἰδιότητας θεωρεῖν καὶ τὰς διαφορὰς πρὸς τὰ ἄλλα. τὰ μὲν ἐν πλείοσιν ἰδέαις ἐστὶ καὶ σχεδὸν οἷον ὁμωνύμοις ὥςπερ ὁ λωτός· τούτου γὰρ εἴδη πολλὰ διαφέροντα καὶ φύλλοις καὶ καυλοῖς καὶ ἄνθεσι καὶ καρποῖς, ἐν οἷς καὶ ὁ μελίλωτος καλούμενος· καὶ δυνάμει δὲ τῇ κατὰ τὴν προσφορὰν ἔτι τε τῷ μὴ τοὺς αὐτοὺς τόπους ζητεῖν. ὁμοίως δὲ καὶ ἕτερα πλείω. τὰ δὲ ἐν ἐλάττοσιν ὥςπερ ὁ στρύχνος 4.

γαλεῶν] Sch.; *γαλέων* P2 Ald. Edd.

ῥινῶν] UP2 Sch.syll.; de conj. RConst.; *κρηνῶν* Ald. H.; *κυνῶν* e mente Scaligeei et C Gesneri St. Sch.; *in galeis ac viperis* G. unde *ἐχιδνῶν* Vo. Cf. Arist. H. Anim. 6 c. 11.

αὕτη] corr. Sch.syll.; *αὐτὸ* P; *αὐτὴ* P2 Ald. Edd.

Cap. XV.

τὰς ἀνθήσεις λαμβάνουσι] U Sch.syll.; *τ. ἀνθ. βλαστάνουσι* M Ald.; *ἀνθῇ ἢ βλαστάνει* H. St.; *ἀνθεῖ ἢ βλαστάνει* Sch.; *quae autem ita ut florent vel germinant* G. Tarv. Athenae. 15 p. 684 *τὰς δ' ἀνθήσεις λαμβάνειν δεῖ συνακολουθοῦντα τοῖς ἄστροις τὸ ἡλιοτρόπιον καλούμενον καὶ τὸ χελιδόνιον· καὶ γὰρ τοῦτο ἅμα τῇ χελιδόνι ἀνθεῖ.*

ἀκολουθοῦντα] Ald. Edd.; *συνακολουθοῦντα* Sch.

ἄστροις] St. Sch.; an M?; *ἀγρίοις* Ald. H.; *ut aliqua sequi videantur* G.

χελιδόνιον] H. St. Sch.; *χεληδόνιον* M Ald.

τῷ χελιδονίᾳ] intellige *ἀνέμῳ*. Sic corr. Sch. in Comm. et Syll.; *τῇ χεληδονίᾳ* M Ald.; *τῇ χελιδόνι* H. St. Sch.cont.; *adventu hirundinis* G.

οἷον καὶ] sic correxi; *διὸ καὶ* Ald. Edd. o.; *ut sempervivo datum a natura est* G.

πρόμηκες] Ald. Edd.; *προμήκηι* U, *προμήκη* M.

ἀλιπέδοις] corr. Sch.; *ἀληπέδοις* U, *ἀληπέδοις* M; *ἀλοπέδοις* Ald. Edd. Cf. Ruhnk. ad Timae. p. 16 ed. Koch et H. Steph. Thesaur. L. gr. ed. Didot.

τοῖς τε ἐπὶ] sic scripsi de emendatione Lobeckii ad Phryn. p. 686; *τοῖς ἐπὶ* Ald. H.; *καὶ τοῖς ἐπὶ* cum Scaligero St. Sch.

τειχῶν] M Sch.; *τοίχων* Ald. Edd.

γῆς τις ἀμμώδης συρ.] UMP, Sch. atque Ald. quoque, sed Bas. et Cam. compendio male intellecto *τῆς* pro *τις* dederunt, unde *γῆς τῆς ἀμμώδους σ.* H. St. fecerunt; *cum terrae confluvium quoddam harenaceum factum est* G.

3. *λάβοι*] *λάβη* P.

πρὸς τά] *πρός τε* UM2.

τὰ μὲν] Ald. H.; *τὰ μὲν γὰρ* St. Sch.

ἐν οἷς καὶ ὁ μελίλωτος] sic praeeunte Bodaeo correxerunt St. Sch.; *ἐν οἷς καὶ ὁ μελίας σῖτος* Ald. H.; *inter quae vel illud redditur quod mel frugum appellant* G. In Syllabo verba *ἐν οἷς — καλούμενος* hinc remota post *ζητεῖν* poni jubet Sch., cum antea post *εἴδη πολλὰ* ponenda esse censuisset. Sed possunt loco suo manere.

δυνάμει δὲ τῇ κ.] sic optime corr. Sch. syll.; *δυν. διτταὶ κ.* UM; *δυν. διτταῖς κ.* Ald.; *δυν. διττῇ κ.* H. St.

4. *ὥσπερ ὁ στρ.*] *ὥς πως ὁ στρ.* M. Cf. 9, 11, 5.

ὁμωνυμίᾳ τινὶ παντελῶς εἰλημμένος· ὁ μὲν γὰρ ἐδώδιμος καὶ ὥςπερ ἥμερον, καρπὸν ἔχων ῥαγώδη, ἕτεροι δὲ δύο εἰσὶν ὧν ὁ μὲν ὕπνον ὁ δὲ μανίαν ἐμποιεῖν δύναται, πλείων δ' ἔτι δοθεὶς καὶ κτείνει. ὁμοίως δὲ τοῦτο καὶ ἐφ' ἑτέρων ἐστὶ λαβεῖν ἃ πολλὴν ἔχει διάστασιν. περὶ μὲν οὖν τῶν ἄλλων τῶν ποιωδῶν ἱκανῶς εἴρηται· περὶ δὲ τοῦ σίτου καὶ τῶν σιτωδῶν μετὰ ταῦτα λεκτέον· τοῦτο γὰρ ἔτι κατάλοιπον ἦν.

ἥμερον] Ald. Edd.; *ἥμερος* Sch.
δὲ δύο] U Ald. H. Sch.; *καὶ δύο* St.
ὧν ὁ μὲν] P2 Ald. Edd. o.; *ὧν* om. U.
ἔτι δοθεὶς] *ἐπιδοθεὶς* P2.
διάστασιν] *τὴν διάστασιν* P2, quae scriptura probari potest.

εἴρηται] Ald. Edd.; *εἰρήσθω* Sch. Aut haec clausula ex initio sequentis libri, aut initium illud ex hac clausula repetitum.
In fine libri haec scripta habet liber Urbinas: *Θεοφράστου περὶ φυτῶν ἱστορίας τὸ* H. *Ἕρμιππος δὲ περὶ φρυγανικῶν καὶ ποιωδῶν, ἀνδρόνικος δὲ περὶ φυτῶν ἱστορίας.*



ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Θ.

Cap. I. Περὶ μὲν οὖν τῶν ἄλλων ποιωδῶν ἱκανῶς εἰρήσθω· περὶ δὲ σίτου
καὶ τῶν σιτωδῶν λέγωμεν ὁμοίως τοῖς πρότερον· τοῦτο γὰρ κατάλοιπον ἦν τῶν
ποιωδῶν. δύο δὲ αὐτοῦ γένη τὰ μέγιστα τυγχάνει· τὰ μὲν γὰρ σιτώδη οἷον
πυροὶ κριθαὶ τίφαι ζειαὶ τὰ ἄλλα τὰ ὁμοιόπυρα ἢ ὁμοιόκριθα· τὰ δὲ χεδροπὰ
οἷον κύαμος ἐρέβινθος πισὸς καὶ ὅλως τὰ ὄσπρια προσαγορευόμενα· τρίτον δὲ
παρ' αὐτὰ κέγχρος ἔλυμος σήσαμον καὶ ἁπλῶς τὰ ἐν τοῖς θερινοῖς ἀρότοις ἀν-
ώνυμα κοινῇ προσηγορίᾳ. ἔστι δὲ ἡ μὲν γένεσις αὐτῶν μία καὶ ἁπλῆ· φύεται 2.
γὰρ ἀπὸ σπέρματος, ἐὰν μή τι σπάνιον καὶ ὀλίγον ἀπὸ τῆς ῥίζης. ὧραι δὲ τοῦ
σπόρου τῶν πλείστων δύο· πρώτη μὲν καὶ μάλιστα ἡ περὶ πλειάδος δύσιν ᾗ
καὶ Ἡσίοδος ἠκολούθηκε καὶ σχεδὸν οἱ πλεῖστοι, δι' ὃ καὶ καλοῦσί τινες αὐτὴν
ἄροτον· ἄλλη δ' ἀρχομένου τοῦ ἦρος μετὰ τὰς τροπὰς τοῦ χειμῶνος. οὐ τῶν

Cap. I.

Ald. inscriptum habet hunc librum: *Θεοφράστου περὶ φυτῶν ἱστορίας τὸ Θ, Ἰστέον ὅτι τὸ ὄγδοον τῶν Θεοφράστου περὶ φυτῶν βιβλίον κατὰ μὲν Ἀνδρόνικον περὶ φυτῶν ἱστορίας ἐπιγέγραπται· κατὰ δὲ Ἕρμιππον περὶ φρυγανικῶν καὶ ποωδῶν.* Eadem habet P, ubi pro *ὄγδοον* est *η*^{ov} scriptum.

ἄλλων ποιωδ.] dedi auctore Sch.; *ἀ. τῶν πο.* Ald. Edd. Ceterum *ποιωδῶν* U; *ποωδῶν* Ald. Edd.

εἰρήσθω] Ald. Edd.; *εἴρηται* Sch. Comma hoc male a librariis bis positum esse jam diximus.

ζειαὶ τὰ ἄλλα] UM Ald. Sch.; *ζ. καὶ ἄλλα* H. St.; *ζειαὶ καὶ τἆλλα* P2.

χεδροπὰ] Ald. H. St.; *χέδροπα* Sch. Scripturam *χεδροπὰ* adnotatam reperio e cod. U 1, 6, 5 et C. pl. 4, 6, 2; eandem dedit Bekker in Aristotele (e. g. 750, a. 752 a) e codicibus optimis. Item Hesychius. *χεδρωπὰ* P2.

ἔλυμος] P2 Ald. Edd. o.; *panicum* G. Sch. in Syll. corr. *μελίνη*, quam formam apud Th. ubique restituendam esse in Indice demonstrare studuit. Atque quod Schn. dicit eandem plantam quae ceteris *ἔλυμος* audiebat, Atticis *μελίνην* vocatam fuisse, verum esse videtur. Malo tamen codicum auctoritati obsecutus Theophrasto utramque formam vindicare, quibus promiscue usus esse videtur. Quamobrem hic et 4, 4. 10 et 8. 11, 1 *ἔλυμος* vetus tenui. Cf. Galen. IV. p. 318.

ἁπλῶς] *ὅλως* P2.

2. *πλειάδος*] corr. Sch.syll.; *πλειάδας* U; *πλειάδων* Ald Edd. o. Cf. Goettl. ad Hesiod. Op. D. v. 383.

ἠκολούθηκε] *ἠκολούθησε* P.

ἄλλη δ' ἀρχομένου] U Sch.syll.; *ἀλλ' ἡ διαρχομένη* M; *ἄλλη δὲ ἀρχομένη* Ald. H.; *ἀ. δὲ ἀρχομένου* St.; *ἄλλη δ' ἡ ἀρχομένου* Sch.cont.

αὐτῶν δὲ ἑκατέρα. τὰ μὲν γὰρ αὐτῶν φιλεῖ πρωϊσπορεῖσθαι, τὰ δὲ ὀψὲ διὰ τὸ
μὴ δύνασθαι φέρειν τοὺς χειμῶνας, τὰ δὲ πρὸς ἀμφοτέρας τὰς ὥρας οὐ κακῶς
3. ἔχει καὶ πρὸς χειμῶνα καὶ πρὸς ἔαρ. πρωΐσπορα μὲν οὖν ἐστι πυρὸς κριθή,
καὶ τούτων ἡ κριθὴ πρωϊσπορώτερον· ἔτι δὲ ζειὰ τίφη ὀλύρα καὶ εἴ τι ἕτερον
ὁμοιόπυρον· ἁπάντων γὰρ σχεδὸν ὁ αὐτὸς χρόνος τῆς σπορᾶς· τῶν δὲ χεδρο-
πῶν μάλιστα ὡς εἰπεῖν κύαμος καὶ ὦχρος· ταῦτα γὰρ διὰ τὴν ἀσθένειαν προ-
λαβεῖν τῇ ῥιζώσει βούλεται τοὺς χειμῶνας· πρωΐσπορον δὲ καὶ ὁ θέρμος· ἀπὸ
4. τῆς ἅλω γάρ φασι δεῖν καταβάλλειν εὐθύς. ὀψίσπορα δὲ τούτων γε αὐτῶν ὅσα
διαφέρει τοῖς γένεσιν οἷον πυρῶν τέ τι γένος καὶ κριθῶν ὃ καλοῦσι τρίμηνον
διὰ τὸ ἐν τοσούτῳ τελειοῦσθαι· καὶ τῶν χεδροπῶν τὰ τοιάδε φακὸς ἀφάκη πι-
σός. ἐν ἀμφοτέραις δὲ ταῖς ὥραις τῶν χεδροπῶν καθάπερ ὄροβος ἐρέβινθος·
οἱ δὲ καὶ τὸν κύαμον ὀψὲ σπείρουσιν ἐὰν ὑστερήσωσι τῶν πρώτων ἀρότων.
ἁπλῶς δὲ πρωϊσποροῦσι τὰ μὲν δι' ἰσχὺν ὡς δυνάμενα φέρειν τοὺς χειμῶ-
νας, τὰ δὲ δι' ἀσθένειαν ὅπως προλάβωσι ταῖς εὐδίαις τὴν αὔξησιν. δύο
μὲν οὖν αὗται. τρίτη δὲ τῶν θερινῶν ἣν εἴπομεν ἐν ᾗ κέγχρος σπείρεται καὶ
μέλινος καὶ σήσαμον ἔτι δ' ἐρύσιμον καὶ ὅρμινον. χρόνοι μὲν οὖν ἑκάστων
5. οὗτοι. βλαστάνει δὲ τὸ μὲν θᾶττον τὸ δὲ βραδύτερον· καὶ κριθὴ μὲν καὶ πυρὸς
ἑβδομαῖα μάλιστα· προτερεῖ δὲ ἡ κριθὴ μᾶλλον· τὰ δ' ὄσπρια τεταρταῖα ἢ
πεμπταῖα πλὴν κυάμων· κύαμος δὲ καὶ τῶν σιτωδῶν ἔνια πλείοσιν· ἐνιαχοῦ
γὰρ καὶ πεντεκαιδεκαταῖος ὁτὲ δὲ καὶ εἰκοσταῖος· δυσφυέστατον γὰρ τοῦτο
πάντων, ἐὰν δὲ δὴ καὶ σπαρέντος ἐπὶ πλέον ὕδωρ ἐπιγένηται καὶ παντελῶς. εἰ

πρωϊσπορεῖσθαι] Ald. St. Sch.; *πρωϊ σπορεῖσθαι* H.; *προσυσπορῆσθαι* M.

[3] *τῶν δὲ χ.*] *τῶν δέ γε χ.* Ald. Edd. Equidem *γε*, quod Sch. seclusit, ut parum aptum et ex initio sequentis vocis ortum omisi.

καὶ ὦχρος] dedi de conj.; *καὶ κέγχρος* Ald. H. St., seclusit Sch.; *καὶ λάθυρος* conj. Bod. E leguminosis nihil voci *κέγχρος* similius quam *ὦχρος*, quod substitui. G. omisso hoc nomine ejus loco habet *mature seri exposcit*, quibus in graecis nihil respondet.

τοὺς χειμῶνας] U Sch. de conj.; *τοῦ χειμῶνος* Ald. H. St. Cf. C. 2, 12, 5.

ἅλω γὰρ] Ald. Edd. o.; *γὰρ* om. UM.

τούτων γε αὐτ.] U; *τ. δὲ αὐ.* M; *τούτων αὐτῶν* Ald. Edd. o.; *τούτων γ' αὐτ.* Sch. syll.

[4] *τοῖς γένεσιν*] Aut *τῇ γενέσει* aut *ταῖς γενέσεσιν* scriptum fuisse existimo.

πυρῶν] UMP Sch.; *τε* om. Ald. Edd.

τρίμηνον] mU mM Vo. Vin. St. Sch.; *trimestre* G.; *τρίγονον* U; *τρίγωνον* M Ald. H.

χεδροπῶν] Ald. H. St.; *χεδρόπων* Sch.; *σχεδροπῶν* M ut fere ubique.

χεδροπῶν καθ.] *τινα* interser. St. — Vocem *καθάπερ* non expressit G.

ὑστερήσωσι] UM Sch.; *ὑστερίσ.* Ald. H. St.

πρωϊσποροῦσι] Edd. post H.; *πρωϊσπερ.* Ald.

δι' ἰσχὺν] Ald. Edd. et U e correctione; *δεῖ ἰσχὺν* m. pr. U.

ὡς δυνάμενα] Edd. post H. cum Scal. Vin.; *ὡς οὐ δυν.* UM Ald. An *ὡς εὖ δυν.* scribendum?

αὗται] *σπόραι* i. u. add. St.

εἴπομεν] *εἴπωμεν* U.

μέλινος] P Ald. H. St.; *ἔλυμος* Sch. cont.; *μελίνη* idem in Indice; *panicum* G. — *τὴν μελ.* Cam.

ὅρμινον] St. Sch.; *ὅρμηνον* M. Ald. H.

χρόνοι] *χρόνιοι* U, ut saepius.

[5] *τὸ μὲν — τὸ δὲ*] M.; *τὰ μὲν — τὰ δὲ* Ald. Edd.; *aliud — aliud* G.

πεμπταῖα] *ἑκταῖα* P2.

σιτωδῶν ἔνια πλείοσιν] dedi de conj.; *σιτ. ἐν πλ.* Ald. H.; *σιτωδῶν τινα ἐν πλ.* St. Sch. Sed mihi *ἐν* reliquiae esse vocis *ἔνια* videntur. — *πλείωσιν* Bas.

γὰρ καὶ] UMP2 Sch.; *δὲ καὶ* Ald. H.; *δὲ* St.; *quibusdam enim in locis* G.

δὲ τῶν ἐν τοῖς ἠρινοῖς ἀρότοις θᾶττον ἡ ἔκφυσις διὰ τὴν ὥραν σκεπτέον. χρὴ 6.
δὲ τὰς ἀναβλαστήσεις καὶ τὰς διαφύσεις ταύτας ὡς ἐπὶ τὸ πᾶν διαλαβεῖν· ἐνί-
οτε γὰρ ἐνιαχοῦ καὶ ἐν ἐλάττοσιν ἡμέραις καθάπερ ἐν Αἰγύπτῳ κριθή· τριταίαν
γάρ φασι καὶ τεταρταίαν ἀνατέλλειν· παρ᾽ ἄλλοις δὲ ἐν πλείοσι τῶν εἰρημένων,
ὅπερ καὶ οὐκ ἄλογον ὅταν καὶ χώρα καὶ ἀὴρ διαφέρῃ καὶ πρωϊαίτερον ἢ ὀψι-
αίτερον ἀρόσῃ καὶ τὰ ἐπιγινόμενα ἀνόμοια τυγχάνῃ. ἡ μὲν γὰρ μανὴ καὶ
κούφη καὶ εὐκράτῳ ἀέρι ταχὺ καὶ ῥᾳδίως ἀναδίδωσιν, ἡ δὲ γλίσχρα καὶ βαρεῖα
βραδέως, ἡ δὲ τοῖς τόποις αὐχμωδεστέρα βραδύτερον. ἔτι δὲ ἂν χειμῶνες ἐπι- 7
γένωνται καὶ αὐχμοὶ καὶ εὐδίαι καὶ πάλιν ὕδατα· καὶ γὰρ ἐν τούτοις πολὺ παρ-
αλλάττουσιν. ὡσαύτως δὲ καὶ ἐὰν ἡ γῆ προειργασμένη καὶ κόπρον ἔχουσα
τυγχάνῃ, καὶ ἐὰν μηδὲν τούτων· ἐπεὶ καὶ περὶ τὸ πρωϊσπορεῖν ἕκαστα καὶ ὀψι-
σπορεῖν αἱ χῶραι διαφέρουσιν. ἔνιοι δὲ καὶ περὶ τὴν Ἑλλάδα πάντα πρωϊσπο-
ρεῖν εἰώθασι διὰ ψυχρότητα τῆς χώρας, ὥσπερ οἱ Φωκεῖς, ὅπως ἂν οἱ χειμῶ-
νες μὴ νήπια καταλαμβάνωσιν.

Cap. II. Βλαστάνει δὲ τὰ μὲν ἐκ τοῦ αὐτοῦ τὴν ῥίζαν ἀφιέντα καὶ τὸ φύλλον 2H. St.
τὰ δὲ ἑκάτερον ἐξ ἑκατέρου τοῦ ἄκρου. πυρὸς μὲν οὖν καὶ κριθὴ καὶ τίφη καὶ
ὅλως ὅσα σιτώδη πάντα ἐξ ἑκατέρου ὥςπερ ἐν τῷ στάχυϊ πέφυκεν, ἀπὸ μὲν
τοῦ κάτω τοῦ παχέος τὴν ῥίζαν ἀπὸ δὲ τοῦ ἄνω τὸν βλαστόν· ἓν δέ τι καὶ συν-

ἠρινοῖς] U; *ἱρινοῖς* M; *ἐαρινοῖς* Ald. Edd. o.

6. *γὰο ἐνιαχοῦ ἐν*] Ald. H.; *γὰρ καὶ ἐνιαχοῦ ἐν* Vin. St. Sch. Debebant illi certe *καὶ* ante *ἐν* tenere.

Αἰγύπτῳ κριθή] Vocem *κριθή* addidi de conjectura. Manifestum vero est nomen plantae hic excidisse. Ut enim scriptum fuit, intelligendus erat e superioribus *ὁ κύαμος*. Sed id aegre fit; nimis multa enim intersunt, quae illud repetere hic vetant. Vetat etiam res ipsa; nam si *faba*, quam supra saepe quindecim vel viginti diebus germen edere dixerat, in Aeeypto id faceret diebus tribus, gravius ac fortius tantam differentiam pronuntiasset. Vetat denique libri Urb. auctoritas qui *τριταίαν — τεταρταίαν* dat, quae a librariis sciolis ad *κύαμον* haec referentibus in *τριταῖον — τεταρταῖον* mutata esse mihi persuadeo. Jam comparatis iis quae de *hordeo* paullo ante dicta sunt, vocem *κριθή* ob similem sonum literarum sequentium intercidisse conjicio.

τριταίαν — φασι — τεταρταίαν] U; *τριταῖον — φησι — τεταρταῖον* Ald. H. St.; *τριταῖον — φασι — τεταρταῖον* Sch.

ἀρόσῃ] U, Sch. intellecto *τις*, quod quidem aegre fit; *ἀρώσῃ* M; *ἀρόσειν* Ald.; *ἀρώσειν* H.; *ἀρώσεις* [*εἶναι*] St. Fortasse *ἀρόσῃς* scribendum.

ἀνόμοια] UMP Vin. Sch.; *ἂν ὅμοια* Ald.; *οὐχ ὅμοια* H. St.

τυγχάνῃ] U Sch.; *τυγχάνει* Ald. H. St.

εὐκράτῳ] corr. Scalig. H. St. Sch.; qui *ἐν εὐκράτῳ* dedit; *εὐκάρπῳ* Ald.; *ἐν εὐκάρπῳ* Vo. Vin.; *benigno coelo subjecta* G. Ceterum St. dedit *τυγχάνειν*. *ἃ μὲν γὰρ ἂν μανῇ καὶ κουφῇ* (*χώρᾳ*) *καὶ εὐκράτῳ ἀέρι — ἃ δὲ γλίσχρᾳ καὶ βαρεῖ βρ. ἃ δὲ τ. τ. α. βραδύτερον.*

βραδύτερον] St. Sch.; *βραδέως* Ald.; *tardius* G.

7. *ἔτι — ἐπιγένωνται*] *ἔστι δὲ ἂν χειμῶνος ἐπιγένονται* M.

γῆ πρ.] Sch. cum secluso *ὡς*; *γῆ ὡς πρ.* Ald. H.; *γῆ ὡς πρ.* U e correctione, antea fuit *ιος πρ.* St. *ὡς* hic om. posuit vero ante *καὶ ἐὰν*.

ἐπεὶ] *ἔτι* St.

τὸ πρ.] corr. Sch.; *τοῦ πρ.* Ald. Edd.

Cap. II.

ἐκ τοῦ αὐτοῦ] *ἀφ᾽ ἑαυτοῦ* P.

ὥςπερ ἐν] e conj. Scal. St. Sch.; *πάντα ἐν* Ald. H. *ὥςπερ — πέφυκε* om. G. Cf. C. pl. 4, 7, 4,

σιάχυϊ] corr. Sch.; *σταχύει* U; *στάχει* Ald. H. St.

βλαστὸν] *ἀφίησι* i. u. add. St.

εχὲς γίνεται τὸ ἀμφοῖν τῆς τε ῥίζης καὶ τοῦ καυλοῦ. κύαμος τε καὶ τὰ ἄλλα χεδροπὰ οὐχ ὁμοίως ἀλλ' ἐκ τοῦ αὐτοῦ τὴν ῥίζαν καὶ τὸν καυλὸν καθ' ὃ καὶ ἡ πρόςφυσις αὐτῶν ἐστι πρὸς τὸν λοβὸν ἐν ᾧ καὶ ἔχουσιν οἷον ἀρχήν τινα φανεράν· ἐπ' ἐνίων δὲ καὶ αἰδοιώδες φαίνεται καθάπερ ἐπὶ τῶν κυάμων καὶ τῶν ἐρεβίνθων καὶ μάλιστα τῶν θέρμων· ἐκ τούτου γὰρ ἡ μὲν ῥίζα κάτω τὸ δὲ
2. φύλλον καὶ ὁ καυλὸς ἄνω χωρεῖ. ταύτῃ μὲν οὖν πῃ διαφέρει. τῇ δὲ ὁμοίως ἔχει τῷ πάντα κατὰ τὴν πρόςφυσιν τοῦ λοβοῦ καὶ τοῦ στάχυος ἀφιέναι τὴν ῥίζαν καὶ μὴ καθάπερ ἐν τοῖς δενδρικοῖς τισιν ἀνάπαλιν οἷον ἀμυγδαλῇ καρύῳ βαλάνῳ τοῖς τοιούτοις. ἐν ἅπασι δὲ ἡ ῥίζα μικρῷ πρότερον ἐκφύεται τοῦ καυλοῦ· συμβαίνει δὲ ἔν γε τοῖς σπέρμασι τῶν δένδρων ὥστε τὸν μὲν βλαστὸν ἐν αὐτῷ τῷ σπέρματι βλαστάνειν πρῶτον, αὐξανομένου δὲ διΐστασθαι τὰ σπέρματα — πάντα γάρ πως καὶ ταῦτα διμερῆ, τὰ δὲ δὴ χεδροπὰ φανερῶς πάντα δίθυρα καὶ σύνθετα — τὴν δὲ ῥίζαν εὐθὺς ἔξω προωθεῖσθαι· ἐν δὲ τοῖς σιτηροῖς διὰ τὸ καθ' ἓν αὐτὰ εἶναι τοῦτο μὲν οὐ συμβαίνει, προτερεῖ δὲ ἡ ῥίζα μικρόν.
3. ἀναφύεται δὲ ἡ μὲν κριθὴ καὶ ὁ πυρὸς μονόφυλλα, ὁ δὲ πισὸς καὶ ὁ κύαμος

τὸ ἀμφοῖν] UM Ald. Sch. in Syll.; *ἐξ ἀμφοῖν* H. St. Sch. in Ed.; *ex ambobus* G. Sensum verborum recte explicuit Sch. ad C. pl. l. l. — Paullo ante *ον δέ τι* M.

κύαμος δὲ καὶ] Vin. Vo. St. Sch.; *δὲ* om. Ald. H. *At faba* G.

χεδροπά] Ald. H. St.; *χέδροπα* Sch.; *σχεδροπὰ* M.

καθ' ὃ] U, Sch. St.; *καθὸ* Ald. H. — Deinceps *καὶ ἡ* om. St., *πρόφασις* M.

αἰδοιῶδες] *τι* addit St.

τῶν κυαμ.] *τῶν* om. H. St.

ἐκ τούτου] sic bene correxit Sch.; *ἐκ τούτων* Ald. Edd.

2. *οὖν πη*] Sch.; *οὖν πῇ* UM Ald.; *πη* om. H. St.

πάντα] U; sic dederat Sch. e conjectura; *πᾶν γε* Ald. H.; *πάντα γε* St.; *omnia* G.

τοῖς δενδρικοῖς τισιν] Vin. Vo. H. St. Sch.; *τ. δ. τρισὶν* UM Ald. *in quibusdam arboribus* G. Sch. mavult *τοῖς* resectum, sed tolerari potest.

ἀμυγδαλῇ] Sch.; *ἀμυγδάλη* Ald.

βαλάνῳ] *Διὸς βαλάνῳ* cum marg. Bod. dedit Sch.

τοῖς τοι.] UM Ald,; *καὶ τοῖς τοι.* H. St. Sch.

συμβαίνει δὲ — ῥίζα μικρόν] Locum valde spinosum non potui sine multis mutationibus restituere sic ut sensum bonum ceterisque ac rerum naturae congruum praebeat: sed videor mihi antecessoribus propius a vero abesse librorumque auctoritatem accuratius esse secutus. Ald.: *συμβαίνει δὲ ἔν γε τοῖς σιτώδεσιν ὥστε — ἐν δὲ τοῖς χεδροποῖς διὰ τὸ καθ' αὐτὰ εἶναι τοῦτο μὲν οὖν συμβ.* etc.; consentiunt UM; *συμβ. — ὥστε τὴν ῥίζαν εὐθὺς ἔξω προωθεῖσθαι, τὸν δὲ βλαστὸν ἐν — διμερῆ τὰ δὲ χεδρ. — μὲν οὐ συμβ.* H. et St.; *συμβαίνει δὲ ἔν γε τοῖς σιτώδεσιν* (*δενδρικοῖς* substituit in Comm.) *ὥστε τὴν μὲν ῥίζαν εὐθὺς ἔξω προωθεῖσθαι τὸν δὲ βλαστὸν ἐν — σύνθετα. ἐν δὲ τοῖς χεδροποῖς* (*σιτώδεσι* substituit in Comm.) *διὰ τὸ κατὰ τὸ αὐτὸ εἶναι, — προτερεῖ δὲ καὶ τούτων ἡ ῥίζα μικρόν.* Atque primum Sch. luculenter demonstravit librorum scripturae duo esse gravissima vitia in verbis *σιτώδεσιν* atque *χεδροποῖς*. Illorum enim semina dicuntur germen primum intra se ipsa evolvere dein in suas partes secedere. Quod quum non cadat in frumentorum semina, vocem *σιτώδεσι* vitiosam esse apparet. Ex iis vero, quae nominata sunt, cadit id quod dicitur, in semina leguminum. Sed neque ea hic voluit, ut verba *τὰ δὲ δὴ χεδροπὰ* ostendunt: comparat enim leguminum semina cum seminibus eorum, quae loco vitiosi *σιτωδῶν* fuerunt, utrorumque e duabus partibus constare affirmans. Apparet igitur hoc dici de seminibus arborum modo dictarum, ut in rerum natura se habet. Itaque verbo *σιτώδεσιν* substitui *σπέρμασι τῶν δένδρων*, quorum in literis mediis vestigia verbi *σιτώδεσιν* agnosces. Deinde ordinem verborum non mutavi atque verba *τὴν — προωθεῖσθαι* loco suo manere volui; idque recte habere non negabis, si verba media *πάντα — σύνθετα* in parenthesi dicta

καὶ ὁ ἐρέβινθος πολύφυλλα. ῥίζαν δὲ ἔχει τὰ μὲν χεδροπὰ πάντα ξυλώδη καὶ μίαν ἀπὸ δὲ ταύτης καὶ ἀποφύσεις λεπτάς. βαθυρριζότατον δὲ ὡς εἰπεῖν τούτων ὁ ἐρέβινθος, ἐνίοτε δὲ καὶ παρακαθίησιν· ἀλλ' ὁ πυρὸς καὶ ἡ κριθὴ καὶ τὰ ἄλλα τὰ σιτώδη πολύρριζα καὶ λεπτόρριζα δι' ὃ καὶ ταρρώδη· καὶ πολύκλαδα καὶ πολύκαυλα πάντα τὰ τοιαῦτα. σχεδὸν δὲ καὶ ἐναντίωσίς τις ἑκατέρων ἐστί· τὰ μὲν γὰρ χεδροπὰ μονόρριζα ὄντα πολλὰς ἄνωθεν ἀπὸ τῶν καυλῶν ἀποφύσεις ἔχει πλὴν κυάμου· τὰ δὲ σιτηρὰ πολύρριζα πολλοὺς μὲν ἀνίησι βλαστούς, ἀπαράβλαστοι δὲ οὗτοι, πλὴν εἴ τι γένος πυρῶν τοιοῦτον οὓς καλοῦσι σιτανίας καὶ κριθανίας. τὸν μὲν οὖν χειμῶνα ἐν τῇ χλόῃ μένει τὰ σιτώδη, διαγελώσης δὲ 4.

esse reputes. Tum *οὖν* est mutandum in *οὐ*, quod cum G. (*illud quidem minus contingit*) fecerunt Scal. H. St. Sch.; *μὲν οὖν* enim post *δὲ* ab initio positum omnino ineptum, negationem vero postulat nexus sententiae. Pronomen *τοῦτο* referendum est ad id quod in principio periodi dicitur atque caput sententiae est *τὸν βλαστὸν ἐν αὐτῷ τῷ σπέρματι βλαστάνειν* — *τὰ σπέρματα διΐστασθαι*, sic enim aptum est quod opponitur *προτερεῖ* — *μικρόν*. Jam vides hic alterum vitium sedere in voce *χεδροποῖς*. Primum enim si voluisset hic aliquid de leguminibus dicere non potuisset ea simpliciter per particulam *δὲ* adjungere, quoniam modo leguminum semina cum arborum seminibus comparaverat. Deinde ea ipsa quae dicit non conveniunt leguminibus, cadunt autem in frumentacea; substitui igitur *σιτηροῖς*, quod terminatione certe convenit cum *χεδροποῖς*. Nunc ultimum vitium attingendum in verbis *καθ' αὑτά*, quibus sensus hic aptus extorqueri nequit. Etenim subintelligendum *σπέρματα*; semina *καθ' αὑτὰ ὄντα* sunt ea, quae a planta sua decerpta seiuncta sunt, aut ea quae singula sunt disposita. Utrumque alienum ab hoc loco. Volui *ἁπλᾶ αὐτὰ* substituere, quae sint opposita *συνθετοῖς*, sed ne nimis a veteri scriptura abirem dedi *καθ' ἓν αὐτὰ* i. e. quia una parte constant. Jam in ultimis verbis *προτερεῖ* — *μικρὸν* redit oratio eo unde exivit *ἐν ἅπασι τοῦ καυλοῦ*, atque habes periodum probe conclusam partibusque concinnam. Verte igitur: In omnibus radix paullo prius evolvitur quam caulis. Contingit autem ut in seminibus arborum germen intra ipsum semen evolvi incipiat, ejusque incremento semen in duas partes secedat — omnia enim haec quodammodo bipartita, legumina vero omnia evidenter bivalvia et composita — radix vero statim exseratur: in frumentaceis vero propterea quod una tantum parte constant eorum semina, hoc quidem non contingit, radicula vero germinis exsertionem paullo anteit. Aliam longe interpretationem dedit Sprengel, quam refutare supersedebo.

διμερῆ] H. St. Sch.; *διαμερῆ* UMAld. — Eein *δὴ* om. H. St.

καθ' ἓν αὐτά] *quia per se ipsum sit* G.; *καθ' αὑτὰ* Ald. Bas. Cam. H. St.; *κατ' αὐτὰ* quod Sch. ut vulgatam lectionem refert nusquam legitur. Sch. fecit *κατὰ τὸ αὐτὸ* subaudito *τὴν ἀρχήν*, quam vocem addere non ausus est. Idem deinde post *προτερεῖ δὲ* e versione Gazae *καὶ τούτων* addidit.

3. *λεπτάς*] corr. St. Sch.; *λεπταί* Ald H. — Verba *ἀπὸ* — *λεπτὰς* sic vertit G.: *et ramulis praetenuibus modo capilamentorum fibratas*, unde suspiceris eum vocem *ταρρώδη* quam paullo post ex U restituimus hic scriptam habuisse.

τὰ σιτώδη] *τὰ* seclusit Sch.

ταρρώδη καὶ πολ. καὶ πολυκ. π. τ. τοιαῦτα] U, Sch.syll.; *τὰ ῥοβώδη πολυκλ.* etc. Ald.; *τὰ ῥώδη* M; *τὰ ὀροβώδη πολ. καὶ πολύκαυλα καὶ π. τ. τοι.* H. St.; *τὰ ὀροβώδη* [*καὶ*] *πάντα τὰ τοιαῦτα πολύκλαδα καὶ πολύκαυλα* Sch.cont. *Qua de causa numeroso ramo numerosoque caule omnia ejusmodi se attollunt* G., igitur *ταρρώδη* hic non habuit.

ἐναντίωσις τις ἑκατέρων] UPM, Sch.; *ἐν. τις ἑκατέρῳ* Ald.; *ἐναντίως ἑκατέρῳ* H. St. *Quamobrem vel contrarietas quaedam inter haec genera ferme intelligi potest* G., qui ab initio *διὸ* habuisse videtur.

μον. ὄντα] UM, Sch.; *μον. εἰσι* Ald. H. St. Dein post *πολλὰς* addit *δὲ* St.

ἔχει] UM, Sch.; *ἔχοντα* Ald. H. St.

πολύρριζα] *ὄντα* addidit i. u. St. non male sed facile e praegressis repetitur.

πολλοὺς μὲν ἀνίησι] sic dedi e correctione Schneideri in Comm.; *πολλοὺς γὰρ ἄν.* Ald. H., Sch. *γὰρ* seclusit, St. omisit. *γὰρ* ferri nequit, ac quae sequuntur ostendunt praegressum esse *μέν*.

τοιοῦτον] UP; *τοιοῦτο* Ald. Edd. o.

κριθανίας] Ald. Edd.; *κριθωνίας* UM. — Paullo ante *πυρῶν* non expressit G.

τῆς ὥρας καυλὸν ἀφίησιν ἐκ τοῦ μέσου καὶ γονατοῦται. συμβαίνει δ' εὐθὺς ἐν
τῷ τρίτῳ γόνατι τοῖς δὲ ἐν τῷ τετάρτῳ καὶ τὸν στάχυν ἔχειν ἀλλ' οὐ φανερὸν
ἐν τῷ ὄγκῳ· — γίνεται δὲ ἐν τῷ ὅλῳ καλάμῳ πλείω τούτων· — ὥστε σχεδὸν
ἅμα τῷ καλαμοῦσθαι συνίστασθαι ἢ μικρὸν ὕστερον· ἀλλ' οὐ πρότερον φανερὸς
γίνεται πρὶν ἂν προαυξηθεὶς ἐν τῇ κάλυκι γένηται, τότε δὲ ἡ κύησις φανερὰ
5. διὰ τὸν ὄγκον. ἀποχυθεὶς δ' εὐθὺς ἀνθεῖ μεθ' ἡμέρας τέτταρας ἢ πέντε καὶ
πυρὸς καὶ κριθὴ καὶ ἀνθεῖ σχεδὸν τὰς ἴσας, οἱ δὲ τὰς πλείστας λέγοντες ἐν ταῖς
ἑπτά φασιν ἀπανθεῖν. ἀλλὰ τῶν χεδροπῶν χρόνιος ἡ ἄνθησις· χρονιωτάτη δὲ
τῶν μὲν ἄλλων ὀρόβου καὶ ἐρεβίνθου, τούτων δ' ἁπάντων τοῦ κυάμου καὶ ἐν
μεγίστῃ διαφορᾷ· τετταράκοντα γὰρ ἡμερῶν ἀνθεῖν λέγουσι· πλὴν οἱ μὲν ἀεὶ
παρανθοῦντος ἑτέρου καὶ ἑτέρου λέγουσι, κατὰ μέρος γὰρ ἀνθεῖν, οἱ δὲ ἁπλῶς.
ἡ γὰρ ἄνθησις τῶν μὲν σταχυηρῶν ἀθρόως τῶν δὲ ἐλλοβωδῶν καὶ χεδροπῶν
πάντων κατὰ μέρος· πρῶτα γὰρ ἀνθεῖ τὰ κάτω καὶ ὅταν ταῦτα ἀπανθήσῃ τὰ
ἐχόμενα καὶ οὕτως αἰεὶ βαδίζει πρὸς τὰ ἄνω. δι' ὃ πολλὰ τῶν ὀρόβων τίλλεται
6. 3H. τὰ μὲν κάτω κατερρυηκότα τὰ δ' ἄνω χλωρὰ πάμπαν. μετὰ δὲ τὴν ἀπάνθησιν
ἁδρύνονται καὶ τελειοῦνται πυρὸς μὲν καὶ κριθὴ τετταρακοσταῖα μάλιστα·
παραπλησίως δὲ καὶ τίφη καὶ τἆλλα τὰ τοιαῦτα. τετταρακοσταῖον δέ φασι
καὶ τὸν κύαμον, ὥστε ἐν ἴσαις ἀνθεῖν καὶ τελειοῦσθαι· τὰ δ' ἄλλα ἐν ἐλάττοσιν·
ἐλαχίσταις δὲ ὁ ἐρέβινθος εἴπερ ἀπὸ τῆς σπορᾶς ἐν τετταράκοντα τελειοῦται
ταῖς ἁπάσαις ὥσπερ τινές φασιν· ἐπεὶ τό γ' ὅλον ὅτι τάχιστα φανερόν. οἱ δὲ
κέγχροι καὶ τὰ σήσαμα καὶ οἱ μέλινοι καὶ ὅλως τὰ θερινὰ σχεδὸν ὁμολογεῖται
7. τὰς τετταράκονθ' ἡμέρας λαμβάνειν· οἱ δέ φασι καὶ ἐλάττους. διαφέρει δὲ

4. *γίνεται — τούτων*] Haec verba sede sua mota post *γονατοῦται* posuit Sch., qui paullo obscurius de hoc loco disputavit. Tenui ea loco suo, ac parenthesin significavi, etsi ea quae arcte cohaerent incommode sic interpellantur.

ἢ μικρὸν] *ἢ* addidi cum Sch. e conjectura.

πρὶν ἂν] *πρὶν οὐ* UM. — Dein *τὸ δ' ἡ κύ.* M.

5. *ἀποχυθεὶς*] sic correxit Sch.; *ἀπολυθεὶς* Ald. H. St. Dein *δ' εὐθὺς ἀνθεῖ* Ald. St. Sch.; *δ' εὐθὺς δ' ἀνθεῖ* Bas.; *εὐθὺς ἀνθεῖ* H. — Est enim *ἀποχεῖσθαι* verbum usitatum ad significandam evolutionem spicae in frumentaceis, et omnino fructus. Galen. Alim. Facult. IV. p. 333 Bas. *ὅταν ἐγγὺς ἥκῃ τοῦ τὸν καρπὸν ἀποχεῖν.*

παρανθοῦντος] corr. H. St. Sch.; *παρανθοῦντες* Ald. — Deinceps *ἑτέρου καὶ ἕτερον* [*ἀνθεῖν*] *λεγ.* St. In sequentibus interpunctione mutata sententiae nexum magis perspicuum reddidi; ut enim Sch. distinxit commata, vix sensum elicies.

ἡ γὰρ ἄνθ.] *καὶ ἡ ἄνθ.* St.

ἀθρόως] P; *ἀθρόα* Ald. Edd.; *ἀθρόος* UM.

χεδροπῶν] Ald. H.; *σχεδροπῶν* M; *χεδρόπων* Sch.

αἰεὶ] M; *ἀεὶ* Ald. Edd. o.

ὀρόβων] Ald. H. St.; *ὀροβωδῶν* Sch.

6. *ἁδρύνονται*] St. Sch.; *ἀδρ.* Ald. H.

καὶ τελειοῦνται] UMP Sch.; om. Ald. H. St.

πυρὸς μὲν] UM Ald. Sch.; *μὲν* om. H. St.

τετταρακοσταῖα] U Sch.syll.; *τεσσαρακονταῖα* Ald. Edd. o.

δὲ καὶ τίφη] UP Sch.; *δὲ καὶ τύφη* M; *δὲ τίφη* Ald. H. St.

τετταρακοσταῖον] U Sch. syll.; *τεσσαρακονταῖα* Ald. H. St.; *τεσσαρακονταῖον* Sch. cont.

ἀνθεῖν καὶ τελειοῦσθαι] UM Ald. Sch.; *ἀνθεῖ καὶ τελειοῦται* H. St. — Dein *ἐν ἐλαχ.* St.

τετταράκοντα] UM Sch.syll.; *τεσσαρ.* Ald. Edd. o.

τελειοῦται] H. St. Sch.; *τελειοῦνται* M Ald.

σήσαμα] *σίσαμα* P.

μέλινοι] Ald. H. St.; *ἔλυμοι* cum Vo. Sch.; *ἔλυμοι* Vin.; *μέλιναι* corr. Sch. in Ind.

καὶ πρὸς τὴν τελείωσιν χώρα τε χώρας καὶ ἀὴρ ἀέρος· ἐν ἐλάττοσι γὰρ ἔνιαι
δοκοῦσιν ἐκφέρειν ὥσπερ ἄλλαι τε καὶ μάλιστα ἐπιδήλως Αἴγυπτος· ἐκεῖ γὰρ
κριθαὶ μὲν ἐν ἑξαμήνῳ πυροὶ δὲ ἐν τῷ ἑβδόμῳ θερίζονται· περὶ δὲ τὴν Ἑλλάδα
κριθαὶ μὲν ἐν τῷ ἑβδόμῳ παρὰ δὲ τοῖς πλείστοις ὀγδόῳ, πυροὶ δὲ ἔτι προσεπι-
λαμβάνουσιν. οὐ μὴν οὐδὲ ἐκεῖ τό γε πᾶν πλῆθος οὕτως ἀλλ' ὅσον εἰς ἀπαρ-
χήν· κομίζεται γὰρ πρὸς ἱερῶν τινῶν χρείαν ἄλφιτα νέα τῷ ἕκτῳ μηνὶ καὶ
ταῦτα ἐκ τῶν ἄνω τόπων ὑπὲρ Μέμφιν. λέγεται δὲ καὶ ἐν Σικελίᾳ τῆς Μεσ- 8.
σηνίας ἐν ταῖς καλουμέναις Μύλαις ταχεῖάν τινα γίνεσθαι τὴν τελείωσιν τῶν
ὀψίων· τὸν τῶν ὀσπρίων μὲν γὰρ σπορητὸν ἓξ μῆνας, τὸν δὲ τῷ ὑστάτῳ σπεί-
ραντα θερίζειν ἅμα τοῖς πρώτοις· ἀγαθὴν δὲ διαφερόντως εἶναι τὴν χώραν ὥστε
τριακοντάχοα ποιεῖν, ἔχειν δὲ καὶ νομὰς θαυμαστὰς καὶ ὕλην. ἐν Μήλῳ δέ τι
θαυμασιώτερον λέγουσιν· ἐν γὰρ τριάκοντα ἢ τετταράκοντα ἡμέραις σπαρέντα
θερίζουσι, δι' ὃ καὶ λέγειν αὐτοὺς ὅτι μέχρι ταύτου δεῖ σπείρειν ἕως ἂν ἴδῃ τις
δράγμα· γίνεσθαι δὲ οὔτε ὄψιμα ταῦτα οὔτε πολλὰ παρ' αὐτοῖς. δεινὴν δέ
τινα διαδοῦναι τὴν χώραν τροφήν· καὶ γὰρ εἶναι σιτοφόρον μὲν καὶ ἐλαιοφόρον
ἀγαθὴν ἀμπελοφόρον δὲ μετρίαν. ὑπερβάλλον δ' ἔτι τούτου καὶ πάντων θαυ- 9.
μασιώτερον τὸ περὶ Χαλκίαν τὴν νῆσον τὴν Ῥοδίων γινόμενον· ἐκεῖ γάρ φασιν
εἶναί τινα τόπον πρώϊον οὕτω καὶ εὔφορον ὡς σπαρεισῶν κριθῶν ἅμα ταῖς ἄλ-

7. *ἐν τῷ ἑβδόμῳ θερίζονται*] sic explet U lacunam in Ald. indicatam; om. sine signo lacunae P; Cam. solum *ἑβδόμῳ* habet; *ἐν τῇ ἑβδόμῳ* H.; *ἐν τῷ ἑβδόμῳ [μηνὶ]* St.; *ἐν τῷ ἑβδόμῳ* Schn.; *ἑπταμήνῳ* Vin.; *πυροὶ δὲ τὴν ἑλλάδα πυροὶ μὲν* multis omissis M. *Illic enim ordeum sexto a satu mense, triticum septimo metitur quod apud plurimos octavo* G.

περὶ δὲ τὴν] U Ald. Sch.; *περὶ δὲ* om. M; *δὲ* om. H. St.

κριθαὶ μὲν ἐν τῷ ἑβδόμῳ] corr. tacite Sch.; *πυροὶ μὲν ἐν τῷ ἑβδόμῳ* U; *πυροὶ μὲν ἐν τῇ ἑβδόμῳ* M Ald.; omnia haec om. H. St. *κριθαὶ* unum est verum.

ὀγδόῳ] *ἐν ὀ.* Sch.

8. *λέγεται*] Ald. Edd.; *λέγονται* UM.

Μεσσηνίας] H. St. Sch.; *μεσηνίας* UMP_2 Ald.

τῶν ὀψίων· τὸν τῶν ὀσπρίων μὲν γὰρ σπ.] Ald. H. St. et P_2, ubi *μὲν* supra scriptum est; *τῶν ὀσπρίων· τὸν μὲν γὰρ σπορ.* Sch., expulsis verbis *τῶν ὀψίων* quae pro vitiosis habet. Sed verba *τῶν ὀψίων* minime contemnenda sunt: nam in sequentibus exponit eum qui ultima semina deposuerit tamen cum primis fructus legere; quid ergo aliud dixit quam ea quae sero sata sint celerrimum capere incrementum? — Post *μῆνας* addidit *γίγνεσθαι* Sch. Verbum aegre desideratur, *γίγνεσθαι* vero haud aptum est.

ἀγαθὴν δ. δ.] *ἀγαθὸν δὲ διαφέροντας* M.

τριακοντάχοα] corr. Sch.; *τριάκοντα χόας* Ald. Edd.; *τριάκοντα χν″.* (i. e. *χνάς*) P_2.

καὶ ὕλην] U Sch.syll.; *καὶ ὅλην* M; *ὅλην* Ald. Edd. o.

ἢ τετταράκοντα] UMP Sch.; om. Ald. Edd.

σπαρέντα] *σπαρθέντα* m. pr. U.

ὅτι] *τε* M; *τι* P.

ἴδῃ] *εἴδῃ* H. St.

οὔτε ὄψιμα ταῦτα οὔτε πολλὰ] U Ald. H. et omisso *ταῦτα* P; *ὀ. ἔψιμα τ. ὀ π.* M; *nec coctu facilia nec multa* G. unde *ὄ. ἕψιμα τ. ὀ. π.* cum Scalig. dedit Sch.; prius *οὔτε* om. St.; *οὔτε ὄψιμα ταῦτα οὔτε φαῦλα* conj. Palmer.

δεινὴν δέ τινα] Ald. Edd.; *δὲ* om. UM. *locum istum in exhibendis alimentis mancum affirmant* G.; qui *ἐπιδεῆ* habuisse videtur.

9. *δ' ἔτι*] Sch.; *δέ τι* Ald. H. St.

πρώϊον οὕτω καὶ] U Sch.syll.; *οὕτω πρώϊον καὶ* mBas. Sch.cont., sumtum a G. (*fertilemque adeo*); *πρώϊον καὶ* Ald. H. St.; *πρώϊμον καὶ ἔφορον* P_2. Paullo ante *εἶκαί τινα* Ald. Cam.; *εἶναί τινα* Bas.

σπαρεισῶν] *περησῶν* M.

λαις θερίσαντες ταύτας σπείρουσιν εἶτα πάλιν, εἶτα θερίζουσιν ἅμα τοῖς λοι-
ποῖς· μεγίστη μὲν οὖν εἴπερ ἀληθὴς αὕτη διαφορά. τὸ γὰρ εἰς ἑτέραν χώραν
μετενεχθέντα διαφέρειν, ὥςπερ ἐκ Κιλικίας φασὶν εἰς Καππαδοκίαν καὶ ὅλως
τὴν ἐπέκεινα τοῦ Ταύρου, ἧττον ἄτοπον· φανερὰ γὰρ ἡ τῶν τόπων διάστασις.
10. τὸ δὲ τὴν αὐτὴν διφορεῖν, ἐν ᾧπερ γε ἅπαξ αἱ ἄλλαι, σύνορον οὖσαν καὶ μίαν
θαυμασιώτατον· αὕτη μὲν οὖν ἐν μεγίστῃ διαφορᾷ. τὰ δὲ κατὰ τὰς ἄλλας
χώρας οὐ πολλὴν ἢ οὐδεμίαν ὡς εἰπεῖν τοῦ γε χρόνου λαμβάνει διάστασιν·
προτερεῖ γὰρ ταῖς ὥραις τὰ Ἀθήνῃσι τῶν περὶ Ἑλλήςποντον ἡμέραις τριάκοντα
μάλιστα ἢ οὐ πολλῷ πλείοσιν· εἰ μὲν οὖν καὶ ὁ σπορητὸς πρότερον μετάθεσις
11. ἂν εἴη τῆς ὥρας· εἰ δ' ἅμα δῆλον ὅτι πλείων ἂν ὁ χρόνος. οὐ μικρὰν δὲ ποι-
οῦσι διαφορὰν οὐδὲ οἱ τόποι καίπερ ἔνιοι συνεγγὺς ὄντες· τὰ γὰρ ἐν Σαλαμῖνι
προτερεῖ πολὺ τῶν ἄλλων τῶν ἐν τῇ Ἀττικῇ καὶ ὅλως τὰ ἐπιθαλάττια καὶ εἰς
ταῦτα καὶ εἰς τοὺς ἄλλους καρποὺς ὡς τὰ περὶ τὴν Ἀκτὴν καλουμένην τῆς

σπείρουσιν εἶτα πάλιν, εἶτα θερ.] UMP2 Ald.; *εἶτα* prius om. H. St. Sch.

τοῖς λοιποῖς] P2 Ald. H. St.; *ταῖς λοιπαῖς* Sch.

ἀληθὴς] P2, Sch. e conj.; *ἀληθῶς* Ald. Edd. — Deinceps *ἀντιδιαφορὰ* P.

μετενεχθέντα διαφέρειν] dedi de conj. Schn. in Cur. sec. p. 489 a me quoque inventa; *μετενεγκόντας σπείρειν* Ald. Edd.; *μετενεγκόντα σπείρειν* P2. *Quod enim translatum in alium tractum distulerit* G.

ἐκ κιλικίας] Ald. Edd.; *ἐν κιλικίᾳ* MP2.

10. *τὸ δὲ — ἅπαξ*] U; *τὸ δὲ τὴν αὐτὴν διαφορὰν ἐν ᾧπερ γε ἅπαξ ἄλλαι* M Ald. et P, qui *αἱ ἄλλαι* dat; *τὸ δὲ τὴν διαφορὰν ἔχειν ἐν ᾧπερ γε οὐχ ἅπαξ ἄλλαι* H., et St. omissis *ἐν — ἄλλαι*; *τὸ δὲ τὴν αὐτὴν διαφορὰν ἔχειν ἐν ᾧπερ γε ἅπαξ ἄλλαι* Sch.cont.; *τὸ δὲ τὴν αὐτὴν διαφέρειν ἐν ᾧπέρ γε ἅπαξ αἱ ἄλλαι* Sch.syll.; denique *τὸ δὲ τὴν αὐτὴν χώραν διαφορὰν ἔχειν ἐν ᾗπέρ γε ἅπαξ ἄλλαι σπείρονται* Spr. in Vers. germ. Miror Schneiderum *διφορεῖν* quod U praebet sprevisse (cf. C. 1, 13, 9), ac de toto hoc loco admodum brevem fuisse. Redit vero Th. ad rem de insula Chalcia narratam, atque proxime dictis, quod mirum non sit si plantae in alienas terras translatae differentias ostendant, illam sic opponit, ut iterum hoc maxime mirum esse affirmet, si una regio prae omnibus conterminis eodem tempore bis fruges edat quo ceterae semel. Haec autem satis plana et apta sententia scriptura ex U a nobis recepta continetur. Quod hic *διφορεῖν* dixit supra fusius explicuit verbis *ὡς — λοιποῖς*; ad *ἅπαξ* subaudies *φοροῦσι*, ad *τὴν αὐτὴν* vero *χώραν* ut ad *αἱ ἄλλαι* item *χῶραι*. In reliquis haec est difficultas: *τὴν αὐτὴν* est *una eademque terra*, qua et regio ista fertilitate praestantissima et aliae huic conterminae comprehenduntur; tamen de ea praedicatur *διφορεῖν*, quod in regionem istam fertiliorem tantum cadit, itemque quae apposita sequuntur *σύνορον οὖσαν καὶ μίαν* ad eandem pertinet. Quod est quoddam genus anacoluthiae, non quidem structurae sed sententiae, explicaturque si cogites Th. scribere voluisse *τὸ δὲ ταύτην* vel *ἐκείνην* etc. (scil. *χώραν πρωΐαν καὶ εὔφορον*), sed propter antithesin necessario indicandam (opposuerat enim *τὰ εἰς ἑτέραν χώραν μετενεχθέντα*) *τὴν αὐτήν* scripsisse. Deinde ad *σύνορον* facile subintelligitur *ταῖς ἄλλαις*. *μίαν*, *unam* h. e. mirum, quod u n a quaedam regio adeo fertilis ac praecipua nec plures. Deinceps tota haec narratio de regione ista fertilissima insulae Chalciae concluditur solito more particulis *μὲν οὖν*.

ἐν μεγίστῃ διαφορᾷ] UM Ald. optime; *μεγίστη διαφορὰ* H. St.; *ἡ μεγίστη διαφορὰ* Sch. male. *αὕτη* scil. *ἡ χώρα*, *dicta regio*.

τὰ δὲ] St. Sch.; *τὸ δὲ* Ald. H.

ἢ οὐδ.] Sch.; *ἢ* om. Ald.; *ἢ οὐ πολλὴν ἢ οὐδ.* H. St.

ὡς εἰπεῖν] U Sch.syll.; om. Ald. Edd.

τοῦ γε χρ.] U Ald. Edd.; *τοῦ τε χρ.* M.

διάστασιν] UM Sch.; *διαφορὰν* Ald. H. St.

μάλιστα] U Sch.syll.; ceteri omittunt.

εἴη τῆς ὥρας] corr. Sch.; *ἢ τῆς χώρας* MP; *εἴη τῆς χώρας* Ald. H. St.; *Quodsi satus quoque praecesserit loci mutatio sit. Sin autem simul satum sit plus temporis accedat necesse est.* G. — Deinceps *ὅ δ' ἅμα* M. Ante *ὁ χρόνος* inseruit *εἴη* Sch.

Πελοποννήσου καὶ τὰ ἐν Φαλήκῳ τῆς Μεγαρίδος· πλὴν ἐνταῦθά γε συμβάλλεται καὶ τὸ λεπτόγεων εἶναι καὶ ψαφαρὰν τὴν χώραν. καὶ τὰ μὲν περὶ τὴν γένεσιν καὶ τὴν τελείωσιν οὕτως ἔχει.

Cap. III. Διαφέρει δὲ καθ' ὅλα τὰ γένη τὰ διῃρημένα τῶν γενῶν οἷον σῖτος 3 St.
χεδροπὰ τὰ θερινά, καὶ καθ' ἕκαστον γένος τὰ ὁμογενῆ. τὰ μὲν γὰρ σιτώδη
τὸ φύλλον ἔχει καλάμου, τῶν δὲ χεδροπῶν τὰ μὲν περιφερὲς οἷον ὁ κύαμος
καὶ σχεδὸν τὰ πλεῖστα, τὰ δὲ προμηκέστερον οἷον ὁ πισὸς καὶ ὁ λάθυρος καὶ ὁ
ὦχρος καὶ τὰ τοιαῦτα. καὶ τὰ μὲν ἰνώδη τὰ δ' ἄφλεβα καὶ ἄϊνα. τὸ δὲ σή-
σαμον καὶ τὸ ἐρύσιμον ἰδιώτερα παρὰ ταῦτα. πάλιν ὁ καυλὸς τῶν μὲν γονα- 2.
τώδης καὶ κοῖλος δι' ὃ καὶ καλεῖται κάλαμος· ὁ δὲ τοῦ κυάμου κοῖλος, τῶν δ'
ἄλλων χεδροπῶν ξυλωδέστερος, ξυλωδέστατος δὲ ὁ ἐρέβινθος· τῶν δὲ θερινῶν
κέγχρου μὲν καὶ μελίνου καλαμώδης σησάμου δὲ καὶ ἐρυσίμου ναρθηκώδης
μᾶλλον. καὶ τὰ μέν ἐστιν ὀρθόκαυλα καθάπερ πυρὸς καὶ κριθὴ καὶ ὅλως τὰ
σιτώδη καὶ θερινά, τὰ δὲ πλαγιόκαυλα μᾶλλον οἷον ἐρέβινθος ὄροβος φακός,
τὰ δ' ἐπιγειόκαυλα καθάπερ ὦχρος πισὸς λάθυρος· ὁ δὲ δόλιχος ἐὰν παρακατα-
πήξῃ τις ξύλα μακρὰ ἀναβαίνει καὶ γίνεται κάρπιμος, εἰ δὲ μὴ φαῦλος καὶ ἐρυ-
σιβώδης· μόνος δ' ἢ μάλιστα τῶν χεδροπῶν ὀρθόκαυλος ὁ κύαμος. ἔχει δὲ 3.

11. *ἐν Φαλήκῳ*] sic correxi; *ἐφαλύκῳ* U; *ἐκ φαλήκῳ* M; *ἐκ φαλήκου* Ald. Edd. o.

συμβάλλεται] P Bas. H. St. Sch.; *συμβάλεται* Ald. Cam.

Cap. III.

καθ' ὅλα τὰ γένη] corr. Sch.syll.; *καὶ ὅλα τὰ γένη* Ald. H. St.; *καὶ τὰ ὅλα γένη* Sch.cont. Etenim *τὰ ὅλα γένη* sunt, ut quidem hodie nominibus utuntur, *ordines* vel *familiae*, *τὰ διῃρημένα τῶν γενῶν genera τὰ ὁμογενῆ species*.

ὁμογενῆ] corr. Sch.syll.; *ὁμοιογενῆ* Ald. Edd. o.

ὦχρος] Sch.; *ὠχρός* Ald. H. St.

ἰδιώτερα παρὰ τ.] Lacunae vestigia in hoc loco agnoscere sibi videtur Sch comparato praesertim Plin. 18, 7 s. 10. Si quid addere liceret scriberem *τὰ μὲν ἰνώδη τὰ δὲ φλεβώδη τὰ δ' ἀφλ.* etc.

2. *γονατώδης* etc.] Librorum mscr. lectiones Sch. parum accurate exposuit. *τῶν μὲν γονατώδης καὶ κοῖλος· διὸ καὶ καλεῖται κάλαμος· τῶν δ' ἄλλων χεδρ.* Ald. H. St.; *τῶν μὲν γονατώδης, διὸ καὶ καλεῖται κάλαμος· ὁ δὲ τοῦ κυάμου κοῖλος· τῶν δ' ἄλλων χ.* Sch. In Comm. sic scribit: Indicium verae scripturae habent Medic. 1 & 2 ubi est: *καλεῖται κάλαμος· τοῦ δὲ κυάμου κοῖλος· διὸ καὶ καλεῖται κάλαμος· ἄλλων σχεδροπῶν.* In Auctario refert: *καλεῖται κάλαμος, τοῦ δὲ κυάμου κοῖλος, ὁ δὲ τοῦ κυάμου κοῖλος ἄλλων χεδρόπων* U cum M. Quid igitur in Mediceis scriptum sit, ex his non constat. Hoc loco aliud etiam accedit. Ald. habet ab initio *γονατώδης καὶ κοῖλος*. Verba *καὶ κοῖλος* omisit Sch., ne verbo quidem de hac omissione addito; sed in codicibus ea haberi e silentio colligi debet. Videntur autem verba ista recte habere; *τῶν μὲν* sunt *τὰ σιτώδη*. G. sic: *Item caulis aliis geniculis atque inanis ut fabae quamobrem culmus vocatus est: caeteris leguminibus lignosior.* Ad vestigia libri U sic fere scriptum fuisse suspicor: *π. ὁ κ. τῶν μὲν γονατώδης καὶ κοῖλος, διὸ καὶ καλεῖται κάλαμος· τῶν δὲ διόλου κοῖλος οἷον ὁ τοῦ κυάμου· τῶν δ' ἀ. χ.*

ξυλωδέστερος] *ξυλωδέστεροι* P.

μελίνου] Ald. H. St.; *ἐλύμου* Vo. Sch. cont.; *ἐλύμου* Vin.; *μελίνης* Sch.syll.

καλαμώδης] *καλαμώδεις* P.

σησάμου] *σισάμου* P.

καὶ κριθή] om. St.

καὶ θερινά] *καὶ τὰ θερ.* St. Sch. e Galeno de alim. facult. IV. p. 317 ed. Bas.

μᾶλλον] om. Galen. l. l.

ὦχρος] P2 Sch.; *ὠχρὸς* Ald. et Galen. l. l., H. St. — *πισσὸς* Galen. l. l.

ξύλα] Ald. Edd. Gal. l. l.; *ξυλάρια* P2.

ἐρυσιβώδης] Ald. Edd. o.; *ἐρημώδης* Galen. l. l. ed. Bas., *ἐρυμώδης* ed. Kühn.

δ' ἢ μαλ.] sic dedi praeeuntibus St. et Sch., qui *δὲ ἢ μάλ.* exhibuerunt; *ἢ* om. Ald. H. G.

καὶ τὰ ἄνθη διαφορὰν καὶ τῇ φύσει καὶ τῇ θέσει· περὶ ὧν σχεδὸν ἐν τοῖς καθ' ὅλου διείλομεν ὅτι τὰ μὲν χνοώδη καθάπερ σίτου καὶ παντὸς τοῦ σταχυώδους· τὰ δὲ φυλλώδη καθάπερ τῶν χεδροπῶν, καὶ τῶν πλείστων κολοβά· τὰ γὰρ πολλὰ κολοβανθῆ· χνοῶδες δὲ καὶ τὸ τοῦ κέγχρου καὶ μελίνου· τοῦ δὲ σησάμου καὶ τοῦ ἐρυσίμου φυλλῶδες. καὶ ὅτι δὴ τὰ μὲν ἔχει περὶ αὐτὸν τὸν καρπόν, οἷον τὰ σιτώδη καὶ κεγχρώδη περὶ τὸν στάχυν· τὰ δὲ χεδροπὰ ἐξ αὐτοῦ πως τοῦ ἄνθους ἢ ἀπό γε τῆς αὐτῆς ἀρχῆς γίνεται. καὶ τὴν ἄνθησιν ὅτι τὰ μὲν ἀθρόαν τὰ δὲ κατὰ μέρος ποιεῖται· καὶ τἆλλα δὲ τὰ παραπλήσια τούτοις.
4. ὁμοίως δὲ καὶ τὰ κατὰ τοὺς καρποὺς ὅτι τὰ μὲν ἔχει στάχυν τὰ δὲ χεδροπὰ λοβὸν τὰ δὲ κεγχρώδη φόβην· ἡ δὲ καλαμώδης ἀπόχυσις φόβη. τὸ δ' ὅλον ἐναγγειόσπερμα τὰ δὲ ἐνυμενόσπερμα τὰ δὲ γυμνόσπερμα· καὶ ἔτι τὰ μὲν ἀκρό-

3. *καὶ τῇ φύσει*] MP mBas. H. St. Sch. G. *tum natura tum positu;* om. Ald.

σίτου καὶ παντὸς τοῦ σταχυώδους] dedi ex emendatione Schneideri; *που καὶ πάντες τοῦ χυλώδους* UM Ald.; *ut omnium fere gerentiam spicam* G.; *που καὶ πάντων ὡς εἰπεῖν σταχυωδῶν* H. St.; *που καὶ παντὸς τοῦ σταχυώδους* Sch., praeeuntibus in extremis Vo. Vin.

καθάπερ — κολοβά] *καθάπερ τῶν πλείστων· τὰ δὲ τῶν χεδροπῶν κολοβά* St. Sch. mavult: *χεδροπῶν τῶν πλείστων καὶ κολοβά.*

μελίνου] Ald. H. St.; *ἐλύμου* Vo. Vin.; *ἐλύμου* Sch. cont.; *μελίνης* Schn. in Ind.; *panico* G.

σησάμου] H. St. Sch.; *sessamae* G.; *σισάμου* Ald. — Dein *τοῦ δὲ ἐρ.* St.

ὅτι δὴ] *ἔτι δὴ* St.; *δὴ* om. Sch. cont.

οἷον τὰ — τὸν στάχυν] Haec verba tanquam spuria seclusit Sch., qui haec dicit: ,,Exciderunt verba aliquot, quae, donec libri scripti tulerint suppetias, ita supplebam: *τὰ μὲν ἔχει περὶ αὐτὸν τὸν καρπὸν, καὶ τοῦτον ἢ περὶ τὸν στάχυν, οἷον τὰ σιτώδη· τὰ δὲ κεγχρώδη περὶ τὴν φόβην.* Malim tamen credere haec ab aliena manu loco alieno et mutila fuisse inserta.“ At vide ne omnia bona atque integra sint. Enimvero *στάχυν* appellat spicam frumentaceorum statu maturo granisque perfectis. Dicit enim c. 4, 2 *καὶ αὐτῶν δὲ τῶν κριθῶν αἱ μὲν — αἱ δὲ — μανότεραι κατὰ τὸν στάχυν.* Spica autem granigera frumentaceorum tota obtecta est et involucrata paleis glumisque florem constituentibus, eae igitur vere et recte, e mente quidem Theophrasti, spicam granigeram circumdare dicuntur. Miror Schneiderum de vite et olea loqui, cum hic non potuerit nisi de frumentaceis et leguminosis sermo esse, quae omni hac disputatione comparentur. Alterum quoque argumentum, quo locum vitiosum convincat, satis infirmum est. ,,Maximum, inquit, vitii indicium est in verbis *καὶ κεγχρώδη περὶ τὸν στάχυν:* milium enim et panicum non habent spicam (*στάχυν*), sed *φόβην* uti mox dicetur.“ Atqui *φόβην* non prius nominare poterat Th. quam quae ea esset explicuisset; poterat vero inflorescentiam milii hoc loco *στάχυν* vocare, cum ei sit proxima; ipse enim *στάχυν* et *φόβην* comparat loco a Sch. laudato 4, 4, 5 *ἀποχεῖται δὲ οὐκ εἰς στάχυν ἀλλ' οἷον φόβην.* Itaque verba ista satis tueri mihi videor.

ἀπό γε] UMP Sch.; *ex eodem quidem* G.; *ἀπό τε* Ald. H. St.

τῆς αὐτῆς ἀρχῆς] M Ald. Sch.; *αὐτῆς* om. H. St.

γίνεται] *ὁ καρπός* i. u. addit St., qui pergit *ἔτι δὲ κατὰ τὴν ἄνθησιν τὰ μὲν.*

τἆλλα] Sch.; *τἄλλα* Ald. H. St., quam varietatem non ubique adnotavi. Ald. enim semper fere *τἄλλα.*

4. *ἔχει στάχυν*] E versione Gazae suadente Scaligero *ὡς τὰ σιτώδη* addidit Sch. At cum iis quae discernuntur, *τὰ δὲ — τὰ δὲ* adjecta sint nomina *χεδροπὰ — κεγχρώδη,* tertium genus *τὰ σιτώδη* per se intelligitur etiam nomine non addito; sufficit igitur *τὰ μὲν.* Sic §. 2 dixerat *ὁ καυλὸς τῶν μὲν γονατώδης,* ubi *τῶν μὲν* eadem *σιτώδη* respicit. — *χεδροπὰ* P2 Ald.

φόβην] H. St. Sch.; *φοβὴν* MP2 Ald. Ceterum 4, 4, 5 *φόρβην* UMV Ald.

ἡ δὲ καλ.] UM; *ἡ γὰρ* Ald. Edd. o.

ἀπόχυσις] corr. Sch. e vers. G. *effusam enim illam arundinaceam comam jubam appellant;* *ἀπόφυσις* P2 Ald. Edd. Post *φόβη* cum eodem G. *καλεῖται* add. Sch.

φόβη] H. St. Sch.; *φοβὴ* M Ald.

μὲν ἐναγγειόσπερμα] corr. Sch.; *μὲν ἀγγειόσπερμα* P2 Ald. H. St. Cf. 1, 11, 2.

καρπα τὰ δὲ πλαγιόκαρπα καὶ ὅσα δὴ ἄλλα ταύτης ἔχεται τῆς θεωρίας. ὅλως
δὲ πολυκαρπότερα καὶ πολυχούστερα τὰ χεδροπά, τούτων δ' ἔτι μᾶλλον τὰ
θερινὰ κέγχρος καὶ σήσαμον, αὐτῶν δὲ τῶν χεδροπῶν μάλιστα φακός. ἁπλῶς 5.
δὲ τὰ μικροσπερμότερα μᾶλλον ὡς εἰπεῖν, ὥςπερ καὶ τῶν λαχανωδῶν κύμινον
ἁπάντων ὄντων πολυσπέρμων. ἰσχυρότερα δὲ πρὸς μὲν τὸν χειμῶνα καὶ ὅλως
τὰ τοῦ ἀέρος τὰ σιτηρὰ πρὸς δὲ τὴν τροφὴν τὰ χεδροπά. τάχα δὲ τοῦτό γε
ἡμῖν τοῖς ἄλλοις ἀνάπαλιν.

Cap. IV. Τὰ μὲν οὖν ὅλα γένη τοιαύτας ἔχει διαφοράς· τὰ δὲ ὁμογενῆ δῆ- 4 H. St.
λον ὅτι κατὰ τὴν τῶν μερῶν ἀνωμαλίαν, οἷον τῶν σιτωδῶν πυρὸς κριθῆς στενο-
φυλλότερον καὶ λειοκαυλότερον καὶ πυκνότερον καὶ γλισχρότερον ἔχει τὸν καυ-
λὸν καὶ δυςθλαστότερον· ἅμα δὲ καὶ ὁ μὲν ἐν χιτῶσι πολλοῖς ἡ δὲ γυμνόν· μά-
λιστα γὰρ δὴ γυμνοσπέρματον ἡ κριθή. πολύλοπον δὲ καὶ ἡ τίφη καὶ ἡ ὀλύρα
καὶ πάντα τὰ τοιαῦτα καὶ μάλιστα πάντων ὡς εἰπεῖν ὁ βρόμος. ἔστι δὲ καὶ
ὑψηλότερος ὁ κάλαμος τοῦ πυροῦ ἢ τῆς κριθῆς καὶ τὸν στάχυν ἀπηρτημένον
ἔχει τοῦ φύλλου μᾶλλον ὁ πυρός. ἥδιον δὲ καὶ τὸ ἄχυρον τοῦ κριθίνου τὸ πύ-
ρινον· ἐγχυλότερον γὰρ καὶ μαλακώτερον. διαφέρει δὲ ἡ κριθὴ καὶ τούτῳ τῶν 2.
πυρῶν· ἡ μὲν γὰρ στοιχειώδης ὁ δὲ πυρὸς ἄστοιχος καὶ πανταχόθεν ὁμαλής
τις. τῷ μὲν οὖν ὅλῳ γένει πρὸς γένος τοιαῦταί τινές εἰσι διαφοραί. καθ'
ἑκάτερον δὲ τούτων πάλιν οἷον πυρῶν καὶ κριθῶν πολλὰ γένη καὶ τοῖς καρποῖς
αὐτοῖς διαφέροντα καὶ τοῖς στάχυσι καὶ ταῖς ἄλλαις μορφαῖς καὶ ἔτι ταῖς δυνά-

σήσαμον] H. St. Sch.; *σίσαμον* Ald.; *sessama* G.

αὐτῶν — φακός] Haec verba sede sua mota, qua Ald. et G. habent, post *τὰ χεδροπὰ* posuit Sch., „ut sermo de leguminibus ordine praecedat.“ Imo loco suo stare debent.

5. *ἡμῖν τοῖς ἄλλοις ἀνάπαλιν*] Ald.; *ἡμῖν ἢ τοῖς* etc. H. St.; *ἡμῖν ἢ τ. ἄ. ζώοις ἀνάπαλιν* Sch.; *nisi forte id quidem nobis ita evenit, cum ceteris animantibus e diverso eveniat* G. Recte Sch. comparat 7, 4, 9.

Cap. IV.

διαφοράς] Addunt *τὰ ὁμοιογενῆ* UM, *τὰ μὴ ὁμοιογενῆ* Ald. Edd.; *τά [μὴ] ὁμογενῆ* Sch.syll., postquam in Comm. verba ista ut spuria damnaverat. *Ergo genera tales inter se differentias sortiuntur. Quae vero generis ejusdem consortia sunt* etc. G. Equidem verba ista ut male apta et de errore inserta omisi.

ὁμογενῆ] P Sch.syll; *ὁμοιογενῆ* UM Ald. Edd. o.

κριθῆς στενοφυλλότερον] mBas. Vin. Scalig. St. Sch.; *triticum angustiori folio quam ordeum conditur* G.; *κριθὴ στεφανοφυλλότερον* Ald. H.

δυςθλαστότερον] corr. Scalig. Sch.; *δυςθλαστώτερον* H. St.; *δυςαλθατώτερον* UM Ald.; *ruptuque difficiliorem* G.

γυμνὸν] P; *γυμνὴ* Ald. Edd. o.

πολύλοπον] corr Salmas. Ex. p. 154 R Const. St. Sch.; *πολύλοβον* Ald. H.; —*βος* M.

βρόμος] corr. Scal. H. St. Sch.; *avenam* G.; *κρόμος* PM; *κρόκος* Ald.; *βρῶμος* Vin.

ὑψηλότερος] corr. St. Sch.; *ὑψηλότερον* Ald. H.

ἢ τῆς κρ.] correxit Sch. e vers. G. *culmus altior tritico quam ordeo est*; *καὶ τῆς κρ.* Ald. H. St.

ἥδιον] Vin. H. St Sch. G. (*suavior*); *ἴδιον* Ald.

ἐγχυλότερον] Ald. H. St.; *ἐγχυλώτερον* Sch.cont.; *εὐχυλότερον* Sch.syll. sed voluit *ἐγχ.*; *ut pote quae plus succi retineat* G.

καὶ μαλακ.] UMP St. Sch.; *τὸ μαλακ.* Ald. H.

2. *ἄστοιχος*] Ald. Edd. o.; *ἄστοχος* UM.

ὁμαλής τις] Sch.syll.; *ὁμαλή τις* UM Ald.; *ὁμαλός τις* H. St. Sch.

μὲν οὖν ὅλῳ] UM Sch.; *οὖν* om. Ald. H. St.

οἷον π. κ. κρ.] Ald. Edd., Sch. haec verba seclusit, in Syll. solum *οἷον* damnavit.

μεσι καὶ τοῖς πάθεσι. τῶν μὲν κριθῶν αἱ μέν εἰσι δίστοιχοι αἱ δὲ τρίστοιχοι
αἱ δὲ τετράστοιχοι καὶ πεντάστοιχοι· πλεῖστον δ' ἑξάστοιχον, καὶ γὰρ τοιοῦτό
τι γένος ἐστί. πυκνότεραι δὲ ἀεὶ κατὰ τὴν θέσιν ὡς ἐπὶ πᾶν αἱ πολυστοιχό-
τεραι. διαφορὰ δὲ μεγάλη καὶ τὸ παραβλαστητικὴν εἶναι καθάπερ εἴπομεν τὴν
ἰνδικήν. καὶ οἱ στάχυες δὲ τῶν μὲν μεγάλοι καὶ μανότεροι ταῖς κριθαῖς τῶν
δὲ ἐλάττους καὶ πυκνότεροι, καὶ ἀπέχοντες δὲ τοῦ φύλλου τῶν μὲν πολὺ τῶν
δὲ μικρὸν ὥςπερ τῶν ἀχιλλείων καλουμένων. καὶ αὐτῶν δὲ τῶν κριθῶν αἱ
μὲν στρογγυλότεραι καὶ ἐλάττους αἱ δὲ προμηκέστεραι καὶ μείζους καὶ μανό-
τεραι κατὰ τὸν στάχυν. ἔτι δὲ αἱ μὲν λευκαί, αἱ δὲ μέλαιναι καὶ ἐπιπορφυρί-
ζουσαι αἵπερ καὶ πολυάλφιτοι δοκοῦσιν εἶναι καὶ πρὸς τοὺς χειμῶνας δὲ καὶ τὰ
3. πνεύματα καὶ ὅλως τὸν ἀέρα τῶν λευκῶν ἰσχυρότεραι. πολλὰ δὲ γένη καὶ τῶν
πυρῶν ἐστιν εὐθὺς ἀπὸ τῶν χωρῶν ἔχοντα τὰς ἐπωνυμίας οἷον λιβυκοὶ ποντι-
κοὶ θρᾷκες ἀσσύριοι αἰγύπτιοι σικελοί. διαφορὰς δὲ καὶ ταῖς χροιαῖς καὶ τοῖς
μεγέθεσι καὶ τοῖς εἴδεσι καὶ ταῖς ἰδιότησιν ἔχουσι καὶ ἐν ταῖς δυνάμεσι ταῖς τε
ἄλλαις καὶ μάλιστα ταῖς πρὸς τὴν σίτησιν. τινὲς καὶ ἀπ' ἄλλων τὰς προςηγο-
ρίας οἷον καγχρυδίας στλεγγὺς ἀλεξάνδρειος· ὧν ἁπάντων ἐν τοῖς εἰρημένοις
τὰς διαφορὰς ληπτέον. οὐχ ἥκιστα δ' οἰκεῖαι εἴ τις λαμβάνοι τὰς τοιαύτας·

τῶν μὲν κριθῶν] Ald. Edd.; *τῶν μὲν γὰρ κριθ.* Sch. duce G. *est enim in ordei genere.*

δίστοιχοι] sic hic et in sequentibus semper per *οι* scriptum dant UMP et, qui *δίστοιχοι* omittit, P2, unde accepit Sch.; *δίστιχοι* et sic porro per *ι* Ald. H. St.

πλεῖστον δ' ἑξάστοιχον· καὶ γὰρ τοιοῦτον] sic scripsi partim codices partim Aldinam secutus, inserto etiam *δ'* e conjectura; *πλεῖστον ἑξάστοιχον τοιοῦτον* UM; *πλεῖσται καὶ ἑξάστιχοι· καὶ γὰρ τοιοῦτον* Ald. H. St.; *πεντάστοιχοι αἱ πλεῖσται, καὶ ἑξάστοιχοι· καὶ γὰρ τοιοῦτον* Sch. parum commode. *Cumque plurimum seni: est enim vel ejusmodi quoddam genns* G. Exc. P2: *ἔστι δὲ καὶ ἑξάστοιχον γένος τῶν κριθῶν.*

πολυστοιχότεραι] P; *πολυστοιχότεροι* UM. *πολυστιχότεραι* Ald. — *αἱ* om. M.

παραβλαστητικήν] U; *παραβλαστικήν τε* Ald. Edd. o. Ejeci *τε* ut inutile ac quod in U non esse videatur.

καθάπερ — ἰνδικήν] Hordeum indicum commemoratum est 4, 5, 4, sed nihil ibi dictum, quo hoc referri possit.

μανότεροι] Ald. Sch.; *μανώτεροι* H. St.

ταῖς κριθαῖς] dedi e conj.; *τῆς κριθῆς* Ald., om. G., Sch. seclusit, „totus enim hic locus est de hordeo." Atqui inepte St.: *καὶ οἱ στ. τῶν μὲν πυρῶν μέγαλοι κ. μ. τῆς κριθῆς* scripsit. Scripsi *ταῖς κριθαῖς* i. e. *granis hordei:* sic recte deinde pergit *αὐτῶν δὲ τῶν κριθῶν.* Sunt igitur tenuiores vel rariores granis, i. e. granis laxe dispositis.

τοῦ φύλλου] UM; *τῶν φύλλων* Ald. H. St. Sch.; *a foliis* G. Singularis recte habet; *τὸ φύλλον* est folium culmi supremum. Sic supra *καὶ τὸν στάχυν ἀπηρτημένον ἔχει τοῦ φύλλου μᾶλλον ὁ πυρός.*

μανότεραι] corr. Sch.; *μανώτεραι* Ald. Edd.

μέλαιναι καὶ] U Sch.syll.; *μέλαιναι* om. MP Sch.cont.; utrumque om. Ald H. St.

3. *ἐστιν εὐθὺς*] dedi de conj.; *εὐθύς ἐστιν* Ald. Edd. o. *τῶν πυρῶν ἐστιν, οἷον εὐθὺς τὰ ἀπὸ* etc. conj. Sch. vix recte. *Tritici quoque genera plura notantur, cognomina ex locis sortita* G.

ποντικοὶ] corr. Sch.; *πόντιοι* Ald. Edd.

διαφορὰς δὲ καὶ — ἔχουσι καὶ ἐν] dedi de conj.; *διαφέροντες δὲ καὶ — ἰδιότησιν. ἔχουσι δὲ ἐν* Ald. H. St.; Sch. *δὲ* seclusit ac dein *Ἔχουσι δὲ [διαφορὰς καὶ] ἐν* scripsit. Gaza miro modo locum perturbavit — *Siculum: quae et colore et — et proprietate inter se differunt. Quaedam vel aliunde cognomina sortiuntur pro suis viribus tum aliis tum vel maxime quae ad cibum pertineant: ut chacrydias.*

τινὲς καὶ ἀπ' ἄλλων — προςηγορίας οἷον] Ald. H. St.; *τινὲς δὲ καὶ ἀπ' ἄλλων — προςηγορίας ἔχουσι οἷον* Sch.

καγχρυδίας] P Ald. Edd.; *καχρυδίας*, UM; *chacrydias* G.

στλεγγὺς ἀλεξάνδρειος] *Στραγγίας, Σελευκούσιος* fecit St.; *stleggis alexandrinus* G. Cf. C. pl. 3, 21, 2.

οἰκεῖαι] P; *οἰκεῖον* Ald. Edd. o.

οἷόν εἰσιν οἱ μὲν πρώϊοι οἱ δὲ ὄψιοι, καὶ εὐαυξεῖς καὶ πολύχοι οἱ δὲ μικροὶ καὶ
ὀλιγόχοι, καὶ μεγαλοστάχυες οἱ δὲ μικροστάχυες. καὶ οἱ μὲν ἐν κάλυκι πολὺν
χρόνον οἱ δ᾽ ὀλίγον ἔνοντες ὥςπερ ὁ λιβυκός. καὶ κάλαμον οἱ μὲν λεπτὸν οἱ δὲ
παχύν· καὶ τοῦτο ὁ λιβυκός ἔχει, παχὺν δὲ καὶ ὁ καγχρυδίας. ἔτι δὲ χιτῶνας
οἱ μὲν ὀλίγους οἱ δὲ πολλοὺς ὥσπερ ὁ θρᾴκιος· καὶ ὁ μὲν μονοκάλαμος ὁ δὲ
πολυκάλαμος, καὶ μᾶλλον δὲ καὶ ἧττον. ὁμοίως δὲ καὶ εἴ τι παραπλήσιον 4.
τούτοις ἢ τοῖς πρότερον εἰρημένοις κατὰ τὰς δυνάμεις. αἱ γὰρ τοιαῦται φυσι-
κώταται δόξαιεν ἂν εἶναι τῶν διαφορῶν· ἐν αἷς καὶ τὸ τῶν τριμήνων καὶ τὸ τῶν
διμήνων καὶ εἴ τι γένος ἐν ἐλάττοσιν ἡμέραις τελειοῦται καθάπερ φασὶν εἶναι
περὶ τὴν Αἴνειαν οἳ τετταράκοντα ἡμέραις ἀπὸ τῆς σπορᾶς ἁδρύνονται καὶ τέ-
λος ἴσχουσιν· εἶναι δ᾽ ἰσχυρὸν τοῦτον καὶ βαρὺν οὐχ ὥςπερ τὸν τρίμηνον κοῦφον,
δι᾽ ὃ καὶ τοῖς οἰκέταις παρέχειν, καὶ γὰρ οὐδὲ πίτυρον ἔχειν πολύ. σπανιώτα-
τος μὲν οὖν καὶ τάχιστος εἰς τελείωσιν οὗτος. εἰσὶ δὲ καὶ δίμηνοί τινες οἵπερ
καὶ ἐκ Σικελίας ἐκομίσθησαν εἰς Ἀχαίαν· ὀλιγοχόοι δὲ καὶ ὀλιγογόνοι καὶ
κοῦφοι κατὰ τὴν προςφορὰν καὶ ἡδεῖς. καὶ ἄλλοι δέ τινες οἱ περὶ Εὔβοιαν
εἰσὶ καὶ μάλιστα ἐν τῇ Καρυστίᾳ. τρίμηνοι δὲ πολλοὶ καὶ πανταχοῦ κοῦφοι
οὗτοι καὶ ὀλιγοχόοι καὶ μονοκάλαμοι κατὰ τὴν ἔκφυσιν καὶ τὸ ὅλον ἀσθενεῖς.
κουφότατος μὲν οὖν ὡς ἁπλῶς εἰπεῖν πυρὸς ὁ ποντικός· βαρύτερος δὲ τῶν εἰς 5.
τὴν Ἑλλάδα παραγινομένων ὁ σικελός· τούτου δ᾽ ἔτι βαρύτερος ὁ βοιωτός· σῃ-

καὶ εὐαυξεῖς etc.] Locus hic in Ald. sic scriptus est *καὶ εὐαξεῖς καὶ πολύοχοι, οἱ δὲ καὶ ὀλίγοχοι καὶ μεγαλοστάχυες οἱ δὲ μικροστάχυες.* Primum *πολύχοι* et *ὀλιγόχοι* dant UMP Schn.syll.; *πολύχοοι* et *ὀλιγόχοοι* H. St. Sch.cont. Dein cum Schn. ante *καὶ ὀλιγόχοι* interserui *μικρὸν* expressum a Gaza, quod respondeat voci *εὐαυξεῖς,* quodque excidisse copula *καὶ* prodit. Tum Sch. cum St. bis inseruit *οἱ μὲν* ante *εὐαυξεῖς* et ante *μεγαλοστάχυες.* Id non feci: persuadeo enim mihi *οἱ μὲν* semel ab initio positum sufficere, cum *οἱ δὲ* in quoque altero membro positum antithesin satis declaret. Ceterum *εὐαξεῖς* Ald. G. *et* (ut?) *aliud praecox aliud serum: et aliud auctu amplum multumque reddens: aliud ieiunium quoddam parvumque ferens: et aliud spicam grandiorem etc.*

πολὺν] St. Sch.; *πολλὺν* Ald. H.

ὀλίγον ἔνοντες] dedi e conj.; *ὀλ. ἔχοντες* Ald.; *ὀλ. ἐχόμενοι* St. Sch. delevit *ἔχοντες* et transtulit ad comma sequens.

λεπτὸν] Sch. addit *ἔχοντες* e commate antecedente translatum. Quo tamen verbo hic facile caremus, cum mox *ἔχει* sequatur. Post *παχὺν* posuit i. u. *ἔχουσι* St.

δὲ καὶ ὁ καγχρυδίας] UMP Sch.: *δὲ ὁ καχρυδίας* Ald. H. et St. qui *καγχρ.* scripsit. *Crasso enim et chacrydias* G.

ὁ μὲν — ὁ δὲ] *οἱ μὲν — οἱ δὲ* St.

4. *ἢ τοῖς π.*] *τοῖς* om. H.

κατὰ τὰς δ.] *τὰς* om. H. St.

φυσικώταται] U Sch.syll.; *φυσικώτεραι* Ald. Edd.

τὸ τῶν διμήνων] Ald. Cam. H. St.; *τὸ* om. Bas. unde Schn., qui Aldina non inspecta omnes Basileensis scripturas, etiam errores typotheticos, pro Aldinae scripturis vendidit, *τὸ* ab Heinsio insertum esse opinatus, uncis seclusum addidit.

Αἴνειαν] UP2 Sch. syll.; *ἔννοιαν* M; *εὔβοιαν* Ald. Edd. o.

οἳ τετταρ.] *οἵ,* quod om. Ald., addiderunt H. St. Sch.; *ὃ τ.* Vin. Vo. Vereor tamen ut recte. Unde enim pluralis, cum praecedat *γένος,* sequatur *τοῦτον.*

ἡμέραις] UM Ald. Bas. Cam. Sch.; *ἡμέρας* H. St.

βαρὺν] Ald. Edd. cett. praeter Bas., quae ab initio paginae *βραχὺν* sed in custode paginae superioris *βαρὺν* habet.

κοῦφοι — ἡδεῖς] *κοῦφοι καὶ κατὰ τὴν προςφορὰν ἡδεῖς* St.

οἱ περὶ] *οἱ* om. St. — Dein *κοῦφοι δ᾽ οὗτοι* St.

κατὰ τὴν ἔκφυσιν] om. G.

μεῖον δὲ λέγουσιν ὅτι οἱ μὲν ἀθληταὶ ἐν τῇ Βοιωτίᾳ τρί' ἡμιχοίνικα μόλις ἀναλίσκουσιν, Ἀθήναζε δὲ ὅταν ἔλθωσι πένθ' ἡμιχοίνικα ῥᾳδίως. κοῦφος δὲ καὶ ὁ ἐν τῇ Λακωνικῇ. τούτων μὲν οὖν ἔν τε ταῖς χώραις καὶ τῷ ἀέρι τὸ αἴτιον· ἐπεὶ καὶ περὶ τὴν Ἀσίαν οὐ πόρρω Βάκτρων ἐν μέν τινι τόπῳ οὕτως ἁδρὸν εἶναί φασι τὸν σῖτον ὥστε πυρῆνος ἐλαίας μέγεθος λαμβάνειν, ἐν δὲ τοῖς Πισσάτοις καλουμένοις οὕτως ἰσχυρὸν ὥστ' εἴ τις πλεῖον προςενέγκοιτο διαρρήγνυσθαι καὶ τῶν Μακεδόνων καὶ πολλοὺς τοῦτο παθεῖν. ἄτοπον δὲ καὶ ἀνομολογούμενον πρὸς τὴν τῶν τριμήνων κουφότητα τὸ περὶ τοὺς ποντικοὺς συμβαῖνον· εἰσὶ γὰρ οἱ μὲν σκληροὶ ἠρινοὶ οἱ δὲ μαλακοὶ χειμερινοί· πολὺ γὰρ διαφέρει
6. 5 H. St. τῇ κουφότητι ὁ μαλακός. ὁμοίως δὲ καὶ δύο ἀρότους ὡς ἔοικε παντὸς τοῦ σίτου ποιοῦνται τὸν μὲν χειμερινὸν τὸν δὲ ἠρινόν, ἐν ᾧ καὶ τὰ ὄσπρια καταβάλλουσιν. εἰσὶ δὲ καὶ οἱ μὲν καθαροὶ αἰρῶν ὥςπερ ὁ ποντικὸς καὶ ὁ αἰγύπτιος· καθαρὸς δὲ ἐπιεικῶς καὶ ὁ σικελὸς καὶ μάλιστα ὁ ἀκραγαντῖνος οὐκ αἰρώδης· ὁ δὲ σικελὸς ἴδιον ἔχει τὸ μελάμπυρον καλούμενον ὅ ἐστιν ἀβλαβὲς καὶ οὐχ ὥςπερ ἡ αἶρα βαρὺ καὶ κεφαλαλγές. ἀλλὰ τὰ μὲν τοιαῦτα καθάπερ ἐλέχθη ταῖς χώραις ἀναθετέον καὶ ὅσον ἐπιβάλλει τοῖς γένεσιν.

Cap. V. Ἐν δὲ τοῖς ὀσπρίοις οὐχ ὁμοίως ἐστὶ λαβεῖν τὰς τοιαύτας διαφορὰς εἴτ' οὖν διὰ τὸ μὴ ἐξετάζειν ὁμοίως εἴτε καὶ διὰ τὸ μονοειδέστερα τυγχάνειν· ἔξω γὰρ ἐρεβίνθου καὶ φακοῦ καὶ ἐπ' ὀλίγου κυάμου καὶ ὀρόβου, καθ' ὅσον ἡ τῶν χρωμάτων καὶ τῶν χυλῶν διαφορά, τῶν γ' ἄλλων οὐ ποιοῦσιν ἰδέας. οἱ δὲ ἐρέβινθοι καὶ τοῖς μεγέθεσι καὶ τοῖς χυλοῖς καὶ τοῖς χρώμασι καὶ ταῖς

5. *τρί' ἡμιχοίνικα — πενθ' ἡμιχοίνικα*] sic scribi oportere multis rationibus comprobavit Sch.; *τριημισχοίνικα — πενθ' ἡμισχοίνικα* M ubi partem verae scripturae deprehendimus; *τριημιχοίνικα — πενθημιχοίνικα* P2 Ald. H. St.

Ἀθήναζε] *Ἀθήναδε* H. St.

καὶ ὁ ἐν] UMPP2 Sch.; *ὁ* om. Ald. H.; *leve satis et quod in lac.* G. *καὶ ὁ πυρὸς ἐν* St.

Ἀσίαν οὐ πόρρω] UP2 Sch.syll.; *ἀσίου πόρρω* M; *ἀσίαν πόρρω* Ald. Edd. o.; *asiae ultra bactra* G.; *in Bactris* Plin. 18, s. 12.

Ceterum *βάκτωρ* M; *βακτρῶνι* sic P2. Apollon. Mirab. hist. s. 33 *Θεόφραστος ἐν τῷ ζ περὶ φυτῶν τῆς βακτριανῆς ὁδοῦ ἔν τισι κώμαις πυρὸν γίγνεσθαι οὕτως εὐγενῆ, ὥστε πυρῆνος ἐλαίας τὸ μέγεθος ἴσχειν.*

Πισσάτοις] U; *πεσσώτοις* P; *πισσύτοις* P2; *πισσώτοις* Ald. Edd. o.; *im possilis autem dictis* G. Cf. C. pl. 4, 9, 5.

ὥστ' εἴ τις πλεῖον] P Sch.; *ὥσθ' εἴ τις πλεῖον* UM; *ὥστ' εἴ τις πλεῖστον* Ald. Edd.; *ὥστε εἴ τις πλέον* P2.

προςενέγκοιτο] P2 Ald.: *προςενέγκαιτο* Sch.

καὶ πολλοὺς] UM; *καὶ* om. P2 Ald. Edd.

οἱ μὲν — χειμερινοί] UM Ald. Sch.; — *ἤρινοι, μαλακοὶ δὲ χειμ.* H.; *οἱ σκληροι ἠρινοὶ, μαλακοὶ δὲ οἱ χειμ.* St.

ὁ μαλακός] *ὁ μαλὸς* M.

6. *ὁμοίως — καταβάλλουσιν*] Haec videntur e glossa in contextum venisse; Sch. seclusit.

ἡ αἶρα] U Sch.; *ἡ* om. Ald. H. St.

κεφαλαλγὲς] *κεφαλαγὲς* H.

ἐπιβάλλει] *ἐπιβάλλειν* St. Sensum verborum a Gaza et Scaligero non perceptum recte explicuit Sch.

Cap. V.

κάθοσον — διαφορὰ] *quoad colorum saporumque ratio differentiam faciat* G. Videntur mihi haec verba ad *κυάμου καὶ ὀρόβου* referenda esse et explicandis verbis *ἐπ' ὀλίγου* inservire.

τῶν γ' ἄλλων] Sch.syll.; *τῶν τε ἄ.* Ald.; *τῶν ἄλλων* H. St. Sch. Interpunctionem correxit Sch.

οὐ ποι.] H. St. Sch.; *οἱ π.* UM Ald.

μορφαῖς διαφέρουσιν οἷον κριοὶ ὀροβιαῖοι οἱ ἀνὰ μέσον. ἐπὶ πᾶσι δὲ τὰ λευκὰ γλυκύτερα· καὶ γὰρ ὁ ὄροβος καὶ φακὸς καὶ ἐρέβινθος καὶ κύαμος καὶ σήσαμον· ἔστι γὰρ καὶ σήσαμον λευκόν. ἀλλὰ μᾶλλον ἐν τοῖς τοιοῖσδε ποιεῖν ἐστι τὰς 2. διαφορὰς οἷον, ἐπεὶ πάντα ταῦτ' ἔλλοβα, τὰ μὲν αὐτῶν ἀδιάφρακτα καὶ ὥσπερ συμφαύοντα τυγχάνει καθάπερ ὄροβος πισὸς καὶ σχεδὸν τὰ πλεῖστα, τὰ δὲ διαπεφραγμένα καθάπερ θέρμος ἔτι δὲ μᾶλλον καὶ ἰδίως τὸ σήσαμον. καὶ τὰ μὲν μακρόλοβα τὰ δὲ καὶ στρογγυλόλοβα καθάπερ ὁ ἐρέβινθος. ἀνὰ λόγον δ' ἀκολουθεῖ καὶ τὰ πλήθη τῶν σπερμάτων· ἐλάττω γὰρ ἐν τοῖς μικροῖς ὥσπερ ἔν τε τῷ τῶν ἐρεβίνθων καὶ ἐν τῷ τῶν φακῶν. καὶ παραπλήσιαι δὲ ἴσως αἱ τοιαῦται 3. καὶ ἃς ἐπὶ τῶν σιτηρῶν ἐλέγομεν περὶ τῶν σταχύων καὶ αὐτῶν τῶν καρπῶν· ἐπεὶ καὶ οἱ καλούμενοι λοβοὶ σχεδὸν ἀκόλουθοι τοῖς σπέρμασίν εἰσιν, οἱ μὲν ἐπιπλατεῖς ὥσπερ οἱ τοῦ φακοῦ καὶ τῆς ἀφάκης, οἱ δὲ κυλινδρώδεις μᾶλλον ὡς οἱ τοῦ ὀρόβου καὶ τοῦ πισοῦ· τὰ γὰρ σπέρματα ἑκατέρων τοιαῦτα τοῖς σχήμασι· ἀλλὰ τὰς μὲν τοιαύτας διαφορὰς πολλὰς ἄν τις εὕροι καθ' ἕκαστον, ὧν αἱ μὲν κοιναὶ πᾶσιν αἱ δὲ ἴδιαι κατὰ γένος. ὅτι δὲ πάντα προσπέφυκε τοῖς λοβοῖς καὶ 4. ἔχει καθάπερ ἀρχήν τινα, τὰ μὲν προέχουσαν ὥσπερ ὁ κύαμος καὶ ὁ ἐρέβινθος, τὰ δὲ καὶ ἔγκοιλον ὥσπερ θέρμος καὶ ἄλλ' ἄττα, τὰ δὲ οὕτω μὲν οὐ φανερὰν ἐλάττω δὲ καὶ ὥσπερ ἀποσημαίνουσαν μόνον, δῆλον μὲν ἀπὸ τῆς ὄψεως· ἐξ ἧς καὶ ὅταν σπαρῇ βλαστάνει καὶ ῥιζοῦται καθάπερ ἐλέχθη, κατ' ἀρχὰς δὲ καὶ αὐτὰ τρέφεται προσηρτημένα τῷ λοβῷ μέχρι οὗ ἂν τελειωθῇ· φανερὸν δέ ἐστι καὶ ἐκ τῶν νῦν καὶ ἐκ τῶν προειρημένων. περὶ μὲν οὖν τῶν κατὰ τὰς διαφορὰς ἅλις.

ὀροβιαῖοι οἱ ἀνὰ μ.] *ὀροβ. ἀνὰ μέσον* Ald. H.; *ὀροβ. καὶ οἱ ἀνὰ μ.* St. Sch. Verba *ἀνὰ μέσον* om. G.

σήσαμον] *σίσαμον* P.

2. *οἷον ἐπεὶ πάντα ταῦτ' ἔλλοβα*] sic correxi. *ἔλλοβα* corr. Scalig. mBas. St.; *ἐλλέβορα* Ald. H.; *ἐλλόβορα* U; *siliquis inclusa* G. Reliqua sic habebant: *οἷον ἐπὶ πάντα τὰ ἐλλ.* Ald. H. St.; *οἷον ἐπὶ πᾶσι τοῖς ἐλλόβοις* corr. Schn. et adjecit dein *γὰρ* ante *αὐτῶν*. *Sed differentias hinc potius accipere licet, videlicet ex his omnibus, quae siliquis inclusa proveniunt: eorum enim alia* G. Neque haec versio neque Schneideri emendatio ullo modo probanda.

ἀδιάφρακτα] corr. Scal. St. Sch.; *διάφρακτα* Ald. H.; *non intersepta* G.; *τὰ σπέρματα* add. i. u. St.

πισὸς] Ald.; *πίσος* H. St.

διαπεφραγμένα] corr. Sch.; *λεῖα πεφρ.* Ald. H.; *λίαν πεφρ.* St. e correctione Scaligeri; G. enim *magnopere circumspecta* (scribe *circumsepta*).

τὰ δὲ καὶ στρ. κ. ὁ ἐρ.] *καὶ* et *ὁ* dant UM P Sch.; om. Ald. Edd.

3. *τοιαῦται*] *διαφοραὶ* i. u. addunt St. Sch.; *quae quidem differentiae* G.

ἐπιπλατεῖς] *leviter latae* G., unde *ὑποπλατεῖς* mBod.

καὶ τοῦ πισοῦ· τὰ γὰρ σπ.] Scal. St. Sch.; *ὀρόβου· τοῦ πίσου γὰρ τὰ σπ.* UM Ald.; Emendatio ista firma est et a sensu et a voce *ἑκατέρων*.

ἑκατέρων] UM Sch.; *ἑκατέρωθεν* Ald. H. St.

4. *ὅτι δὲ*] *ἔτι δὲ* St.

τὰ δὲ — φανερὰν] *τὰ δὲ οὐκ οὕτω μὲν ἔχει φαν.* St.

μόνον· δῆλον — ὄψεως· ἐξ ἧς] Ald. H. St. St.; sic quoque G. qui tamen eo fallitur, quod *cernitur* posuit ante verba *ἐξ ἧς*. Verba *δῆλον μὲν ἀπὸ τῆς ὄψεως* loco suo mota post *τελειωθῇ* posuit Sch., sed frustra: structura rite procedit, sententia perspicua. Verba *ἐξ ἧς — τελειωθῇ* addunt, quae ad explicandam *ἀρχήν τινα* pertinent, sic ut his ipsis cur particula ista *ἀρχή* audiat declaretur; post ea altera sententiae pars *φανερὸν δέ ἐστιν* commode adstruitur. *δῆλον μὲν τοῦτο ἀπὸ τῆς ἀρχῆς* inepte St. Idem deinde *τρέφεσθαι*.

οὖν τῶν] UM Ald. Sch.; *οὖν τοῦ* H. St. In Comm. *τῶν* abesse a Med. refert Sch.

6 H. St. **Cap. VI.** Σπείρειν δὲ ξυμφέρει πάντα μάλιστα μὲν ἐν τοῖς ὡραίοις ἀρότοις·
οὐ μὴν ἀλλὰ καὶ ἐν ξηρᾷ τινες καταβάλλουσι καὶ οὐχ ἥκιστα πυροὺς καὶ κριθὰς
ὡς μάλιστα αὐταρκεῖν δυνάμενα ὅπου μὴ ὄρνισιν ἢ ἄλλοις θηρίοις ἐπισινὴς ἡ
χώρα. δοκεῖ γὰρ ὡς ἐπὶ πᾶν ὁ πρῶτος ἄροτος ἀμείνων εἶναι χείριστος δὲ σπό-
ρος ἐν ταῖς ἡμιβρόχοις· ἀπόλλυται γὰρ καὶ ἐκγαλακτοῦται τὰ σπέρματα καὶ
ἅμα ξυμβαίνει πόαν ἀναφύεσθαι πολλήν. μετὰ δὲ τὴν σπορὰν ὕδωρ ἐπιγίνε-
σθαι πᾶσι ξυμφέρει, πλὴν ὅσα δυςβλαστῆ γίνεται μᾶλλον ὥςπερ ὅ τε κύαμος
2. δοκεῖ καὶ τῶν θερινῶν σήσαμον καὶ κύμινον καὶ ἐρύσιμον. πυκνοσπορεῖν δὲ
καὶ μανοσπορεῖν καὶ πρὸς τὰς χώρας βλέποντα χρή· πλεῖον γὰρ ἡ πίειρα καὶ
ἀγαθὴ δύναται φέρειν τῆς ὑφάμμου τε καὶ λεπτῆς. καίτοι λέγεταί τις λόγος
ὡς ὁτὲ μὲν πλέον ὁτὲ δὲ ἔλαττον ἡ αὐτὴ δέχεται χώρα· καὶ οἰωνίζονται τὸ
πλέον ὡς οὐκ ἀγαθὸν, πεινῆν γὰρ εὐθύς φασι τὴν γῆν· οὗτος μὲν οὖν ἴσως
εὐηθέστερος λόγος. εἰ δέ τις πρὸς τὰ σπέρματα θεωροίη καὶ μάλιστά γε πρὸς
αὐτοὺς τοὺς τόπους ἅμα τῷ ἐδάφει καὶ τὴν θέσιν ἀναθεωρῶν τήν γε πρὸς τὰ
3. πνεύματα καὶ τὸν ἥλιον, οἰκειότερον ἂν λαμβάνοι τὰς διαφοράς. ἀνὰ λόγον δὲ
ἔχει καὶ ἡ κόπρισις τοῖς σπόροις πρὸς τὰς χώρας· νειὸς δ' ἀμείνων ἡ χειμέριος
τῆς ἐαρινῆς. ἐνιαχοῦ δὲ οὐ ξυμφέρειν βαθεῖαν ἀροτριᾶν ὥςπερ καὶ ἐν Συρίᾳ
δι' ὃ μικροῖς ἀρότροις χρῶνται. παρ' ἄλλοις δὲ τὸ λίαν ἐξεργάζεσθαι βλάπτει
καθάπερ ἐν Σικελίᾳ δι' ὃ καὶ τῶν ξένων ὡς ἔοικε πολλοὶ διαμαρτάνουσι. ταῦτα
4. μὲν οὖν πρὸς τὰς χώρας. διαιροῦσι δὲ καὶ τὰ σπέρματα ποίᾳ ποῖον πρόςφο-
ρον· ἐν γὰρ ταῖς χειμεριναῖς πυρὸν μᾶλλον ἢ κριθὴν, καὶ ὅλως σῖτον ἢ χεδροπὰ

Cap. VI.

ὡραίοις] UM Sch.; om. Ald. Edd.; *tempestivis sementibus* G.

ἀρότοις] mBas. St. Sch.; *ἀρότροις* Ald. H.

αὐταρκεῖν] Ald. Edd.; *ἀνταρκεῖν* U.

ἐπισινής] corr. Dalec. H. St. Sch.; *obnoxia* G.; *ἐπινὴς* UM Ald.

ὁ πρῶτος — ἡμιβρόχοις] sic ex U corr. Sch.syll.; U habet *ἀρώτοις*; Sch. scripsit *δ' ὁ σπόρος*, equidem codicem secutus sum; *ὁ πρῶτος ταῖς ἡμιβρόχοις* Ald. Cam.; *ὁ * πρῶτος ταῖς ἡμ.* Bas.; *ὁ πρῶτος ἡμιβρόχοις*, omisso etiam *ταῖς*, M; *haud enim commodum semimadefactum solum putatur* G.; *δοκεῖ γὰρ ὡς ἐπίπαν ἀνεπιτήδειος ὁ σπορὸς ἐν τοῖς ἡμιβρέχεσιν* H. St. et Sch. qui *ἡμιβρόχοις* . . . lacuna indicata scripsit. Ceterum *ἐπὶ πάνθ'* Ald., quod in *ἐπίπαν* mutavit H. Exc. P2: *χείριστος δὲ σπόρος ἐν τοῖς ἡμιβρόχοις.*

ἐκγαλακτοῦται] *-οῦνται* M

ὅ τε κύαμος] Ald. Edd.; *ὅτε ὁ κ.* UM.

δοκεῖ] dedi interim de meo; *ἐδόκει* Ald. Edd.

2. *μὲν πλέον*] U; *μ. πλεῖον* Ald. Edd.

οἰωνίζονται] *δ' ἐκ χρόας* i. u. addidit St. Idem deinde *ἀνάλογον δέ τι* scripsit.

λόγος] *ὁ λόγος* Sch.

τήν γε πρὸς] Ald. H. St. recte!; *τήν τε πρὸς* Sch.

ἂν λαμβάνοι] corr. Sch.; *ἀναλαμβάνει* Ald. H.; *ἀναλαμβάνοι* St.; *λαμβάνοι* Vin.

3. *κόπρισις*] corr. Sch.; *κόπρησις* Ald. Edd.; *κόπροσις* Vin.

τοῖς σπόροις] U Sch.syll.; om. Ald. Edd. o.

ἀμείνων] *ἀμεῖνον* St. — *νεὸς* M.

βαθεῖαν ἀρ.] corr. Sch. Vin.; *βαθείας δὲ ἀρ.* Ald.; *βαθέως ἀρ.* H. St.

ἐξεργάζεσθαι] U Sch.syll.; *ἐργάζεσθαι* Ald. Edd. o.

ταῦτα μὲν οὖν πρὸς] Sch.; *πάντα μὲν οὖν πρὸς* M; *ταῦτα πὲν πρὸς* Ald. H. St.

4. *ποίᾳ*] *χώρᾳ* i. u. add. St.; *ποίαις* Vin.

κελεύουσιν ἐν ταῖς χέρσοις καὶ διὰ χρόνου κινουμέναις· καὶ γὰρ αὗται πυρὸν
φέρουσι μᾶλλον ἢ κριθήν. δέχεται δὲ καὶ ἐπομβρίαν μᾶλλον πυρὸς τῆς κριθῆς
καὶ ἐν τοῖς ἀκόπροις φέρει μᾶλλον. ὡςαύτως δὲ καὶ αὐτῶν τῶν πυρῶν ποῖος
τῇ ποίᾳ πρόςφορος οἷον ἀγαθῇ καὶ πιείρᾳ καὶ ψαφαρᾷ καὶ λεπτῇ ταῖς ἄλλαις
ὁμοίως. ὕδωρ δὲ ὅταν μὲν χλοηφορήσῃ καὶ κυήσῃ πλεῖον ἅπασι ξυμφέρει· 5.
ἀνθοῦσι δὲ πυροῖς μὲν καὶ κριθαῖς καὶ τοῖς σιτώδεσι βλαβερόν· ἀπόλλυσι γάρ·
ὀσπρίοις δ᾽ ἀβλαβὲς πλὴν ἐρεβίνθων· οὗτοι γὰρ ἀποκλυσθείσης τῆς ἅλμης ἀπ-
όλλυνται σφακελίζοντες καὶ ὑπὸ καμπῶν κατεσθιόμενοι· ἰσχυρότερος δὲ ὁ μέ-
λας ἐρέβινθος καὶ ὁ πυρρὸς τοῦ λευκοῦ· συμφέρει δὲ, φασὶν, ἐν τοῖς ἐφύδροις
τόποις ὀψὲ σπείρειν αὐτόν. κύαμος δὲ ἀνθῶν μάλιστα φιλεῖ βρέχεσθαι, δι᾽ ὃ
καὶ οὐκ ἐθέλουσιν ὀψισπορεῖν ὥςπερ εἴπομεν ὅτι πολὺν ἀνθεῖ· μετὰ δὲ τὴν ἀπ-
άνθησιν ὀλίγου πάμπαν ὕδατος δεῖται· σύνεγγυς γὰρ ἡ τελείωσις. ἀλλ᾽ ὅταν 6.
ἁδρυνθῇ καὶ βλάπτειν δοκεῖ τὰ σιτώδη καὶ κριθὴν δὲ πυροῦ μᾶλλον. ἐν Αἰγύ-
πτῳ δὲ καὶ Βαβυλῶνι καὶ Βάκτροις ὅπου μὴ ὕεται ἡ χώρα ἢ σπανίως αἱ δρό-
σοι τὸ ὅλον ἐκτρέφουσιν. ἔτι καὶ οἱ περὶ Κυρήνην καὶ Εὐεσπερίδας τόποι.
καιριώτατα δὲ πᾶσιν ὡς ἁπλῶς εἰπεῖν τὰ ἠρινά· δι᾽ ὃ καὶ ἡ Σικελία πολύσιτος·
πολλὰ γὰρ τοῦ ἦρος καὶ μαλακὰ γίνεται τοῦ δὲ χειμῶνος ὀλίγα. ζητεῖ δὲ ἡ
μὲν λεπτόγεως πολλὰ κατὰ μικρόν· ἡ δὲ πίειρα καὶ πλῆθος μὲν ἐνεγκεῖν δύνα-

κελεύουσιν] dedi e conj.; *καὶ ὅλως* iterum Ald. H.; quae verba seclusa scripsit Sch., omisit St.

κινουμέναις] corr. Sch. comparato C. pl. 3, 21, 4; *κενουμέναις* U Ald. H. St.; *καινουμέναις* Vin.

πυρὸς τῆς κριθῆς] sic correxi; *πυρὸς καὶ κριθῆς* UM; *πυρὸς ἡ κριθὴ* Ald.; *πυρὸς ἢ κριθή* H. St. Sch.

ἀγαθῇ — λεπτῇ] corr. Casaub. Vin. Sch.; *ἀγαθὴ καὶ πίειρα καὶ ψαφαρὰ καὶ λεπτὴ* Ald. H. et St. qui *εἰ* anteposuit.

ταῖς ἀ.] *καὶ ταῖς ἀ.* St. Sch.

5. *οὗτοι γὰρ*] dedi cum P2; *οὗτοι δ᾽* Ald. Edd. o.

ἀποκλυσθείσης] P2 H. St. Sch.; *ἀποκλύσης* Ald.; *ἀποκλείσης* M.

ὁ πυρρὸς τοῦ λευκοῦ] cum G. Scal. Sch.; *ὁ λευκὸς τοῦ πυροῦ* U Ald.; *ὁ λ. τ. πυρροῦ* H. St.; *ὁ λευκὸς τοῦ πυρὸς* M.; *Cicer nigrum atque etiam ruffum firmius est quam album* G. Idem dicit Plin. 18, 12.

συμφέρει] UM Ald.; *συμφέρειν* H. St. Sch.

ἀνθῶν] *ἄνθων* St. Idem deinde *διὸ δὲ*.

πολὺν] UMP Sch.; *πολὺ* Ald. H. St.

δεῖται] corr. Sch.; *δεῖσθαι* Ald. H. et St., qui *φασὶ* i. u. addidit.

6. *καὶ κριθὴν*] UM Ald. Sch.; *καὶ* om. H. St.

ἢ σπανίως] corr. Scal. Vin. St. Sch.; *ἢ* om. Ald. H.; *ubi terra nullis aut raris imbribus madet* G.

ἔτι καὶ] dedi cum St., quae lenissima medela, adstipulante fere G. *adde cyrenen et hespiriden. Idem enim vel in iis ipsis locis fieri solet*, nisi is plura habuit; *ἐπεὶ καὶ* Ald. H. Sch. Suspicor *τοιοῦτοι* excidisse post *τόποι*.

Εὐεσπερίδας] *Εὐσπερίδας* H.

ἠρινὰ] *ὕδατα* i. u. addit St.

πολλὰ etc.] *ὕδατα* subaudiendum esse animadvertit Sch. Sed G. *σπέρματα* videtur subintellexisse datque miram hanc interpretationem: *Large namque et molliter vere fructificatur: e diverso autem hyeme solum tenue multa paullatim recipere possit. Crassum vel seminum copiam et aquarum inopiam tollerare facile potest: locis autem sicientibus omnes afflatus aureque prodesse putantur.*

ἡ δὲ πίειρα καὶ] *πίειρα δὲ καὶ* St.

πλῆθος μὲν] *μὲν* seclusit Sch. ut inutile. Equidem censeo Theo., cum in mente haberet, quod infra ut contrarium positurus esset *ὡς ἐπὶ τὸ πᾶν δέ* etc., hic posuisse *μὲν* etsi antithesis non statim sequatur, sed alia sententia intercedat.

ται καὶ ἀϋδρίαν — πρὸς δὲ τὴν χώρας ἀϋδρίαν πόντια πνεύματα καὶ αὖραι δο-
κοῦσι ξυμφέρειν, ἄλλα δὲ παρ' ἄλλοις τοιαῦτα καθάπερ καὶ πρότερον εἴρηται,
7. — ὡς ἐπὶ τὸ πᾶν δὲ μᾶλλον αὐχμὸς ἢ ἐπομβρία ξυμφέρει τῷ σίτῳ· οἱ γὰρ ὄμ-
βροι καὶ ἄλλως ἐναντίοι καὶ πολλάκις αὐτὰ τὰ σπέρματα διαφθείρουσιν, εἰ δὲ
μὴ πλῆθός γε ποιοῦσι βοτάνης ὥστε καταπνίγεσθαι καὶ ἀτροφεῖν.

Cap. VII. Τῶν μὲν οὖν ἄλλων σπερμάτων οὐδὲν εἰς ἄλλο πέφυκε μεταβάλ-
λειν φθειρόμενον, πυρὸν δὲ καὶ κριθὴν εἰς αἶράν φασι καὶ μᾶλλον τὸν πυρὸν,
γίνεσθαι δὲ τοῦτ' ἐν ταῖς ἐπομβρίαις καὶ μάλιστα ἐν τοῖς εὐύδροις καὶ ὀμβρώ-
7 H. St. δεσι χωρίοις. ὅτι δ' οὐκ ἔστιν ἠρινὸν ἡ αἶρα καθάπερ ἡ ἄλλη πόα, πειρῶν-
ται γάρ τινες τοῦτο λέγειν, ἐκεῖθεν δῆλον· εὐθὺς γὰρ τοῦ χειμῶνος φανερὰ
γίνεται πεφυκυῖα· καὶ διαφέρει πολλοῖς· ἔχει γὰρ τὸ φύλλον στενὸν καὶ δασὺ
καὶ λιπαρὸν, καὶ τούτων ἰδιώτατον τὸ λιπαρόν· ἡ γὰρ δασύτης καὶ τοῖς τοῦ αἰ-
γίλωπος ὑπάρχει, ἀλλ' ἐκφανὴς γίνεται ἐπὶ τοῖς τοῦ αἰγίλωπος τοῦ ἦρος. τοῦτο
μὲν οὖν ἴδιον τούτων καὶ ἔτι τοῦ λίνου· καὶ γὰρ ἐκ τούτου φασὶ γίνεσθαι τὴν
2. αἶραν. τοῦ δὲ ἐρεβίνθου πρὸς τὰ ἄλλα χεδροπὰ τό τε περὶ τὴν ἄνθησιν λεχθὲν
καὶ τὸ τάχιστα τελειοκαρπεῖν ἰσχυρότατον ὂν καὶ ξυλωδέστατον, καὶ τὸ ὅλον
μὴ ποιεῖν νειὸν καρποῖς· τὴν δὲ πόαν ἐξαπόλλυσι καὶ μάλιστα δὲ καὶ τάχιστα
τὸν τρίβολον. ὅλως δὲ οὐδὲ ἡ τυχοῦσα δύναται φέρειν αὐτὸν ἀλλὰ μελάγγειόν

χώρας ἀϋδρίαν] Ald. H. St.; [*τῆς*] *χώρας εὐϋδρίαν* correxit Sch., qui fallitur quod haec de Sicilia dicta esse putat. Idem dubitat an *συμφέρειν πρός τι* idem sit quod *βοηθεῖν πρός τι*, ac propterea *εὐυδρίαν* substituit.

πόντια] corr. Sch.; *πάντα* Ald. Edd. Cf. c. 7, 6. Ceterum *τὴν χώρας* (*τὴν χώραν* U M) *ἀυδρΐαν πάντα πνεύματα καὶ αὖραι* Ald. H.; *τὴν τῆς χώρας εὐϋδρίαν τὰ πόντια πνεύματα καὶ αἱ αὖραι* Sch.

Cap. VII.

φθειρόμενον] UM Sch.syll.; *σπειρόμενον* Ald. Edd. o.; *corruptum* G·

δὲ τοῦτ'] *δὲ* om. UM.

εὐύδροις] Ald. Edd.; *ἀνύδροις* UMP; *locis humidis* G.

πειρῶνται γάρ τινες] H. St. Sch.; *ἀπειρῶνται· αἰτιῶνται γὰρ τινες* U; *ἃ πειρῶνται· αἰτιῶνται γάρ τινες* PM et cum signo loci vitiosi Ald. Bas. Cam.; *quod quidam affirmare conantur* G. Fortasse aliud quid latet sub verbis vitiosis.

εὐθὺς γὰρ τοῦ χειμ.] Sch.; *εὐθὺς τὸ τοῦ χ.* Ald. Sch. in Auct. p. 57 „*γὰρ τὰ τοὺ* U cum AM“ errore manifesto. *εὐθὺς τοῦ* St. Dein *γίνεται* om. H.

καὶ τοῖς τοῦ αἰγίλωπος] Sch.; *καὶ τῆς τοῦ αἰγύλωπος* Ald. M; *καὶ ταύτης καὶ τοῦ αἰγίλωπος* H. St.; *αἰγίλοπος* P.

ἀλλ' — αἰγίλωπος] sic dedi partim e Schneideri partim e mea conjectura. Haec verba, quae desunt in Ald. Edd. sic exhibet U *ἀλλ' ἐκφανεῖς γίνονται καὶ τοῖς τοῦ αἰγίλωπος*, ubi Sch. *ἐκφανὴς γίνεται*, ego *ἐπὶ* pro *καὶ* scripsi, ut saltem sensum verba haberent. Sed vitium alte sedere censeo. *Ejusque peculiare pinguitudo notatur. Pilositas enim avenae etiam datur. Hoc igitur proprium eorum animadversum est* G.

μὲν οὖν] UM Sch.; *οὖν* om. Ald. Edd.

γίνεσθαι] *γενέσθαι* P.

2. *χεδροπὰ*] *ἴδιον* i. u. addit St.

νειὸν καρποῖς] sic Sch. in Auct. et Syll. „*καρπῶς* U, unde scribo *καρποῖς*.“ Vellem dixisset, quomodo explicandum sit; sive enim pro dativo commodi habeas, referendum ad fruges, sive pro instrumentali referendum ad ipsius ciceris fructus: utrumque parum commode dictum est. *καρπὸς* M; *καρπὸν* Ald.; *Atque in totum novalibus ineptum prae sua edacitate est* G. *καὶ τὸ ἄλλον μὴ ποιεῖν ἐν νειοῖς καρπὸν* H.; *καὶ τὸ ὅλον μὴ ποιεῖν ἐν νειοῖς καρπόν* St. Suspicor scriptum fuisse — *νειὸν καρπιζόμενον τὴν γῆν. τὴν δὲ πόαν* etc.

τὴν δὲ πόαν] sic correxi; *τήν γε π.* Ald. H. Sch.; *τὴν γὰρ π.* St.

καὶ μάλ.] UP; *καὶ* om. Ald. Edd. o.

τυχοῦσα γῆ] i. u. add. St.

τινα δεῖ καὶ πεῖραν εἶναι. τῶν δὲ ἄλλων ἡ ἀρίστη νειὸς ἀπὸ τῶν κυάμων καί-
περ πυκνοσπορουμένων καὶ πολὺν καρπὸν φερόντων. τὰ δὲ ἐν τοῖς θερινοῖς 3.
ἀρότοις ὀλίγου δεῖ πάντα, φασὶ δὲ καὶ τὰ ναματιαῖα συμφέρειν μᾶλλον αὐτοῖς
τῶν ἐκ διός· μέλινοι δὲ καὶ κέγχροι ἐλάττους ὕδατος· ἐὰν γὰρ ἔχωσι πλεῖον
φυλλοβολοῦσιν. ἰσχυρότερον δὲ ὁ κέγχρος· οἱ δὲ μέλινοι γλυκύτεροι καὶ ἀσθε-
νέστεροι. σήσαμον δὲ οὐδὲν ζῶον ἐσθίει χλωρὸν οὐδὲ θέρμον. εἰ δὲ μηδ'
ἐρύσιμον μηδὲ ὅρμιμον σκεπτέον· καὶ ταῦτα πικρά. ἔστι δὲ τὸ μὲν ἐρύσιμον
ὅμοιον σησάμῳ καὶ λῖπος ἔχει· τὸ δὲ ὅρμινον κυμινῶδες μέλαν· σπείρεται δὲ
ἅμα καὶ τὸ σήσαμον. περὶ μὲν οὖν τούτων σκεπτέον. ἐν δὲ ταῖς ἀγαθαῖς χώ- 4.
ραις πρὸς τὸ μὴ φυλλομανεῖν ἐπινέμουσι καὶ ἐπικείρουσι τὸν σῖτον ὥςπερ καὶ
ἐν Θετταλίᾳ. συμβαίνει δ' ἂν μὲν ἐπινέμωσιν ὁποσακιςοῦν μηδὲν ἀλλοιοῦσθαι
τὸν καρπὸν, ἂν δὲ ἐπικείρωσιν ἅπαξ μόνον ἐξίστασθαι τὸν πυρὸν καὶ γίνεσθαι μα-
κρὸν καὶ οὐχ ἁδρὸν ὃν καλοῦσι καμακίαν, καὶ οὐκ ἀποκαθίστασθαι πάλιν σπει-
ρόμενον· τοῦτο μὲν οὖν ὡς παύροις συμβαῖνον Θετταλοὶ λέγουσιν. ἐν Βαβυ-
λῶνι δὲ ἀεὶ καὶ ὥςπερ τεταγμένως ἐπικείρουσι μὲν δὶς τὸ δὲ τρίτον τὰ πρόβατα
ἐπαφιᾶσιν· οὕτω γὰρ φύει τὸν καυλὸν, εἰ δὲ μὴ φυλλομανεῖ· γίνεται δὲ μὴ κα-
λῶς ἐργασαμένοις πεντηκονταχόα τοῖς δὲ ἐπιμελῶς ἑκατονταχόα. ἡ δὲ ἐργα-

μελάγγειον] P Sch.; *μελαγγεῖον* Ald. H. Atticam formam *μελάγγεων,* quae est C. pl. 2, 4, 12. 3, 21, 3, ut supra cap. 2 extr. *λεπτόγεων,* libris invitis dare non ausus sum.

ἡ ἀρίστη νειὸς] sic dedi e conjectura; *χειρίστη νήπιος* U; *χειρίστην νήπιος* MP; *καλλίστη νειὸς* Ald. St. Sch. et H. qui *καλλίστην* habet. Cf. C. 9, 1 et C. 4, 8, 1.

καίπερ] Ald. Edd.; *καὶ περὶ* UMP.

3. *ἀρότοις*] mBas. St. Sch.; *ἀρότροις* Ald. H. Verba *τὰ δὲ — πάντα* omisit G ,,Non apparet, quia verbum additum non est, quid scriptor voluerit dicere; sed e loco altero conjicere licet excidisse *καρπίζεται τὴν γῆν*“ Sch. Atque sic verba ista ad paragraphum secundam adhibuit, a verbo *φασὶ* autem tertiae initium posuit. Qua in re valde falli videtur. Proxima paragrapho de leguminum natura pecularia quaedam Th. enarravit: nunc ad tertium genus *σιτωδῶν*, quae *θερινὰ* vocantur, pergit, atque ab initio ut antea fecerat exponit qua ratione ea aquas vel recipiant vel fugiant. Igitur ad *ὀλίγου* subintelligendum est *ὕδατος*. Sed ordo verborum non satis aptus. Ceterum post *ὀλίγου* U habet *δε,* M *δὲ.*

ἐκ διὸς] *ἐκδικὸς* Cam.

μέλινοι] Ald. H. St.; *ἕλυμοι* Vin.; *ἔλυμοι* Sch.cont.; *μέλιναι* Sch.syll. Pari modo paullo post.

ὕδατος] i. u. addit *δέουσι* St., *δέονται* Sch.

γλυκ. καὶ ἀσθ.] UMP; *εἰ καὶ ἀσθ.* Ald. Edd. Sch. in Syll., *εἰ* seclusit, et propter *μέλιναι* feminina adjectiva posuit.

οὐδὲν ζῶον] *ζῶον* a libris et Edd. omissum addidi cum Sch.; *οὐδὲν* UM; *οὐδεὶς* Ald. H. St.; *nullum animal mandit* G.

μηδ' ἐρ.] corr. Sch.; *μὴ ἐρ* Ald. H. St.

ὅρμινον] St. Sch.; *ὅρμηνον* Ald. H.

καὶ ταῦτα πικρά] UMP, recte! Cf. C. 6, 12, 12; *καὶ ταῦτα εἰ πικρά* Ald. Sch.; *κ. τ. ἐστι π.* H.; *καὶ γὰρ τ. ἐστι π.* St.; *nam ea quoque amara sunt* G.

λῖπος] Ald. Sch.; *λίπος* H. St.

ὅρμινον] U Sch.; *ὅρμηνον* Ald. H. St.

καὶ τὸ σήσαμον] *τῷ σησάμῳ* St.

4. *ὁποσακιςοῦν*] *ὁσακισοῦν* P.

μακρὸν] UM Ald. St. Sch.; *μικρὸν* H.

καμακίαν] *καματίαν* H.

παύροις] *sed hoc perquam paucis evenire Thessali aiunt* G. ,,Mihi *πυροῖς* scriptum fuisse videtur“ Sch. Noli credere! Quid enim esset *ὡς πυροῖς*? Scripturam vulgarem recte habere ostendunt quae sequuntur e contrario posita *ἀεὶ — τεταγμένως.*

τεταγμένως] St. Sch.; *ordinate* G.; *τεταμένως* Ald. M. H.

γ. δὲ μὴ] Ald. H.; *γ. δὲ ἐν τοῖς μὴ* St. soloece; *γ. δὲ τοῖς μὴ* Sch.

πεντηνοκταχόα — ἑκατονταχόα] tacite corr. Sch.; *πεντηκοντοχύα — ἑκατοντοχόα* Ald. Edd.

σία τὸ ὡς πλεῖστον χρόνον ἐμμένειν τὸ ὕδωρ ὅπως ἰλὺν ποιήσῃ πολλήν· πίειραν
γὰρ οὖσαν καὶ πυκνὴν τὴν γῆν δεῖ ποιῆσαι μανήν. ὕλην δὲ οὐ φέρει καὶ πόαν
5. ὥςπερ ἐν Αἰγύπτῳ. τὰ μὲν οὖν τοιαῦτα χώρας ἀρετῆς. φύεται δὲ καὶ ἀπὸ
ῥιζῶν πυρὸς καὶ κριθὴ πολλαχοῦ τῷ ὑστέρῳ ἔτει· αὐτοετὴς δὲ καὶ ἀπὸ τῶν
εἰς κράστιν κειρομένων ἑτέρου καλάμου παραβλαστάνοντος. ὡςαύτως δὲ
κἂν ὑπὸ χειμῶνος ἐκπαγῇ· παραβλαστάνει γὰρ ὑδάτων ἐπιγινομένων· ὁ δὲ
στάχυς ἀτελὴς καὶ μικρὸς ἀπὸ τῶν τοιούτων. βλαστάνουσι δὲ τῷ ὑστέρῳ ἔτει
καὶ ἀπὸ τῶν καταπονουμένων καὶ συμπατουμένων ὥστε μηδὲν εἶναι δῆλον ὡς
εἰπεῖν οἷον ὅταν διέλθῃ στρατόπεδον, καὶ οἱ στάχυες μικροὶ καὶ τούτων οὓς
καλοῦσιν ἄρνας· τῶν δὲ χεδροπῶν οὐδὲν δύναται τοιοῦτον ποιεῖν ἢ οὐχ ὁμοίως.
6. 8H. καὶ αἱ βλαστήσεις τοσαυταχῶς. πρὸς αὔξησιν δὲ καὶ τροφὴν μέγιστα μὲν ἡ
τοῦ ἀέρος κρᾶσις συμβάλλεται καὶ ὅλως ἡ τοῦ ἔτους κατάστασις· εὐκαίρων
γὰρ ὑδάτων καὶ εὐδιῶν καὶ χειμώνων γινομένων ἅπαντα εὔφορα καὶ πολύκαρπα
κἂν ἐν ἁλμώδεσι καὶ λεπτογείοις ᾖ· δι' ὃ καὶ παροιμιαζόμενοι λέγουσιν οὐ κα-
κῶς ὅτι „ἔτος φέρει οὐχὶ ἄρουρα." μέγα δὲ καὶ αἱ χῶραι διαφέρουσιν οὐ
μόνον τῷ πίειραι καὶ λεπταὶ καὶ ἔπομβροι καὶ αὐχμώδεις εἶναι ἀλλὰ καὶ τῷ
ἀέρι τῷ περιέχοντι καὶ τοῖς πνεύμασιν· ἔνιαι γὰρ οὖσαι λεπταὶ καὶ φαῦλαι
7 τελεςφοροῦσι διὰ τὸ πρὸς τὰ πνεύματα τὰ πόντια κεῖσθαι καλῶς. ἄλλα δὲ ἄλ-
λαις τοιαῦτα καθάπερ πολλάκις εἴρηται· ταῖς μὲν γὰρ τὰ ζεφυρικὰ ταῖς δὲ τὰ
βόρεια ταῖς δὲ τὰ νότια. συμβάλλεται δὲ καὶ οὐ μικρὰ ἡ ἐργασία καὶ μάλισθ'

τὸ ὡς πλεῖστον] Ald. Edd.; *τὸ ὅ πλ.* M1, *τὸ ὁ πλ.* M2.

ἰλὺν] corr. Sch. auctore Plinio 8, 17 s. 45 et flagitante sensu; *ὕλην* Ald. H.; *πηλὸν* St.

ποιήσῃ] *ποιήσει* M.

ὕλην — ἐν Αἰ.] M Ald. et Sch. qui [ἢ] *ἐν Αἰ.* ex eodem Plinii loco scribendum esse putavit; *ἐν* om. H. St. Locum mutilum esse patet, quem Sch. scriptum fuisse suspicatur *ἰλὺν δὲ οὐ φέρει καὶ πόαν ὁ Εὐφράτης ὥςπερ ὁ Νεῖλος ἐν Αἰγύπτῳ.*

χώρας] *ἐκχώρας* St.

5. *κράστιν*] U Ald. Cam. H. Sch.syll.; *κράσιν* Bas.; *πράσιν* cum Scal. St.; *κάρσιν* Sch.cont.

κειρομένων] Ald. Edd.; *σπειρομένων* Sch.; *κειρομένας* M.

ὑπὸ] *ἀπὸ* St.

ἐκπαγῇ] *ἐκπλαγῇ* U a pr. m. videtur habere.

ἀτελὴς] UMP Sch.syll.; *εὐτελὴς* Ald. Edd. o.

καταπονουμένων] UM Sch.syll.; *καταπατουμένων* Ald. Edd. o.

καὶ οἱ στάχυες] UM Ald. Sch.; *εἰσὶν οἱ στ.* H.; *εἰσὶν δ' οἱ στ.* St. *videlicet cum transeunte exercitu semina concussa in terram corruerint, nec non et eorum quos agnos vocitant* G.

καὶ τούτων] corr. Sch.; *κ. τούτους* Ald. H.; *καὶ τούτοις* cum Scal. St. Cf. C. pl. 4, 8, 5.

καλοῖσιν] Ald. Sch.; *καλοῦσι* H. St.

τοιοῦτον] UM; *τοιοῦτο* Ald. Edd.

καὶ αἱ βλ.] *ἢ* anteposuit St.; *καὶ αἱ μὲν βλ.* Sch.

τοσαυταχῶς] corr. Scalig. St. Sch.; *τοιαυταχῶς* Ald. H.

6. *κρᾶσις*] St. Sch.; *κράσις* Ald. H.

εὔφορα] *ἔκφορα* UP.

εὐδιῶν] *εὐδίων* Bas. sola.

οὐ κακῶς] M Sch.; *οὐ καλῶς* Ald.; *οὐ κακῶς* H.; *καλῶς* St.

οὐχὶ] C. pl. 3, 23, 4 ubi idem laudat proverbium habet *οὔτι.*

εἶναι] addidi cum Sch., vix enim abesse posse videtur.

τῷ ἀέρι] om. St.

ἄλλαις] U, Sch. e conj.; *ἄλλα* M; *ἄλλοις* Ald. Edd. Cf. C. pl. 3, 23, 5.

7. *τοιαῦτα*] suspectum est Schneidero; explica *ποιοῦντα τελεςφορεῖν.*

μικρὰ] UM Ald. Sch.; *μικρὸν* H. St.

ἢ πρὸ τοῦ σπόρου· κατεργασθεῖσα γὰρ ῥᾳδίως ἐκφέρει. καὶ ἡ κόπρος δὲ μεγάλα βοηθεῖ τῷ διαθερμαίνειν καὶ συμπέττειν· προτρέχει γὰρ τὰ κοπριζόμενα τῶν ἀκόπρων καὶ εἴκοσιν ἡμέραις· ἅπασι δὲ οὐ ξυμφέρει· καὶ χρήσιμος οὐ μόνον τοῖς περὶ τὸν σῖτον ἀλλὰ καὶ τοῖς ἄλλοις πλὴν πτερίδος, ταύτην δὲ φθείρειν φασὶν ἐπιβαλλομένην. ἀπόλλυται δὲ ἡ πτερὶς καὶ ἐπικοιμωμένων τῶν προβάτων, ὡς δέ τινες λέγουσι καὶ ἡ μηδικὴ διὰ τὴν κόπρον καὶ τὸ οὖρον.

Cap. VIII. Τῶν δὲ σπερμάτων ἕκαστα καὶ πρὸς τὴν τῆς χώρας φύσιν ἁρμόττει, καὶ ὅλως γένη πρὸς γένος καὶ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν, ἃ δὴ πειρῶνται διαιρεῖν. μεταβάλλει δὲ τὰ ξενικὰ τῶν σπερμάτων μάλιστα μὲν ἐν τρισὶν ἔτεσιν εἰς τὰ ἐπιχώρια. συμφέρει δὲ ἐκ τῶν ἀλεεινῶν εἰς τὰ μικρὸν ἧττον ἀλεεινὰ καὶ ἐκ τῶν ψυχεινῶν ἀνὰ λόγον ποιεῖσθαι τὴν μεταβολήν. τὰ δ' ἐκ τῶν δυσχειμερινῶν ἐν τοῖς πρωΐοις ὀψὲ ἀποχεῖται ὥστ' ἀπ' αὐχμοῦ φθείρεται ἐὰν μὴ ὄψιον ὕδωρ σώσῃ. διὰ τοῦτο καὶ εὐλαβητέον φασὶ τὸ μίσγειν τὰ ξενικὰ τοῖς ἐπιχωρίοις ἐὰν μὴ ἐξ ὁμοίας, ὅτι ἀσύμφωνα τῇ χώρᾳ κατὰ τὸν σπόρον καὶ κατὰ τὴν γένεσιν ὥστε καὶ ἐργασίας ἑτέρας δεῖται· τάς τε τῆς γῆς διαφορὰς καὶ τὰς τῶν σπερμάτων δυνάμεις καὶ ἔτι τὰς ἑκάστων ὥρας. ὅταν δὲ εὐετηρία 2. γένηται καὶ πολυνοστότερα τὰ σπέρματα γίνεται. Ἀθήνησι γοῦν αἱ κριθαὶ τὰ πλεῖστα ποιοῦσιν ἄλφιτα· κριθοφόρος γὰρ ἀρίστη· τοῦτο δ' οὐχ ὅταν πλεῖσται γένωνται ἀλλ' ὅταν λάβῃ τινὰ κρᾶσιν. ἐν δὲ τῇ Φωκίδι περὶ Ἐλάτειαν οἱ πυροὶ ποιοῦσιν ἡμιόλια τὰ ἄλευρα, καὶ ἐν Σόλοις τῆς Κιλικίας καὶ οἱ πυροὶ καὶ αἱ κριθαί· καὶ παρ' ἄλλοις ἄλλα πρὸς ἅπερ εὐφυὴς ἑκάστη. βελτίω μὲν οὖν καὶ

8St.

ἢ πρὸ τοῦ σπόρου] *πρὸ* addidi e conjectura; vulgaris scriptura *ἢ τοῦ σπόρου* nihili est. Eamque conjecturam defendere mihi videor ex ipsa Theophrasti doctrina: disertis verbis enim distinguit. C. pl. 3. 20, 6 eam culturam, quae post germinationem accedit, ab ea quae in praeparando solo ante sementem versatur.

μεγάλα] *μεγαλη* P.

τῷ διαθ.] *τοῦ διαθ.* H.

συμπέττειν] *συμπεττεῖν* Ald. sol.

καὶ εἴκοσιν] UM Ald. Sch.; *καὶ* om. H. St.

πτερίδος] corr. Sch.; *πτεοίδι* St.; *πτερία* Ald. Cam.; *πτερίᾳ* Bas. H.

δὲ ἡ πτ.] corr. Sch.; *δὲ καὶ ἡ πτ.* Ald. Edd.

Cap. VIII.

χώρας] corr. Sch.; *ὥρας* Ald. Edd.; *temporis* G.

καὶ ὅλως — γένος] *atque in totum generi genus certum respondet et inter ipsa unigena* G. Sch. conjicit in Auct. *καὶ καθ' ὅλα γένη πρὸς γένος.*

ἃ δὴ] de corr. Dalec. Sch.; *ἂν δὴ* Ald. St.; *αν δὴ* H.

ἀλεεινῶν] *ἐλεεινῶν* et mox *ἐλεεινὰ* M.

ψυχεινῶν] sic correxi; *ψυχικῶν* UM; *ψυχρῶν* Ald. Edd.; *ψυχρινῶν* Sch. syll.

ἀποχεῖται] corr. Sch. Cur. sec. p. 491; *ἀπόκειται* Ald. Edd.

εὐλαβητέον] *εὐβλαβητέον* cum Cam. H.

ὅτι ἀσύμφωνα τῇ χώρᾳ] corr. Sch.; *ἔτι ἀσύμφωνα τῇ ὥρᾳ* UM Ald.; *ἔτι ἀσύμφωνος χώρα* H.; *ἔστι γὰρ ἀσύμφωνος χώρα* St.

δεῖται] *δεῖσθαι* St., ut supra *φθείρεσθαι.*

τάς τε] Sch. *ἔτι* praeposuit et dein *καὶ τὰς ἑκ. ὥρας [θεωρητέον]*, ubi H. St. *καὶ ἔτι τὰς ἑ. ὡ. ἔτι θεωρητέον.* Equidem zeugmate explico; *εὐλαβεῖσθαι* involvit significationem *observandi.* Nisi forte exciderunt nonnulla. *θεωρητέον* ne aptum quidem est.

2. *τὰ σπ.*] *καὶ τὰ σπ.* U.

γοῦν] U; *γ' οὖν* Sch. syll.; *δ' οὖν* Ald. Edd. o.

ἄλφιτα] *τὰ ἄλφιτα* Ald. Edd. Articulum Sch. seclusit.

ποιοῦσιν ἡμιόλια — καὶ οἱ πυροὶ] U Sch. syll.; om. cett.

χείρω τὰ σπέρματα καὶ διὰ τὴν ἐργασίαν καὶ διὰ τὴν γῆν γίνεται· καὶ γὰρ ἀπ-
αγριοῦται καὶ ἡμεροῦται καθάπερ τὰ δένδρα· καὶ ὅλως μεταβάλλει κατὰ τὴν
3. χώραν ὥςπερ τινὰ τῶν δένδρων εὐθὺς ἕστηκε πρὸς τὸ χεῖρον. γένος δ' ὅλον
ἐξαλλάττειν εἰς ἕτερον οὐδὲν ἄλλο πέφυκε πλὴν τίφη καὶ ζειὰ καθάπερ εἴπομεν
ἐν τοῖς πρώτοις λόγοις, καὶ ἡ αἶρα δ' ἐκ τῶν πυρῶν καὶ κριθῶν διαφθειρομέ-
νων· ἢ εἰ μὴ τοῦτο ἀλλὰ φιλεῖ γε μάλιστα ἐν τοῖς πυροῖς γίνεσθαι καθάπερ καὶ
ὁ μελάμπυρος ὁ ποντικὸς καὶ τὸ τῶν βολβῶν σπέρμα, καὶ ἄλλα δὲ ἐν ἄλλοις
τῶν σπερμάτων· ἐπεὶ καὶ ὁ αἰγίλωψ δοκεῖ μᾶλλον ἐν ταῖς κριθαῖς, ἐν δὲ τοῖς
φακοῖς ἄρακος τὸ τραχὺ καὶ σκληρὸν, ἐν δὲ ταῖς ἀφάκαις ὁ πελεκῖνος ὅμοιον
τῇ ὄψει τῷ πελέκει· σχεδὸν δὲ καθ' ἕκαστόν ἐστι τὸ συνεκτρεφόμενον καὶ συν-
αναμιγνύμενον εἴτε διὰ τὰς χώρας ὅπερ οὐκ ἄλογον εἴτε δι' ἄλλην τινὰ αἰτίαν.
4. ἔνια δὲ καὶ φανερῶς ἐστι κοινὰ πλειόνων ἀλλὰ διὰ τὸ μάλιστα ἔν τισιν εὐθενεῖν
ἴδια τούτων φαίνεται καθάπερ ἡ ὀροβάγχη τῶν ὀρόβων καὶ ἡ ἀπαρίνη τῶν φα-
κῶν· ἀλλὰ ἡ μὲν μάλιστα ἐπικρατεῖ τῶν ὀρόβων διὰ τὴν ἀσθένειαν· ἡ δὲ ἀπα-
ρίνη μάλιστα ἐν τοῖς φακοῖς εὐτροφεῖ· τρόπον δέ τινα καὶ παραπλήσιόν ἐστι τῇ
ὀροβάγχῃ τῷ ἐπιβάλλειν καὶ κατέχειν ὅλον ὥςπερ πλεκτάναις· ἀποπνίγει γὰρ
5. οὕτως ὅθεν καὶ τοὔνομα εἴληφε. τὸ δ' ὑποφυόμενον εὐθὺς ἐκ τῆς ῥίζης τῷ

μεταβάλλει κατὰ τὴν] sic scripsi e conjectura; *μεταβάλλει τὴν* UM Ald.; *μετ. διὰ τὴν* H. St. Sch. Supra 2, 4, 1 est *σχεδὸν δὲ παραπλήσιον τοῦτό γε τῷ τὰ σπέρματα κατὰ τὰς χώρας μεταβάλλειν.*

ὥςπερ τινὰ τῶν] dedi de conj.; *ὥ. τε τῶν* P; *ὥ. τῷ τῶν* Ald.; *ὥ. τὸ τῶν* H.; *ὥ. τὰ τῶν* St. Sch.; *τὸ* etiam Vin. Vo. Perperam corrigi *τὸ* vel *τὰ* ex ipsa Theophrasti doctrina colligitur: non enim omnes arbores degenerare possunt, cf. 2, 2, 6.

δένδρων εὐθὺς] UM Ald. Sch.syll.; *καὶ* interserunt H. St. Sch.cont.

3. *τίφη*] Ald. Edd.; *τύφη* M; *typham* G.

ζειὰ] corr. Scal. St. Sch.; *ὕεα* Ald. H.; *semen* G.

ἐπεὶ] *ἔτι* St.

αἰγίλωψ] H. St. Sch.; *γίλωψ* M Ald.; *γίλοψ* P2.

φακοῖς] UPP2 mBas. Vin. St. Sch.; *in lente* G.; *ἀφάκοις* Ald. H.

τὸ τρ. καὶ σκληρὸν] P2 Ald. Sch.; *τρ. κ. σκλ.* H.; *τραχύ τι καὶ σ.* St.; *res scabra et dura* G.

πελεκῖνος] PP2 Ald. Sch.; *securina* G.; *πεληκῖνος* cum Cam. H. St.

καὶ συναναμιγ.] *καὶ τὸ ἀναμιγ.* St.

ἄλλην τινὰ αἰτ.] *ἄλλης τινὰ αἰτίαν* U, unde Sch.syll. *ἄλλην τιν' αἰτ.* dedit; *ἄλλην αἰτίαν* Ald. Edd. o.

4. *εὐθενεῖν*] U Sch.syll.; *ἀσθενεῖν* Ald.; *εὐσθενεῖν* corr. Dalecamp. Vin. H. St. Sch.; *quum — valeant* G.

ὀροβάγχη] Bas. St. Sch.; *ὀροβάκχη* Ald. Cam. H.; *orobancha* G.

ἀπαρίνη] Bas. St. Sch.; *ἀπανίη* P; *ἀπανίνη* Ald. Cam. H.; *lappa* G.

ἡ δ' ἀπαρίνη] Ald. Edd. sed *ἀπανίνη* H.

εὐτροφεῖ] Ald. H. Sch.; *εὐτροφοῖ* UM; *εὐτροφίᾳ* St.

καὶ] UP Sch.syll.; om. Ald. Edd. o. — *τι* pro *τινα* M.

παραπλήσιόν] Ald. M Sch. syll.; *παραπλήσιος* H. St. Sch.

ὀροβάγχῃ] UM Bas. St. Sch.; *ὀροβάκχῃ* Ald. Cam. H.; *ervange* G.

τῷ ἐπιβ.] *τῷ*, quod abest ab UM Ald., addidi cum Sch. e conjectura; hiat enim structura. *διὰ τὸ ἐπιβ.* H. St.

ἐπιβ. καὶ κατ. ὅλον ὥςπερ πλεκτάναις] *πλεκτάναις* scripsi ex correctione, cetera cum Ald., consentientibus, ut videtur, UMP; *πλεκτάνην* Ald.; *πλεκτάνης* M; *πλεκτᾶνες* U; *πλεκτάνῃ* H. St. Sch. transpositis verbis locum pessumdedit: scripsit enim *τῷ ἐπιβάλλειν ὥςπερ πλεκτάνην καὶ κατέχειν ὅλον.* Sed praetervidit *ἐπιβάλλειν* sensu intransitivo vel potius reflexivo dictum esse. Recte G. *etenim pari modo aggreditur et herbam totam veluti brachiis capessit.*

τοὔνομα] UMP Sch.; *τὸ ὄνομα* Ald. Edd.

κυμίνῳ καὶ τῷ βουκέρῳ τὸ αἱμόδωρον καλούμενον μᾶλλον ἰδίᾳ. ἔστι δὲ τὸ
αἱμόδωρον μονόκαυλον οὐκ ἀπεμφερὲς τῷ καυλῷ πλὴν βραχύτερόν τε πολὺ καὶ
ἄνωθέν τι κεφαλῶδες ἔχει ῥίζαν δὲ ὑποστρόγγυλον· οὐθὲν δὲ ἕτερον ἀφαυαίνε-
ται παρὰ τὸ βούκερας. γίνεται δὲ ταῦτα ἐν ταῖς λεπταῖς οὐκ ἐν ταῖς πιείραις
ὥςπερ καὶ τῆς Εὐβοίας ἐν τῷ Ληλάντῳ μὲν οὐ γίνεται περὶ δὲ τὸν Κάνηθον καὶ
εἴ τις ἄλλος τοιοῦτος τόπος. ταῦτα μὲν οὖν κοινὰ πλειόνων ὄντα κατισχύει
μᾶλλον ἐν τοῖς εἰρημένοις διὰ τὴν ἀσθένειαν. τὸ δὲ τέραμον καὶ ἀτέραμον 6. 9 H. St.
λέγεται μὲν ἐπὶ τῶν ὀσπρίων μόνον, οὐκ ἄλογον δὲ καὶ ἐπὶ τῶν σιτωδῶν παρα-
πλήσιον ἢ καὶ ταὐτό τι συμβαίνειν, ἀλλὰ διὰ τὸ μὴ τὴν αὐτὴν εἶναι χρείαν οὐχ
ὁμοίως ἐμφανές· ἐπεὶ οὐδ᾽ ἐπὶ τούτων ἁπάντων ὁμοίως ἀλλὰ μάλιστα ἐπὶ τῶν
κυάμων λέγεται καὶ φακῶν εἴτ᾽ οὖν καὶ μάλιστα πασχόντων εἴτε καὶ διὰ τὴν
χρείαν φαινομένων. γίνεται γοῦν πλέον· πολλαχῶς γὰρ τόποι τινές εἰσιν οἳ
αἰεὶ φέρουσι τεράμονα καὶ ἄλλοι πάλιν ἀτεράμονα· τὸ δὲ ὡς ἐπὶ πᾶν οἱ λεπτό-
γεω μᾶλλον τεράμονα· καὶ ἀέρος κατάστασίς τις ποιεῖ τὴν τοιαύτην παραλλα- 7.
γήν· σημεῖον δὲ ὅτι ταὐτὰ χωρία καὶ ὁμοίως ἐργασθέντα φέρει ποτὲ μὲν τερά-
μονα ποτὲ δὲ ἀτεράμονα. περὶ Φιλίππους δὲ ὁ κύαμος λικμώμενος ἐὰν ὑπὸ
πνεύματος ἐγχωρίου ληφθῇ τεράμων ὢν ἀτεράμων γίνεται. ταῦτα μὲν οὖν
μηνύει διότι πολλαχῶς τῶν αὐτῶν χωρίων ἔνια σύνορα καὶ ὁμοίως καθήμενα
καὶ οὐδεμίαν ἔχοντα κατὰ τὴν γῆν διαφορὰν τὸ μὲν τεράμονα τὸ δ᾽ ἀτεράμονα
φέρει, καὶ ἐνίοτε μόνον αὔλακος διοριζούσης.

Cap. IX. Καρπίζεται τὴν γῆν μάλιστα πυρὸς εἶτα κριθή, δι᾽ ὃ καὶ ὁ μὲν ἀγαθὴν ζητεῖ χώραν ἡ δὲ κριθὴ δύναται καὶ ἐν ταῖς ψαφαρωτέραις ἐκφέρειν·

5. *τῷ βουκέρῳ*] om. Sch.

αἱμόδωρον — μονόκαυλον] Verba *καλούμενον μᾶλλον ἰδίᾳ ἔστι δὲ τὸ αἱμόδωρον* solus dat U, Sch. syll. Nescio an *ἴδιον* scriptum fuerit. Egregie fallitur Sch. qui Ald. Bas. *λιμόδορον* habere dicat: in utraque et Cam. est *αἱμόδωρον*, et G. *hemodorum*. C. pl. 5, 15, 5 est *λειμόδωρον* sine varietate librorum. Cf. Plin. 19, 10 s. 57.

τῷ καυλῷ] Fuit hoc loco quem vox *καυλῷ* occupavit, nomen plantae, cui haemodorum simile; *τῷ καλουμένῳ κυτίνῳ* conj. Sch., *τῷ βουκέρῳ* substituit St., hic temere ac ridicule, ille probabiliter.

τε] UM Sch.; *τι* Ald. H. St.

οὐθὲν] UM Sch.; *οὐδὲν* Ald. H. St. Verba haec non integra esse videntur; aut deest aliquid aut quaedam vitia insunt scripturae. A Dalecampio commemoratur conjectura nescio cujus *δι᾽ οὐδὲν —;* Sch. *ὑποφύεται* scriptum fuisse suspicatur, quod non multis persuadebit.

γίν. δὲ ταῦτα] Ald. Sch., *γίν. γὰρ διὰ ταῦτα* H. St.

τὸν κάνηθον] *τὸ κάνηθον* P.

6. *ταὐτό τι*] UM Ald. H. St.; *παραπλήσιόν τι ἢ καὶ ταὐτὸ* Sch. Verte: *accidere aliquid, quod vel simile vel idem sit.*

αἰεὶ] Ald. M; *ἀεὶ* H. St. Sch.

πλέον] Hanc vocem vitiosam esse censeo. Conjiciebam: *γίνεται γοῦν πλεοναχῶς· τόποι γάρ τινες;* sed *πολλαχῶς* firmum esse videtur ab eodem vocabulo infra repetito. Sch. malebat *πλέον καὶ πολλαχῶς· τόποι γάρ τινες;* sin minus *πολλαχοῦ* certe scribi vult.

7. *ποτὲ μὲν*] om. H.; *μὲν* om. St.

ποτὲ δὲ ἀτεράμονα] add. cum G. H. St. Sch., om. U M Ald.

λικμώμενος] P_2 corr. Sch.; *λιχμώμενος* P Ald. H. St.; *λιχμόμενος* Cam.; *κύαμος ἐὰν ὑπὸ πν. ἐγ. λιχμώμενος ληφθῇ* St.

τῶν αὐτῶν χ.] dedi e conj.; *τῶν δὲ τῶν χ.* Ald. Edd. *πολλαχῶς [τοῦτο γίνεται· ἐπεὶ] τῶν χωρίων ἔνια* cum Vin Sch., quae ducta sunt e vers G. Cf. verba similia cap. 2, 10. Post *πολλαχῶς* addidit *εἰσὶν οἱ τόποι* St.

σύνορα] H. St. Sch.; *συνορᾶ* Ald.

τὸ μὲν — τὸ δὲ] Ald. H. Sch.; *τὰ μὲν — τὰ δὲ* St.

Cap. IX.

καρπίζεται] *δὲ* add. St.

τῶν δὲ χεδροπῶν μάλιστα ἐρέβινθος καίπερ ἐλάχιστον χρόνον ἐν τῇ γῇ μένων· ὁ δὲ κύαμος ὥσπερ ἐλέχθη καὶ ἄλλως οὐ βαρὺ καὶ ἔτι κοπρίζειν δοκεῖ τὴν γῆν διὰ μανότητα καὶ εὐσηψίαν· δι' ὃ καὶ οἱ περὶ Μακεδονίαν καὶ Θετταλίαν ὅταν
2. ἀνθῶσιν ἀνατρέπουσι τὰς ἀρούρας. τῶν δὲ ὁμοιοπύρων καὶ ὁμοιοκρίθων, οἷον ζειᾶς τίφης ὀλύρας βρόμου αἰγίλωπος, ἰσχυρότατον καὶ μάλιστα καρπιζόμενον ἡ ζειά· καὶ γὰρ πολύρριζον καὶ βαθύρριζον καὶ πολυκάλαμον· ὁ δὲ καρπὸς κουφότατος καὶ προςφιλὴς πᾶσι τοῖς ζώοις. τῶν δὲ ἄλλων ὁ βρόμος· πολύρριζος γὰρ καὶ οὗτος καὶ πολυκάλαμος. ἡ δὲ ὀλύρα μαλακώτερον καὶ ἀσθενέστερον τούτων. ἡ δὲ τίφη πάντων κουφότατον· καὶ γὰρ καὶ μονοκάλαμον καὶ λεπτοκάλαμον, δι' ὃ καὶ χώραν ζητεῖ λεπτὴν οὐχ ὥσπερ ἡ ζειὰ πίειραν καὶ ἀγαθήν. ἔστι δὲ δύο ταῦτα καὶ ὁμοιότατα τοῖς πυροῖς ἥ τε ζειὰ καὶ ἡ τίφη,
3. ὁ δ' αἰγίλωψ καὶ ὁ βρόμος ὥσπερ ἄγρι' ἄττα καὶ ἀνήμερα. ἐπικαρπίζεται δὲ σφόδρα καὶ ὁ αἰγίλωψ τὴν γῆν καί ἐστι πολύρριζον καὶ πολυκάλαμον· ἡ δὲ αἶρα παντελῶς ἀπηγριωμένον. τῶν δὲ ἐν τοῖς θερινοῖς ἀρότοις τὸ σήσαμον δοκεῖ χαλεπώτατον εἶναι τῇ γῇ καὶ μάλιστα καρπίζεσθαι· καίτοι πολυκαλαμώτερον καὶ παχυκαλαμώτερον καὶ πολυρριζότερον κέγχρος. διαφέρει δὲ τά τε πρὸς

βαρὺ] UM Ald. Sch. syll.; *βαρὺς* H. St. Sch. cont.

ἔτι] corr. St. Sch.; *ὅτι* UM Ald H.

εὐσηψίαν] UM Ald. Cam. St. Sch.; *εὐηψίαν* Bas.; *εὐπεψίαν* H.

ἀνθῶσιν] Fortasse scriptum fuit *ἀπανθῶσιν*.

² *ὁμοιοπύρων καὶ ὁμοιοκρίθων*] *ὁμοίων κριθῶν καὶ ὁμοίων πυρῶν* Galen. de aliment. facult. IV. p. 312 Bas., ubi hunc Theophrasti locum laudat.

τίφης] *τύφης* MP.

βρόμου] Ald. Edd.; *βρούμου* MP; *βρώμου* Vin.

ἰσχυρότατον] dedi cum Galeno l. l.; *ἰσχυρότερον* Ald. Edd. o.

καὶ γὰρ] *γὰρ* om. Galen. l. l.

καὶ πολυκάλαμον] E Galeno *καὶ παχυκάλαμον* i. u. addidit Sch.; deest tamen hoc in codice Vratislaviensi versionis vetustae Galeni. Propterea non ausus sum addere.

πολυρρ. — πολυκ.] corr. Sch.; *βρόμος πολύρριζος· καὶ γὰρ οὗτος πολυκ.* Ald. Edd. *bromus radice numerosiore consistit; is enim multis dispargitur culmis* G.

τίφη] *τύφη* M.

κουφότατον] *κουφοτάτη* Galen. l. l.

γὰρ καὶ μονοκ.] UM Ald. Sch.; *καὶ* om. H. St. Galen. l. l.

καὶ λεπτοκάλαμον] haec e Galeno recepit uncis inclusa Sch., praeeunte Bodaeo; om. Ald. Edd.

πίειραν] *λιπαρὰν* Galen. l. l.

δύο ταῦτα] *ταῦτα δύο* Galen.

ἥ τε ζειὰ καὶ ἡ τίφη] Haec verba omissa in Ald. Edd. ac ut videtur codicibus nostris assumsi e Galeni l. l. Gaza: *sunt duo illa semen et typha perquam similia tritico.* Eaque verba olim in libris fuisse significare videtur *ἥ τ'* quod post *πυροῖς* in libris nostris scriptum est.

ὁ δ' αἰγ.] e corr. Scal. Sch.; *ὁ τ' αἰγ.* Ald. H. St.; *ἥ τ' αἰγ.* UMP.

βρόμος] *βρῶμος* P.

³. *καίτοι*] dedi e conj.; *καὶ* Ald. Edd. o. Schn. admonente Linkio nihil esse in planta *sesami* quod cum culmo frumentorum comparari possit, cum videret mentionem *milii* desiderari, quocum *panicum* comparetur, lacunam statuit. Qua in sententia perstitit in Auctario, ubi asserit *sesamum* dici C. pl. 4, 15, 1 *μονόρριζον καὶ βαθύρριζον.* Scilicet duumviris doctissimis obversabatur sic judicantibus scriptura Aldinae — *πολυρριζότερον κέγχρου,* praeterviderant autem in UMP *κέγχρος* scriptum esse, scripturamque codicum potiorem esse debere. Quam sibi finxerat lacunam ita supplendam esse putabat Sch.: *καρπίζεσθαι καὶ ὁ ἔλυμος· πολυκαλαμώτερον γὰρ καὶ — κέγχρου.* Equidem *καὶ* mutato in *καίτοι* et librorum scriptura *κέγχρος* servata omnem difficultatem tollere mihi videor. Grave argumentum ad sententiam meam confirmandam Schneideri refellendam praebet C. pl. 4, 15, 1 *ὁ δὲ κέγχρος καὶ πολύρριζος καὶ βαθύρριζος καὶ πολυκάλαμος,* quo loco ut hic *sesamum* et *panicum* comparantur.

τὴν γῆν κοῦφα καὶ τὰ πρὸς τὴν ἡμετέραν τροφήν. ἔνια γὰρ ἐναντίως ὥσπερ τὰ χεδροπὰ καὶ οἱ κέγχροι· καὶ τὰ πρὸς ἡμᾶς δὲ ὥσπερ ἐλέχθη καὶ τἆλλα ζῶα. καὶ περὶ μὲν τούτων ἅλις.

Cap. X. Νοσήματα δὲ τῶν σπερμάτων τὰ μὲν κοινὰ πάντων ἐστὶν οἷον ἡ 10 H. St
ἐρυσίβη, τὰ δ' ἴδιά τινων οἷον ὁ σφακελισμὸς τοῦ ἐρεβίνθου καὶ τὸ ὑπὸ καμπῶν κατεσθίεσθαι καὶ ὑπὸ φύλλων τινὰ δὲ καὶ ὑπ' ἄλλων θηριδίων. ἔνια δὲ καὶ ψωριᾷ καὶ ἁλμᾷ, καθάπερ καὶ τὸ κύμινον. τὰ δ' ἐπιγινόμενα ζῶα μὴ ἐξ αὐτῶν ἀλλ' ἐκ τῶν ἔξωθεν οὐχ ὁμοίως βλάπτει. ἐπιγίνεται γὰρ ἡ μὲν κανθαρὶς ἐν τοῖς πυροῖς τὸ δὲ φαλάγγιον ἐν ὀρόβοις ἄλλα δ' ἐν ἄλλοις. ἐρυσιβᾷ δ' ὡς 2.
ἁπλῶς εἰπεῖν τὰ σιτώδη μᾶλλον τῶν ὀσπρίων· αὐτῶν δὲ τούτων κριθὴ μᾶλλον ἢ πυρός· καὶ τῶν κριθῶν ἕτεραι ἑτέρων, μάλιστα δ' ὡς εἰπεῖν ἡ ἀχιλληΐς. δια-

καὶ τὰ πρὸς] *τὰ* om. Ald. H.; addidi cum St. Sch. sensu flagitante.

ἐναντίως] *ἔχει* i. u. addidit Sch. Conjunxi autem haec cum praecedentibus, et interpunxi post *κέγχροι*. Contra Sch. *ἔνια γὰρ ἐναντίως* [*ἔχει*], *ὥσπερ τὰ χέδροπα καὶ οἱ κέγχροι, πρὸς ἡμᾶς τε καὶ τἆλλα ζῶα* etc. Quod sensum et particulam *γὰρ* vetare credo. Haec dicit Th.: Differunt ea quae levia sunt terrae, i. e. parum ex ea materiei nutritivae attrahunt, ac ea quae sunt ad cibum levia; contraria enim legumina et panica. Atque differunt etiam quae ad nostrum cibum sunt levia et quae ad cibum ceterorum animantium.

καὶ τὰ — ζῶα] UMP, praeterquam quod ab initio *καὶ οἱ τὰ* praebent, quod nescio annon e *καὶ αὖ τὰ* ortum sit. *καὶ τὰ πρὸς ἡμᾶς δὲ ὥσπερ ἐλέχθη τι. καὶ τἆλλα ζῶα* Ald. H.; *κατὰ τὰ πρὸς — ἐλέχθη καὶ πρὸς τ. ζ.* St.; *κέγχροι, πρὸς ἡμᾶς τε καὶ τὰ ἄλλα* (*τἆλλα* in Syll.) *ζῶα, ὥσπερ ἐλέχθη* Sch. *καὶ — δὲ* more solito significat alterum, quod proxime dicto accedit atque affine est: repetendum enim *διαφέρει* et sententia sic explicanda *καὶ τὰ πρὸς ἡμᾶς δὲ κοῦφα διαφέρει τῶν πρὸς τἆλλα ζῶα*.

καὶ — ἅλις] U, Sch.syll.; om. cett.

Cap. X.

Νοσήματα δὲ τῶν σπ. τὰ μὲν] sic P2 sed omisso *τῶν*; *δὲ τῶν σπ. τὰ μὲν* Ald. et U?; *δὲ σπ. τὰ μὲν* M; *τῶν δὲ σπ. νοσήματα τὰ μὲν* H. St. Sch. Ista verborum positio optima, et quantum de librorum mscr. lectione constat, genuina esse videtur.

ἡ ἐρυσ.] U Sch.syll.; *ἡ* om. P2 Ald. Edd.

κατεσθίεσθαι] Ald. Edd.; *κατεσθίεται δὲ* UMP.

τινὰ δὲ καὶ ὑπ' ἄλλων θηριδίων] sic Sch. in Syll.; *τινὰ καὶ ὑπ' ἄλλων θηριδίων* U; solum *θηρίων* ceteris omissis habent Ald. Edd. Exc. P2: *καὶ τὸ ὑπὸ καμπῶν· κατεσθίεται δὲ καὶ ὑπὸ ψιλῶν τινα καὶ ὑπ' ἄλλων θηριδίων* fere cum U. Fortasse scribendum est: *καὶ τὸ ὑπὸ καμπῶν κατεσθίεσθαι. κατεσθίεται δὲ καὶ ὑπὸ ψύλλων τινὰ καὶ ὑπ ἄλλων θηριδίων.*

ψωριᾷ καὶ ἁλμᾷ] sic correxi; *ψώραις καὶ ἅλμαις* Ald. Edd. o.; quare *ἀπόλλυται* adjecit St., *νοσεῖ* Sch. Emendavi, quia verbum *κατεσθίεται* non repeti neque vero zeugma statui potest: notum est vocabulum *ψωριᾶν*, alterum vero *ἁλμᾶν*, quod in Lexicis desideratur, conformavi secundum verba usu trita *κομᾶν χολᾶν ἐρυσιβᾶν ὀφθαλμιᾶν*, atque Theophrasto tribus locis, hic, H. 7, 5, 4 et C. 6, 10, 5 vindicandum esse duxi, quanquam l. mscr. nusquam clare scriptum exhibent. Quod loco altero Sch. finxit *ἐλμαίνεται* tutela omni caret.

καὶ τὸ κυμ.] UM Sch.; *καὶ* om. Ald. Edd.

ζῶα μὴ ἐξ αὐ.] U; *ζῶα εἰ μὴ ἐξ αὐ.* Ald. H. St. et Sch., qui in Syll. *εἰ* seclusit; *ζῶα ἡ μὴ ἐξ αὐ* M. Nihil dubito quin *ζῶα, τὰ μὴ ἐξ αὐτῶν* scribi oporteat.

κανθαρὶς] P2 mBas. H. St. Sch.; *cantharis* G.; *καθαρὶς* Ald.

2. *ἐρυσιβᾷ — εἰπεῖν τὰ σ.*] sic correxi cum Schn.; *ἐρυσίβαι — εἰπεῖν εἰς τὰ σ.* Ald. Edd. Ceterum *ἐρυσιβοῦται* Sch.

τούτων κριθὴ] UM Sch.; *τ. ἡ. κρ.* Ald. Edd. Post *μᾶλλον* addit i. u. *ἐρυσιβώδης* St.

φέρει δὲ καὶ ἡ τῶν χωρίων θέσις καὶ ἡ φύσις οὐ μικρόν· τὰ γὰρ προςήνεμα
καὶ μετέωρα οὐκ ἐρυσιβᾷ ἢ ἧττον, ἀλλὰ τὰ ἔγκοιλα καὶ ἄπνοα· γίνεται δὲ ἡ
3. ἐρυσίβη πανσελήνοις μάλιστα. ἀπόλλυται δὲ καὶ ὑπὸ τῶν πνευμάτων καὶ πυ-
ρὸς καὶ κριθὴ ὅταν ἢ ἀνθοῦντα ληφθῇ ἢ ἄρτι ἀπηνθηκότα καὶ ἀσθενῆ· μᾶλλον
δὲ κριθή, πολλάκις δ' ἤδη ἐν τῷ ἁδρύνεσθαι οὖσα ἐὰν μεγάλα καὶ πλείω χρό-
νον ἐπιγένηται· ξηραίνει γὰρ καὶ ἀφαυαίνει ὃ καλοῦσί τινες ἐξανεμοῦσθαι. διαπ-
όλλυσι δὲ καὶ ἥλιος ὁ ἐκνέφελος ἄμφω καὶ μᾶλλον πυρὸν ἢ κριθὴν ὥστε μηδ'
4. ἐπίδηλον εἶναι τὸν στάχυν τῇ ὄψει ὄντα κενόν. τὸν δὲ πυρὸν ἀπολλύουσι καὶ
οἱ σκώληκες οἱ μὲν εὐθὺς κατεσθίοντες φυόμενοι τὰς ῥίζας, οἱ δὲ ὅταν αὐχμῶν-
τες ἀποχυθῆναι μὴ δύνωνται· τότε γὰρ ἐγγινόμενος ὁ σκώληξ ἐσθίει τὸν ἀπο-
πηνιζόμενον κάλαμον· ἐσθίει δὲ ἄχρι τοῦ στάχυος εἶτ' ἐξαναλώσας ἀπόλλυται·
καὶ ἐὰν μὲν ὅλον ἐκφάγῃ τελέως αὐτὸς ὁ πυρός, ἐὰν δὲ ἐπὶ θάτερον τοῦ καλά-
μου καὶ ἐκβιάσηται τὴν ἀπόχυσιν, τοῦτο μὲν αὖον τοῦ στάχυος θάτερον δὲ
ὑγιές. γίνεται δὲ οὐ πανταχοῦ τὸ περὶ τοὺς πυροὺς οἷον ἐν Θετταλίᾳ ἀλλὰ
5. κατὰ χώρας τινὰς ὥςπερ ἐν τῇ Λιβύῃ καὶ τῆς Εὐβοίας ἐν τῷ Ληλάντῳ. σκώ-
ληκες δὲ γίνονται καὶ ἐν τοῖς ὤχροις καὶ τοῖς λαθύροις καὶ τοῖς πισοῖς ὅταν
ὑγρανθῶσι καὶ θερμημερίαι γένωνται καθάπερ καὶ ἐν τοῖς ἐρεβίνθοις αἱ κάμπαι.

οὐ μικρόν· τὰ γὰρ πρ. καὶ μετ.] sic Ald. sed omisso *τὰ* quod cum Schn. addidi; *τὰ* et *καὶ* om. UM; *ἡ φύσις μικρόν. προσήνεμα γὰρ καὶ τὰ μετέωρα βλάπτουσιν αἱ ἐρυσίβαι* H.; *ἡ φ. οὐ μικρόν· τὰ προςήνεμα γὰρ καὶ μετεώρα οὐ βλάπτουσιν αἱ ἐρυσ.* St. *Nec segetum situs naturaque parum refert. Tractus enim excelsi perflatique rubiginem nullam aut minimam sentiunt* G.

οὐκ ἐρυσιβᾷ] corr. Sch.syll.; *οὐκ ἐρυσίβαι* UM Ald.; *οὐκ ἐρυσιβοῦται* Sch.cont.

3. *μᾶλλον δὲ κρ.*] U; *μ. καὶ κρ.* Ald.; *μ. δὲ καὶ κρ.* H. St.; *μ. δὲ ἡ κρ.* mBas. Vin. Sch.

οὖσα ἐὰν] U Sch.syll.; *οὖ ἐὰν* M; *οὐ ἐὰν* Ald. et cum asterisco Bas.; *ἐὰν* omisso *οὐ* H. St. Sch.cont.

μεγάλα] corr. Sch.; *μεγάλη* UM Ald.; *μεγάλη πνεῦσις* H. St.

ἐκνέφελος] *Sol quoque ex nube* G. *sol creber e nube* Plin.

4. *φυόμενοι*] corr. Sch. e C. pl. 3, 22, 4; *φυόμενον* Ald.; *φυομένου* H. St.; *alii protinus nascens erodentes radicitus* G.

ἀποχυθῆναι] corr. Sch. cum Vin. Vo.; *ἀπολυθῆναι* UM Ald.; *ἀποτελειωθῆναι* H. St.; *alii cum squalentes absolvi nequeunt* G. Hoc quidem loco emendatio confirmatur a voce *ἀπόχυσις* mox sequente, et a loco parallelo 3, 22, 4 ubi *ἐπιχυθῆναι* U Ald habent. Inde apparet quo jure hoc Schn. cap. 2, 5 et 3, 4 ac C. pl. 4, 14, 1 reposuerit.

ἀποπηνιζόμενον] UM Ald. Sch. Quid sub hac voce vitiosa lateat nemo adhuc excogitavit; *ἀποπνιγμένον* H. St.; *ἀποκνιζόμενον* est conjectura apud C. Hoffmann, quam probat Spr. *Tunc enim vermiculus culmum usque ad spicam erodit* G.

αὐτὸς] „Repete cum Dalec. et Gaza *ἀπόλλυται*" Sch. At *τελέως* scripto, *αὐτὸς* inutile erit. Mihi quidem in *αὐτὸς* vel *ἀπόλλυται* vel *αὐαίνεται* latere videtur. *Triticum ipsum omnino interit* G.

θάτερον] corr. Sch.; *θατέρου* Ald. Edd.

ἐκβιάσηται] UM Ald. (nam *ἀποβιάσηται* apud Sch. in Auctar. erroneum); *ἐκβιάζηται* H. St.

αὖον] U Sch. syll.; *οὖν* Ald. H.; *ἀπόλλυται μέρος* St.; *ἀπόλλυται* Sch.cot.

οἷον — Ληλάντῳ] sic Ald. nisi quod *ὥςπερ* post *Εὐβοίας* habet, quod cum St. omisi, Sch. seclusit. Eadem habuit G. Sch. ordinem verborum turbatum esse credit, quem sic possis restituere: *πυρούς, ἀλλὰ — τινάς, οἷον ἐν τῇ Λιβύῃ καὶ ἐν Θετταλίᾳ καὶ τῆς Εὐβοίας ἐν τῷ Ληλάντῳ.* Sed hoc est nodum dissecare. Altius sedere puto vitium.

5. *ὤχροις*] St. Sch.; *ὄχροις* Ald. H.

καὶ τοῖς λ.] U; *καὶ ἐν τ. λ.* Ald. Edd. o.

γένωνται] UP Sch.syll.; *γίνωνται* Ald. Edd. o.

καθάπερ καὶ] corr. Sch. mutato ordine; *καὶ καθάπερ* Ald. Edd.

πάντα δὲ ἐξαναλώσαντα τὰς τροφὰς ἀπόλλυται καὶ ἐν τοῖς χλωροῖς καὶ ἐν τοῖς ξηροῖς καρποῖς, οἷον οἵ τε ἶνες καὶ οἱ ἐν τοῖς κυάμοις ἐγγινόμενοι καὶ ἐν τοῖς ἄλλοις ὥςπερ καὶ ἐν τοῖς δένδρεσι καὶ ἐν τοῖς ξύλοις ἐλέχθη πλὴν τῶν κεραστῶν καλουμένων. πρὸς ἅπαντα δὴ ταῦτα μεγάλα διαφέρουσιν αἱ χῶραι οὐκ ἀλόγως· ὁ γὰρ ἀὴρ εὐθὺς διάφορος τῷ θερμὸς ἢ ψυχρὸς εἶναι ἢ ὑγρὸς ἢ ξηρός· οὗτος δ' ὁ γονεύων· δι' ὃ καὶ ἐν οἷς εἰώθασι γίνεσθαι οὐκ ἀεὶ γίνονται.

Cap. XI. Τῶν δὲ σπερμάτων οὐχ ἡ αὐτὴ δύναμίς ἐστιν εἴς τε τὴν βλάστησιν καὶ εἰς θησαυρισμόν. ἔνια μὲν γὰρ βλαστάνει καὶ τελειοῦται τάχιστα καὶ θησαυρίζεται κράτιστα καθάπερ ἔλυμος καὶ κέγχρος· ἔνια δὲ βλαστάνει μὲν εὖ ταχέως δὲ σήπεται καθάπερ ὁ κύαμος καὶ μᾶλλον ὁ τεράμων· ταχὺ δ' ἡ ἀφάκη καὶ ὁ δόλιχος· κριθὴ δὲ πυροῦ θᾶττον· καὶ ὁ κονιορτώδης σῖτος καὶ ὁ

πάντα] dedi e conjectura, qua et structurae hianti subvenisse et sensum sequentium reclusisse mihi videor. *τὰ* Ald. Edd., sed ita debes quod praecederet *τὰ μὲν* desiderare. Dicit igitur omnes (*πάντα* scil. *τὰ θηρία ταῦτα*) has erucas consumto alimento emori et in fructibus et in ligno arborum tum virente tum caeso, praeter illa quae *κερασταὶ* audiunt, quae in alia animalia abire ac mutari alibi docet. Ad *οἱ* — *ἐγγινόμ.* subaudiendum *σκώληκες*, et sic scrupulus Schneidero eximitur, qui hic *μίδας* e C. pl. 4, 15, 4 desiderabat. De cerastis cf. 4, 14. 5, 4, 5 et C. pl. 5, 10, 5.

ξηροῖς] U Sch.syll, om. Ald. Edd.

δένδρεσι] UM Ald. Sch.; *δένδροις* H. St.

δὴ ταῦτα μεγάλα] UM; *δὲ ταῦτα μεγάλως* Ald. H. St. Sch. Sch. in Syll. *δὴ* suscepit sed *μεγάλως* reliquit.

δ' ὁ γονεύων] dedi partim de emendatione Schneideri; *δ' ἦν ὁ νένων* U Ald.; *δ' ἠνονεύων* M; *δ' ἐστὶν ὁ γεννῶν* H. St.; *δ' ἐστιν ὁ γονεύων* Sch.; *hoc autem fructus reddere consummareque potissimo patet* G.

Cap. XI.

οὐχ] *οὐκ* H. St.

θησαυρισμὸν] Articulum addidit Sch.

κράτιστα] UM Ald. Sch.; *κάλλιστα* H. St.

ἔλυμος] Ald. Edd. o.; *μελίνη* Sch. in Syll.; *ἔμμος* P.

βλαστάνει μὲν] *καὶ τελειοῦται* addidit St.

εὖ] dedi e conj.; *οὐ* Ald. Edd. o. Dein *σήπεται* addidi e conjectura; contra verbum *κόπτεται* paullo post juxta *δόλιχος* inseruit Sch. Vulgatam mendosam esse facile est intellectu; *βλαστάνει μέν, οὐ ταχέως δὲ* est: germinant quidem sed non cito. Sed non de germinatione cita tardave hic est locus, sed quod facultas seminum bene germinandi non in omnibus conjuncta cum ea quod bene condi conservarique possint. Desideratur igitur, quae sit eorundem antiseptica vis. Atque sequentia luculenter demonstrant verbum *σήπεται* excidisse; nam in verbis *ταχὺ* — *δόλιχος* atque magis etiam in verbis *κριθὴ δὲ πυροῦ θᾶττον* necesse est illud subaudiri, idque scriptum est in loco, qui extremis his verbis *ὁ δὲ κονιορτώδης* etc. parallelus est, C. pl. 4, 16, 1.

ὁ τεράμων] UM Ald.; *ὁ ἀτεράμων* H. St. et Sch., qui vero invitus sic dedisse videtur; *quae coctibilis* G. Cf. C. pl. 5, 18, 2.

δόλιχος] *διαφθείρεται* addunt H. St.; iidemque *δὲ* post *θᾶττον* om.

πυροῦ θᾶττον· καὶ ὁ] sic H. St. Sch.; *πυροῦ· θᾶττον δὲ καὶ ὁ* UM Ald. Equidem sic scriptum fuisse suspicor: *πυροῦ θᾶττον· θᾶττον δὲ καὶ ὁ.*

ὁ κονιορτώδης — *ἀκονιάτοις*] sic scripsi de conjectura; *ὁ κονιορτώδης καὶ ὁ κονίορτος· καὶ ὁ ἐν τοῖς κονιορτοῖς ἐν ἅπασιν, οἷον κονιάτοις ἢ ἀκονιάτοις* Ald., quacum consentiunt UM praeterquam quod *τοῖς* omittere videntur UM et *κονιατοῖς* scriptum est in U. Margo Bas. pro *καὶ ὁ κονίορτος* dat *ἢ ὁ ἀκονίορθος*; H. *ὁ κονιορτώδης ἢ ἀκονίορτος καὶ ὁ τοῖς κονιορτοῖς ἅπασιν οἷον ἀκονιατοῖς ἢ ἀκονιάτοις*; St. *ὁ κονιορτώδης ἢ ὁ ἀκονίορτος καὶ ἐν ταῖς ἀποθήκαις ἀκονιάτοις μᾶλλον ἢ κονιάτοις.*; Sch. e loco parallelo C. pl. 4, 16, 1 sic correctum dedit *ὁ κονιορτώδης ἢ ὁ ἀκονίορτος· καὶ ὁ ἐν οἰκήμασι κονιατοῖς ἢ ἀκονιάτοις; et pulverulentum celerius quam purgatum: et quod in horeis calce levigatis conditum est quam quod in non ita levigatis* G. Miror Schneiderum tenuisse vocem *ἀκονίορτος*, quae h. l. nullo modo apta ac ne graeca quidem est. Mihi quidem hic locus eo vitiatus esse videtur quod e scholio marginali, vocabuli minus usitati vim vel originem explicantis, quaedam in contextum migraverint.

2. ἐν οἰκήμασι κονιατοῖς ἢ ἀκονιάτοις. γίνεται δὴ φθειρομένοις σπέρμασι ἴδια
ζῷα καθάπερ ἐλέχθη πλὴν ἐρεβίνθου· μόνος γὰρ οὗτος οὐ ζῳογονεῖ. καὶ ση-
πομένοις μὲν πᾶσι σκώληξ κοπτομένοις δὲ καθ' ἕκαστον ἴδιον. πάντων δὲ
μάλιστα διαμένουσιν ἐρέβινθος καὶ ὄροβος· τούτων δ' ἔτι μᾶλλον ὁ θέρμος· ἀλλ'
3 ἔοικέ γ' οὗτος ὥσπερ ἀγρίῳ. διαφέρει δὲ ὡς ἔοικε χώρα χώρας καὶ ἀὴρ
ἀέρος εἰς τὸ κόπτεσθαι καὶ μὴ τὰ σπέρματα· ἐν Ἀπολλωνίᾳ γοῦν τῇ περὶ τὸν
Ἰόνιον οὐκ ἐσθίεσθαί φασιν ὅλως κύαμον, δι' ὃ καὶ εἰς θησαυρισμὸν ἀποτίθε-
σθαι· διαμένει δὲ καὶ περὶ Κυζικὸν ἐπὶ πλείω. μέγα δὲ πρὸς διαμονὴν καὶ τὸ
ξηρὰ θερίζειν· ἐλάττων γὰρ ἡ ὑγρότης· θερίζουσι δ' ἐγχυλότερα τὰ μὲν χε-
δροπὰ πρὸς τὸ μᾶλλον καὶ ῥᾷον συλλέξαι, ταχὺ γὰρ καταρρεῖ καὶ αὐανθέντα
θρύπτεται, τοὺς δὲ πυροὺς καὶ γένος τι κριθῶν διὰ τὸ βελτίους εἰς τὰ ἄλφιτα γί-
4. νεσθαι μὴ ἀπεξηραμμένας. δι' ὃ καὶ εἰς θώμους συντιθέασι καὶ πυροὺς καὶ κρι-
θὰς, καὶ δοκοῦσιν ἁδρύνεσθαι ἐν θώμῳ μᾶλλον. οὐκ ἐσθίεται δὲ σῖτος ὅταν ὑσθεὶς
περιφυῇ· ἀθέριστος δὲ μάλιστα διαμένει ὁ πυρὸς, ἔτι δὲ μᾶλλον ὁ θέρμος· οὐδὲ γὰρ
θερίζουσι τοῦτον πρότερον ἢ ὕδωρ γενέσθαι διὰ τὸ ἐκπηδᾶν θεριζόμενον καὶ ἀπ-
5. ὄλλυσθαι τὸ σπέρμα. πρὸς ἔκφυσιν δὲ καὶ τὴν ὅλην σπορὰν ἄριστα δοκεῖ τὰ
11 H. St. ἐνάενα· τὰ δὲ δίενα χείρω καὶ τὰ τρίενα, τὰ δ' ὑπερτείνοντα σχεδὸν ἄγονα πρὸς
δὲ τὴν σίτησιν ἀρκοῦντα. βίος γάρ ἐστιν ἑκάστοις ὡρισμένος εἰς γονήν. καί-

2. *γίνεται δὴ φθειρομένοις*] Sch.syll.; *γίνεται διαφθειρομένοις* UM Ald.; *ἐγγίνεται διαφθ.* H. St.; *ἐγγίνεται δὴ φθειρομένοις* Sch.cont.

σπέρμασιν] U Sch.syll. et H. St. e conj.; om. Ald. *Corruptis itaque animalia propria gignuntur* G.

κοπτομένοις] *Contusis autem sponte ut fit singulatim proprium quiddam gignitur* G.

ἔοικέ γ'] *γ'* om. Ald. H. St., dant UM Sch.

ἀγρίῳ] UM Ald. Sch.; *ἄγριος* H. St.

3. *κύαμον*] *κύαμος* P.

ἐγχυλότερα] corr. Sch.; *εὐχυλότερα* Ald. Cam. H. St.; *εὐχηλότερα* Bas.; *vegetiora* G.

καὶ αὐανθέντα θρ.] *αὐ. καὶ θρ.* St.

τοὺς δὲ πυροὺς] mBas. St. Sch.; *triticum vero* G.; *τὰς δὲ κριθὰς* Ald. H.

ἀπεξηραμμένας] UP Sch.syll.; *ἀποξηραμμένας* M; *ἀπεξηραμένας* Ald. H.; *ἀπεξηραμένους* St.

4. *μᾶλλον*] Post *μᾶλλον* addunt U *ἡλίκα σωρῶν*, M *ἡλίκως σαρκῶν*, Ald. *ἡλίκως σαρῶν*. Scaliger conj. *ἢ λεπτύνεσθαι*; H. fecit *ἢ λιποσαρκεῖν*, quocum St.; Sch. tacite correxit *ἢ ἡλιωθέντες*. G. *crassescere potius quam attenuari*. Quorum nihil verum esse puto. Proxime ad librorum vestigia accedit conjectura Heinsii *ἢ λιποσαρκεῖν*, sed neque per se hoc aptum neque commode opponitur *τῷ ἁδρύνεσθαι*. Imo post *μᾶλλον* nihil desideratur sed conclusa est sententia. Scriptura Urbinatis facit ut suspicer haec verba e margine, ubi ad illustrandum vocabulum *θῶμος* adscripserat aliquis *σωρὸς*, in contextum illata fuisse. Quamobrem ea exclusi.

ὅταν ὑσθεὶς] corr. Scal. Vo. H. St. Sch.; *ὁτανυσθεὶς* Ald.; *ὁ τανυσθεὶς* Bas. Cam. Ceterum *ἐσθίεται corrodi potest* vertens Gaza reprehenditur a Schneidero, quod de noxiis animalibus Theophrastum loqui putaverit, quae de cibario hominum usu dicantur. Sed ego cum G. facio. In v. *περιφυῇ* explicatione haerent interpretes; vitiosa esse videtur. Fortasse *θερισθῇ* scriptum fuit.

ἀθέριστος] Suspectum est Schneidero. Recte habere docent quae sequuntur.

πρότερον ἢ ὕδ.] sic correxi; *τὸν τρόπον ὕδ.* U Ald.; *τὸν τρόπον πρὶν ὕδ.* H. Sch.; *πρὶν ὕδ.*, omissis *τὸν τρόπον*, St. Sch. vidit in verbis *τὸν τρόπον* vitium latere. Facile erat verum invenire comparato C. pl. 4, 13, 3. Scaliger correxit *πρῶτον ἢ ὕδ.* sed voluit absque dubio *πρότερον ἢ ὕδ.*

5. *τὴν ὅλην σπορὰν*] *ὅλως πρὸς τὴν σποράν* mavult Sch. Sed vulgaris scriptura recte habet.

ἑναένα] Ald. Edd.; *ἕνα* Sch. Vide ad 7, 5, 5.

τοι καὶ ταῦτα παραλλάττει ταῖς δυνάμεσι διὰ τοὺς τόπους ἐν οἷς ἂν θησαυρί-
ζωνται. τῆς γοῦν Καππαδοκίας ἐν χωρίῳ τινὶ τῷ καλουμένῳ Πέτρᾳ καὶ τετ-
ταράκοντα ἔτη διαμένειν φασὶ γόνιμα καὶ χρήσιμα πρὸς σπόρον, εἰς δὲ τὴν σί-
τησιν ἑξήκοντα ἢ ἑβδομήκοντα· τὸ γὰρ ὅλον οὐ κόπτεσθαι· τὰ δὲ ἱμάτια καὶ
τὴν ἄλλην γάζαν κόπτεσθαι. τὸ γὰρ χωρίον ἄλλως τε ὑψηλὸν εἶναι καὶ εὔπνουν 6.
καὶ ἔναυρον αἰεὶ καὶ ἀπ᾽ ἀνατολῆς ἔχουσι καὶ δύσεως καὶ μεσημβρίας. φασὶ
δὲ καὶ ἐν Μηδείᾳ καὶ ταῖς ἄλλαις ταῖς ὑψηλαῖς χώραις διαμένειν θησαυριζό-
μενα πολὺν χρόνον. ἐρέβινθον δὲ δὴ καὶ θέρμον καὶ ὄροβον καὶ κέγχρον καὶ
τὰ τοιαῦτα δῆλον ὅτι πολλῷ πλείω τούτων ὥσπερ καὶ ἐν τοῖς περὶ τὴν Ἑλλάδα
τόποις. ἀλλὰ ταῦτα μὲν ὥσπερ εἴρηται τῶν τόπων ἴδια. δοκεῖ δὲ καὶ γῆ τις 7.
εἶναι παρά τισιν ἣ διαπαττομένη συντηρεῖ τὸν πυρὸν ὥσπερ ἥ τε ἐν Ὀλύνθῳ
καὶ ἐν Κηρίνθῳ τῆς Εὐβοίας· ποιεῖ δὲ χείρω μὲν εἰς τὴν σίτησιν ἁδρότερον δὲ
τῇ προσόψει· πρραπάττουσι δὲ χοίνικα εἰς τὸν μέδιμνον. πυρωθέντα πάντα τὰ
σπέρματα ἀπόλλυται καὶ ἀβλαστῆ γίνεται· καίτοι περί γε Βαβυλῶνά φασι τὰς
κριθὰς καὶ τοὺς πυροὺς ἐπὶ τῆς ἅλω πηδᾶν ὥσπερ τὰ φρυγόμενα· ἀλλὰ δῆλον
ὅτι διαφορά τίς ἐστι τῆς θερμότητος, ἢ ἁπλῶς πως θερμασίᾳ γίνεται καὶ ἡ πή-
δησις. καὶ τὰ μὲν τοιαῦτα σχεδὸν ὡσπερεὶ κοινὰ δόξειεν ἂν εἶναι πάντων ἢ
τῶν πλείστων. ἔνια δὲ ἔχει τινὰ ἰδιότητα καὶ τῶν δοκούντων ὥσπερ ἀγρίων 8.
εἶναι καὶ κατὰ τὴν γένεσιν καὶ τὴν ἔκφυσιν ὥσπερ ὁ θέρμος καὶ ὁ αἰγίλωψ· ὁ
μὲν γὰρ θέρμος καίπερ ἰσχυρότατος ὢν ὅμως, ἐὰν μὴ εὐθὺς ἀπὸ τῆς ἅλω κατα-

γόνιμα καὶ χρ.] U; *γόν. δὲ καὶ χρ.* Ald. Edd.; *γόν. δὴ καὶ χρ.* Sch.

6. *ἔναυρον*] UMP2 Ald. H. St.; *εὔαυρον* Sch.; *cum alias excelsum tum flatibus esse apertum et auris ab exortu occasu meridieque editum* G.

καὶ ἀπ᾽] P2 Ald. Edd.; *τοῖς ἀπ᾽* conj. Schn. in Auctar. Ad *ἔχουσι* subintellige *πνεύμασι.*

ἀπ᾽ ἀνατ.] sic corr. Sch.; *ἐπὶ ἀνατ.* P2 Ald. Edd. Num *ἔχουσι* verum sit, dubitari potest. An *ἥκουσι* aut *πνέουσι* scriptum fuit? — *καὶ ἐπὶ δύσεως* St.

ἄλλαις ταῖς ὑψ.] UMP Sch.; *ταῖς* om. Ald. Edd.

δὴ] UM Sch.; om. P2 Ald. Edd.

δῆλον ὅτι] *δηλονότι δὲ πολλὰ* St.

πλείω] P2 Ald. Edd. o.; *πλεῖον* U; *πλείων* M; *et reliqua id genus longe diutius* G.

7. *γῆ τις*] P2 Bas. Sch.; *γῇ τίς* Ald. Cam.; *γῇ τὶς* H. St. — Nescio an huc spectet locus mire corruptus Apollon. Hist. mir. s. 34. *ὁ αὐτὸς φιλόσοφος ἐν Ὀλυμπίᾳ καὶ Ζακύνθῳ δημιγνυμένη* (l. *γῆν μιγνυμένην*) *φησὶ τῷ σίτῳ εὐγενέστερον ποιεῖ* (l. *ποιεῖν*) *φαίνεσθαι τοῦτον.*

διαπαττομένη] corr. H. St. Sch.; *διαπλαττομένη* UM Ald.; *διακοπτομένη* P2; *qua illitum triticum servari unice potest* G.

ἥ τε] Ald. Edd. o.; *εἴτε* U, *ὅτι* M.

παραπάττουσι] corr. Sch. Geopon. 2, 21 — *εἰς ἕκαστον σίτου μέδιμνον ἐμπάσσειν χοίνικα τῆς ἀργιλλώδους γῆς.*; *illinere* G.; *παρατάττουσι* UM Ald.

ἀπόλλυται] Exc. P2: *τέλος τοῦ η^ου βιβλίου περὶ ἱστορίας φυτῶν.*

ἢ ἁπλῶς πως] Sch.; *ἢ ἁπλῶς πῶς* Ald.; *ἢ ἁπλῶς* adnotatur etiam ex UM; *καὶ ουχ ἁπλῶς πως* H.; St. idem habet sed omisso *πως.* Verba *ἢ — πήδησις* omisit G.

θερμασίᾳ] Sch.; *θερμασία* Ald. H.; *ἐκ τῆς θερμασίας* St. Coraes scribi vult *καὶ οὐχ ἁπλῶς θερμασίᾳ γίνεται ἡ πήδησις.* Quocum *καὶ* abesse malim, ceterum sentiens cum Sch.

ὡσπερεὶ κοινὰ] corr. Sch.; *ὥσπερ κοινὰ* St.; *ὥσπερ εἰκόνα* UM; *ὥσπερ εἰκόνες* Ald. H.; *communia — quasi omnium* G.

δόξειεν] UMP Sch.; *δόξαιεν* Ald. Edd.

8. *καὶ τῶν δ.*] Sch.; *ἢ τῶν δ.* Ald. H.; *ἢ* om. St.

καὶ κατὰ] UM Sch.; *καὶ* om. Ald. Edd.

τὴν ἔκφ.] U Sch. syll.; *την* om. Ald. Edd. o.

ἀπὸ τῆς ἅλω] Vin. Vo. cod. Casaub. Sch.; *ἀπὸ τῆς* om. UM Ald.; *ἐκ τῆς ἅλω* H. St. Cf. c. 1, 3.

βληθῇ, κακοφυὴς γίνεται καθάπερ ἐλέχθη, καὶ τὸ ὅλον δὲ οὐκ ἐθέλει κρύπτεσθαι τῇ γῇ, δι' ὃ καὶ οὐχ ὑπαροῦντες σπείρουσι· πολλάκις δὲ κἂν εἰς ὕλην ἢ βοτάνην τινὰ πέσῃ διωσάμενος ταύτην συνάπτει τὴν ῥίζαν τῇ γῇ καὶ βλαστάνει. χώραν δὲ ὕφαμμον ζητεῖ καὶ φαύλην μᾶλλον, τὸ δὲ ὅλον οὐκ ἐθέλει φύεσθαι
9. ἐν διειργασμένῃ. ὁ δὲ αἰγίλωψ ἀνάπαλιν· ἐν γὰρ τῇ γεωργουμένῃ κάλλιον· καὶ ἐνιαχοῦ δὲ πρότερον ἀβλαστὴς ὢν ἐὰν γεωργηθῇ βλαστάνει καὶ γίνεται πολύς, καὶ ὅλως δὲ φιλεῖ χώραν ἀγαθήν. ἴδιον δὲ αὐτοῦ λέγεται πρὸς τὰ ἄλλα τὰ σιτώδη σπέρματα καὶ ἡ παρ' ἐνιαυτὸν βλάστησις ἑκατέρου τῶν σπερμάτων. δι' ὃ καὶ οἱ βουλόμενοι τελέως φθεῖραι, δύςφθαρτον γὰρ δὴ φύσει τυγχάνει, τὰς ἀρούρας ἀνιᾶσιν ἀσπόρους ἐπὶ δύο ἔτη, καὶ ὅταν ἀναβλαστήσῃ τὰ πρόβατα ἐπαφιᾶσι πολλάκις ἕως ἂν ἐκνεμηθῶσι, καὶ αὕτη γίνεται φθορὰ παντελής· ἅμα δὲ τοῦτο μαρτυρεῖ καὶ τὴν παρὰ μέρος βλάστησιν.

ὑπαροῦντες] corr. H. St. Sch.; *subarantes* G.; *ὑπαποροῦντες* UM Ald.

βοτάνην τινὰ] *si in materiem aut herbam pretensam* (l. *praedensam*) *quampiam incidat* G., unde St. *δασεῖαν*, Sch. *βαθεῖαν* addidit. Fortasse pro *ἢ βοτάνην* scribendum *βαθεῖαν*. Cf. 1, 7, 3.

ἐν διεργ.] sic correxi; *τῇ δι.* Ald. H.; *ἐν γῇ δι.* St.; *ἐν τῇ δι.* Sch.

9. *κάλλιον*] Ald. Edd.; *καλλίων* cum CHoffm. dedit Sch.

ἐὰν] *ἂν* P.

ἀνιᾶσι] Vin. Sch.; *ἀνιῆσιν* MP; *ἀνίασιν* Ald. H. St.

ἐπαφιᾶσι] dedi cum Sch.; *ἀφιῆσι* M; *ἀφίησι* P; *ἀφίασι* Ald.; *ἀφιᾶσι* H. St.

αὕτη] Vin. Sch.; *αὐτὴ* Ald. Edd.



ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Ι.

Cap. I. Ἡ ὑγρότης ἡ οἰκεία τῶν φυτῶν ἣν δὴ καλοῦσί τινες ὀπὸν ὀνόματι κοινῷ προςαγορεύοντες δύναμιν ἔχει δῆλον ὅτι τὴν καθ' αὑτὴν ἑκάστη. χυμὸς δὲ ταῖς μὲν μᾶλλον ταῖς δ' ἧττον ἀκολουθεῖ, ταῖς δ' ὅλως οὐκ ἂν δόξειεν, οὕτως ἀσθενής καὶ ὑδαρής τίς ἐστι. πλείστη μὲν οὖν ὑπάρχει πᾶσι κατὰ τὴν βλάστησιν, ἰσχυροτάτη δὲ καὶ μάλιστα ἐκφαίνουσα τὴν ἑαυτῆς φύσιν ὅταν ἤδη παύσηται καὶ βλαστάνοντα καὶ καρπογονοῦντα. συμβαίνει δέ τισι τῶν φυτῶν καὶ χρόας ἰδίας ἔχειν· τοῖς μὲν λευκὰς οἷον τοῖς ὀπώδεσι, τοῖς δ' αἱματώδεις οἷον τῇ κενταυρίδι καὶ τῇ ἀτρακτυλίδι καλουμένῃ ἀκάνθῃ, τοῖς δὲ χλωρὸν, τοῖς δ' ἐν ἄλλῃ χρόᾳ. ἔνδηλα δὲ μᾶλλον ταῦτα ἐν τοῖς ἐπετείοις καὶ τοῖς ἐπετειοκαύλοις ἢ τοῖς δένδροις. ἡ δ' ὑγρότης τῶν μὲν πάχος ἔχει μόνον ὥςπερ τῶν 2.

Cap. I.

In Ald. inscriptus est hic liber *το Θ*, sed in foliorum columnis omnibus *το ι'*.

Ἡ ὑγρ.] Articulum Sch. omisit lectore non monito.

δύναμιν ἔχει] cum Scalig. H. St. Sch.; *δύναμιν δὲ ἔχει* UM Ald.

ὅλως] cum Bucret. Sch.; *ὅλαις* Ald. Edd.

δὲ καὶ μαλ.] U. Sch. de conj.; *δὲ μάλ.* Ald. H.; *δύναμις* interseruit St.

συμβαίνει] Hic incipit Exc. P2, inscriptione hac praemissa *Θεοφράστου περὶ φυτῶν ὀπῶν*.

τῶν φυτῶν] P2 Ald. H.; *τῶν ὀπῶν τῶν φυτῶν* St.; *τῶν χυλῶν* Sch. Ad vocem *χρόας* subaudiendum est *τῆς ὑγρότητος*, quod recte fecit G.: *accidit vero ut vel proprium succi colorem plantae habeant nonnullae.*

κενταυρίδι] corr St. Sch.; *κευτηρίᾳ* P2 Ald. G.; *τῷ κενταυρίῳ* corr. Scal. Cf. ad c. 8, 7.

ἀτρακτυλίδι] *ἀτρακυλίδι* M; *ἀτρακτύλιδι* P2.

ἀκάνθῃ] *ὠκάνθῃ* scripto *α* super *ω* P2.

τοῖς δ' ἐν] Ald. Edd.; *δ'* om. UM.; *aliis alius color* G.

ἔνδηλα δὲ μᾶλλον] sic Ald. Edd.; *δῆλον δέ ἐστιν ἔνδηλα* UM mira discrepantia. Exc. P2: *ἔνδηλα δ' ἐν τοῖς ἐπετείοις καὶ ἐπετιοκαύλοις ἢ τοῖς δένδρα.*

ἐν τοῖς ἐπ. καὶ τοῖς ἐπ.] sic correxi; in Ald. *ἐν* ab initio deest sed ante *τοῖς ἐπετειοκαύλοις* positum est; *ἐν τ. ἐπ. καὶ ἐν τοῖς ἐπ.* H. St. Sch.

2. *ἡ δ' ὑγρότης*] *ἡδὺ* P2.

ὀπωδῶν· τῶν δὲ καὶ δακρυώδης γίνεται καθάπερ ἐλάτης πεύκης τερεβίνθου πίτυος ἀμυγδαλῆς κεράσου προύμνης ἀρκεύθου κέδρου τῆς ἀκάνθης τῆς αἰγυπτίας πτελέας, καὶ γὰρ αὕτη φέρει κόμμι πλὴν οὐκ ἐκ τοῦ φλοιοῦ ἀλλ' ἐν τῷ ἀγγείῳ, ἔτι δὲ ἀφ' ὧν ὁ λίβανος καὶ ἡ σμύρνα, δάκρυα γὰρ καὶ ταῦτα, καὶ τὸ βάλσαμον καὶ ἡ χαλβάνη καὶ εἴ τι τοιοῦτον ἕτερον οἷόν φασι τὴν ἄκανθαν τὴν ἰνδικὴν ἀφ' ἧς γίνεται τὸ ὅμοιον τῇ σμύρνᾳ· συνίσταται δὲ καὶ ἐπὶ τῆς σχίνου
3. καὶ ἐπὶ τῆς ἀκάνθης τῆς ἰξίνης καλουμένης, ἐξ ὧν ἡ μαστίχη. ἅπαντα δὲ ταῦτα εὔοσμα καὶ σχεδὸν ὅσα πιότητά τινα ἔχει καὶ λῖπος· ὅσα δ' ἀλιπῆ ταῦτα δ' ἄοσμα καθάπερ τὸ κόμμι καὶ τὸ τῆς ἀμυγδαλῆς. ἔχει δὲ δάκρυον καὶ ἡ ἰξία ἡ ἐν Κρήτῃ καὶ ἡ τραγάκανθα καλουμένη· ταύτην δὲ πρότερον ᾤοντο μόνον ἐν Κρήτῃ φύεσθαι νῦν δὲ φανερὰ καὶ ἐν Ἀχαΐδι τῆς Πελοποννήσου καὶ ἄλλοθι καὶ τῆς Ἀσίας περὶ τὴν Μήδειαν. καὶ τούτων μὲν πάντων ἔν τε τοῖς καυλοῖς καὶ τοῖς στελέχεσι καὶ τοῖς ἀκρεμόσι τὸ δάκρυον· ἐνίων δ' ἐν ταῖς ῥίζαις ὥσπερ τοῦ ἱπποσελίνου καὶ τῆς σκαμμωνίας καὶ ἄλλων πολλῶν φαρμακωδῶν. τῶν δὲ καὶ ἐν τῷ καυλῷ καὶ ἐν τῇ ῥίζῃ· καὶ γὰρ τὸν καυλὸν ὀπίζουσιν

ὀπωδῶν] *ὀποδῶν* superscripto *ω* P2.

τερεβίνθου] P2 Sch. syll.; *τερεμίνθου* U M, *τερμίνθου* Ald. H. St.; *therebintho* G. Utrum *τερέβινθος* an *τέρμινθος* in Theophrasto scribendum sit vix dijudicare licet: codices utramque formam tuentur. Hanc antea praeeunte Niclasio ad Geopon. p. 751 susceperat Sch., sed in Auctario mutata sententia alteram amplexus est, in eo tamen falsus quod pluribus locis Urbinatem sic scriptum exhibere asserat. Imo uno tantum loco 3, 15, 3 U praebet *τερεβίνθων* sed litera *μ* superscripta correctum. Ceterum Hesychio, Etymol. M. et Phot. Lex. testantibus Atticis aliud plantae genus, ab arbore resinifera diversum, *τέρμινθος* audiebat.

ἀμυγδαλῆς] Sch.; *ἀμυγδάλης* P2 Ald. Edd.

προύμνης] UMP2 St. Sch.; *προύνης* Ald. H.

τῆς ἀκάνθης] *τῆς ἀκάνθου* P2.

πτελέας] sic transposuit Sch. ex emendatione Tob. Aldini Descr. plantar. rarior. horti Farnes. p. 22.; in P2 Ald Edd. post *κέδρου* legitur. Etenim quae sequuntur *ulmo* quidem sed non *acaciae* conveniunt.

ἀγγείῳ] H. St. Sch.; *ἀγείῳ* P2 Ald.; *φλοιοῦ ἀλλ' ἐντός. ἐν ἀγγείῳ δὲ συλλέγεται* St., extremis a Salmasio petitis, qui in Exerc. p. 376 aut *ἐγγείῳ* scribere aut *συλλέγεται* addere jubet. Ingeniosa profecto conjectura Sch. suspicatur pro *ἀγγείῳ* scriptum fuisse *κωρύκῳ* (cf. 3, 14, 1; sic audiunt protuberantiae capsuliformes vel bacciformes in foliis ulmi), unde Plinium 13, 11 s. 20 *ulmo etiam in Coryco monte Ciliciae* cum gravi errore scripsisse.

ἡ χαλβ.] St. Sch.; *ἡ* om. Ald. H.; *ἡ βαλβάνη* P2.

τῇ σμύρνᾳ] P2 Sch.syll.; *τῇ σμύρνα* U; *τὴν σμύρναν* M; *τῇ σμύρνῃ* Ald. Edd. o.

ἰξίνης] P2 Ald. St. Sch.; *ἰξίνας* M; *ἰζίνης* H.

ἐξ ὧν] *ἐξ ἧς* St.

3. *πιότητά τινα*] *πιότητα τινὰ* Ald.

λῖπος] Ald. Sch.; *λίπος* H. St.

ἀμυγδαλῆς] Sch.; *ἀμυγδάλης* Ald. Edd. Sch. i. u. addit *δάκρυον*.

Κρήτῃ] *καλουμένη* addit P2.

πρότερον] UMP2 Sch.; *πρῶτον* Ald. Edd. — Dein *ᾦετο* St.; *ὧον τὸ* P2.

Πελοποννήσου] *πελοποννήσου* U; *πελοπονήσσου* altero *ν* superscripto P2.

τὴν Μηδ.] UMP Sch.; *τὴν* om. Ald. Edd.; *τὴν Μήδειον* P2.

ἀκρεμόσι] *ἀκρέμοσι* Ald. Edd. o.; *ἀκρέμοσιν* et antea *στελέχεσιν* P2.

δάκρυον] *δάκρυον ὥσπερ ἔνιον ἄλλων. τινῶν δὲ ἐν ταῖς ῥίζαις* P2.

τοῦ ἱπποσελίνου] H. St.; *τοῦ ἱπποσελήνου* Ald.; *τὸ ἱπποσελίνου* P2; *τὸ ὑπποσελίνου* UM; *τὸ τοῦ ἱπποσ.* Sch.syll.

σκαμμωνίας] P2 Ald. H. St. Sch.syll.; *σκαμωνίας* M Sch.cont.

ἄλλων πολλῶν] UMP Sch.; *ἀ. τῶν π.* Ald. H. St.

τῶν δὲ] Ald. Edd.; *καὶ τῶνδε* M.

ἐνίων καὶ τὰς ῥίζας ὥςπερ καὶ τοῦ σιλφίου. τὸ μὲν οὖν τοῦ ἱπποσελίνου παρ- 4.
όμοιον τῇ σμύρνῃ· καί τινες ἀκούσαντες ὡς ἐντεῦθεν ἡ σμύρνα ἡγοῦνται βλα-
στάνειν ἐν αὐτοῖς ἱπποσέλινον· φυτεύεται γὰρ ὥςπερ ἐλέχθη καὶ ἀπὸ δακρύου
τὸ ἱπποσέλινον καθάπερ ἡ κρινωνία καὶ ἄλλα. τὸ δὲ τοῦ σιλφίου δριμὺ καθά-
περ αὐτὸ τὸ σίλφιον· ὁ γὰρ ὀπὸς καλούμενος τοῦ σιλφίου δάκρυόν ἐστιν. ἡ δὲ
σκαμμωνία καὶ εἴ τι ἄλλο τοιοῦτον ὥςπερ ἐλέχθη φαρμακώδεις ἔχουσι τὰς δυ-
νάμεις. πάντων δὲ τῶν εἰρημένων τὰ μὲν αὐτομάτως συνίσταται τὰ δ' ἀπ' ἐν- 5.
τομῆς τὰ δ' ἀμφοτέρωθεν· τέμνουσι δὲ δῆλον ὅτι τὰ χρήσιμα καὶ τὰ μᾶλλον
ἐπιζητούμενα. τοῦ δ' ἀπὸ τῆς ἀμυγδαλῆς οὐδεμία χρεία δακρύου, δι' ὃ κοὐκ
ἀφελκοῦσι. πλὴν ἐκεῖνό γε φανερὸν ὅτι ὧν αὐτόματος ἡ πῆξις τούτων πλείων
ἡ ἐπιρροὴ τῆς ὑγρότητος. οὐ τὴν αὐτὴν δ' ὥραν ἁπάντων αἱ ἐντομαὶ καὶ ἡ 6. 2 St.
πῆξις, ἀλλὰ τὸ μὲν τῆς ἀμπέλου μάλιστα συνίστασθαί φασιν ἐὰν μικρὸν πρὸ τῆς
βλαστήσεως τμηθῇ, τοῦ δὲ μετοπώρου καὶ ἀρχομένου τοῦ χειμῶνος ἧττον·

ἐνίων καὶ τὰς] corr Sch.; *καὶ ἐνίων τὰς* Ald. Edd.

4. *ἡ σμύρνα ἡγοῦνται βλαστάνειν ἐν*] sic Schn. cum Ald. H. ubi *σμύρνη* est; *η σμυρναν ῆτ ἀναβλαστανεν* U; *ἡ σμύρνα ἧττων ἀναβάνει ἐν* M (sed in Comm. Sch. sic refert M habere *ἡ σμυρνα ἧττωνα βλαστάνειν*). Mira discrepantia, sed Ald. scriptura adoptanda est. G. *Quamobrem cum quidam hinc nasci myrrham audivissent equapium apud se provenire putarunt.*

ἱπποσέλινον] *ἱπποσέλην ον* Ald. — Cum Linkio Schneider et Sprengel non dubitant quin errore librarii nomen *hipposelini* successerit in locum *myrrhae* et scriptum olim fuerit *τὴν σμύρναν*. Quod magnam habet veri speciem; videndum tamen an recte sint suspicati. Nam quam illi verbis inesse volunt sententiam, si Theophrastus proponere voluisset, haud is profecto *βλαστάνειν ἐν αὐτοῖς* sed *φύεσθαι παρ' αὐτοῖς* scripsisset. Atque ne sic quidem dictum esse arbitor quod satis verum aptumve sit. Deinde quae sequuntur *φυτεύεται γὰρ* cum superioribus nulla ratione cohaerent. Paullo probabilius judicavit de hoc loco Salmasius, qui Exerc. p. 368 auctore Plinio — 19 s. 48 *auctorque est Theophrastus myrrha sata natum* (hiposelinon) — *βλαστάνειν ἐξ αὐτῆς* cum Scaligero emendare jussit, quod recepit St. Dalecampius *παρ' αὐτοῖς* scribi maluit. Sed mihi verba *ὡς ἐντεῦθεν ἡ σμύρνα* non satis perspicua, et in sequentibus ut vitiosa ac mutila in libris mss. habentur aliud quid latere arbitror. Nunc posui scripturam Aldinae.

κρινωνία] Sch; *κοινωνία* U; *κοινωνία* M; *σκαμμωνία* Ald. Edd. *Seritur equapium etiam sua lacryma ut lilium et alia quaedam* G., qui *γὰρ* omisit. Eodem duce omisi cum Sch. *ἡ* quod ante *καθάπερ* habent Ald. Edd.

ἄλλα] Gaza duce *ἔνια* i. u. addidit Sch. Facilius poterat *ἄλλ' ἄττα* scribere.

ἔχουσι] UM; *ἔχει* Ald. Edd. o.

5. *εἰρημένων*] *χυλῶν* addit St.

ἀπ' ἐντομῆς] U St. Sch.; *ἅπαν τομῆς* M, *ἀπ' ἀνατομῆς* Ald. H.

μᾶλλον ἐπιζητούμενα. τοῦ δ' ἀπὸ τῆς ἀ.] scripsi e conj.; *μᾶλλον· ἐπὶ γοῦν τὸ ἀπὸ τῆς ἀ.* UM Ald.; *μᾶλλον ἀξιόλογα· ἐπὶ γοῦν τὸ ἀπὸ τῆς ἀ.* H. et St., qui *γοῦν τοῦ* dedit; *μᾶλλον ἀξιόλογα· ἐπεὶ γοῦν τοῦ ἀπὸ τῆς ἀ.* Sch. Gaza: *Caesura scilicet capiuntur quae utilia magisque operae precium sunt. Quapropter amygdalae lachrymam nullus extrahit: nulla enim in re utilis esse potest.*

δι' ὃ κοὐκ ἀφελκοῦσιν] sic cum Scalig. Sch. in Syll. praeterquam quod *κοὐκ ἂν ἀφέλκουσι* scripsit. *δι. ὃ κἂν ἀφέλκουσιν* U; *διὸ κἂν ἀφέλκωσι* M Ald.; *δακρύου οὐκ ἀφέλκουσι* H; *δάκρυον οὐκ ἀφέλκουσι* St.; *διὸ οὐκ ἂν* (haec cum Vin. Vo. cod. Casaub.) *ἀφελκῶσι* Sch. cont. — Ceterum paullo ante *οὐδὲ μία* Ald. Edd. o.

πλὴν etc.] „Excidisse membrum aliquod orationis videtur" Sch. Minime. Cohaerent haec cum illis *τὰ μὲν συνίσταται αὐτομάτως τὰ δ' ἀπ' ἐντομῆς πλήν*. G. om. — *ὅτι*.

6. *τὸ μὲν*] H. St. Sch.; *τοῦ μὲν* UM Ald.; *τὶν μὲν* P.

καίτοι πρός γε καρποτοκίαν αἱ ὡραιόταται ταῖς γε πλείσταις αὗται. τῆς δὲ τερμίνθου καὶ τῆς πεύκης καὶ εἰ ἔκ τινων ἄλλων ῥητίνη γίνεται μετὰ τὴν βλάστησιν· τὸ δ' ὅλον οὐκ ἐπέτειος ἡ τούτων ἀλλ' εἰς πλείω χρόνον ἡ ἐντομή. τὸν δὲ λιβανωτὸν καὶ τὴν σμύρναν ὑπὸ κύνα φασὶ καὶ ταῖς θερμοτάταις ἡμέραις
7. ἐντέμνειν. ὡςαύτως δὲ καὶ τὸ ἐν Συρίᾳ βάλσαμον· ἀκριβεστέρα δὲ καὶ ἐλάττων ἡ καὶ τούτων ἐντομή· καὶ γὰρ ἡ συρροὴ τῆς ὑγρότητος ἐλάττων, ὧν δὲ καὶ ὁ καυλὸς ἐντέμνεται καὶ ἡ ῥίζα τούτων ὁ καυλὸς πρότερον ὥςπερ καὶ τοῦ σιλφίου, καὶ καλοῦσι δὲ τῶν ὀπῶν τούτων τὸν μὲν καυλίαν τὸν δὲ ῥιζίαν· καί ἐστι βελτίων ὁ ῥιζίας· καθαρὸς γὰρ καὶ διαφανὴς καὶ ξηρότερος. ὁ δὲ καυλίας ὑγρότερος· καὶ διὰ τοῦτο ἄλευρον αὐτῷ περιπάττουσι πρὸς τὴν πῆξιν. τὴν ὥραν τῆς ἐντομῆς ἴσασιν οἱ Λίβυες· οὗτοι γὰρ οἱ σίλφιον λέγοντες. ὡςαύτως δὲ καὶ οἱ ῥιζοτόμοι καὶ οἱ τοὺς φαρμακώδεις ὀποὺς συλλέγοντες· καὶ γὰρ οὗτοι τοὺς καυλοὺς ὀπίζουσι πρότερον. ἁπλῶς δὲ πάντες καὶ οἱ τὰς ῥίζας καὶ οἱ τοὺς ὀποὺς συλλέγοντες τὴν οἰκείαν ὥραν ἑκάστων τηροῦσι. καὶ τοῦτο μὲν δὴ κοινόν.

Cap. II. Η δὲ ῥητίνη γίνεται τόνδε τὸν τρόπον· ἐν μὲν τῇ πεύκῃ ὅταν ἀφελκωθείσης ἡ δᾷς ἐξαιρεθῇ, συρρεῖ γὰρ εἰς τὸ ἕλκωμα τοῦτο πλείων ἡ ὑγρότης, ἐν δὲ τῇ ἐλάτῃ καὶ τῇ πίτυϊ ὅταν γευσάμενοι τῶν ξύλων ἀφελκώσωσιν·

τό γε] Ald. Edd. o.; *πρός τε* UM.

αἱ ὡραιόταται] dedi de conj.; *καὶ ὡραιόταται* U; *καὶ ὡραιότατα* P; *καὶ ὡραιότητα* Ald. Edd. o.

ταῖς γε] dedi cum Sch.; *ταῖς δὲ* Ald. St.; *ταῖςδε* H. Post *αὗται* Sch. posuit signum lacunae. *αὗται* sunt *αἱ τοῦ μετοπώρου καὶ ἀρχομένου τοῦ χειμῶνος τομαί.* Comparo C. pl. 3, 13, 2 *τὴν γὰρ τομὴν ταύτην οὐ καρποῦ χάριν ἀλλὰ βλαστοῦ γίνεσθαι· τὴν δὲ μετοπωρίνην καρποῦ.*

εἰ ἐκ] mBas. Sch.; *ἡ ἐκ* Ald. H.; *ἡ* om. St.; *et si quae resinam aliae faciant* G.

τούτων] *ἐντομὴ* addit St., qui hanc vocem paullo post omittit.

εἰς πλείω] H. St. Sch.; *οἷς πλ.* UM Ald.; *sed post plus temporis fieri solet* G.

λιβανωτὸν] *λιβανοτὸν* superscripto *ω* P2. Idem *ὑποκῦνα.*

ἐντέμνειν] *ἐκτέμνειν* P2.

7. *τὸ ἐν*] *τὸν ἐν* St.

δὲ καὶ ἐλ.] *δ' εἰ καὶ* St.

ἡ καὶ τούτ.] UM; *καὶ ἡ τούτων* Ald. H. St.; *καὶ* om. Sch. At recte habet; respice modo illa *τὸ δ' ὅλον — ἡ ἐντομή.*

ὧν δὲ] *ὡς δὲ* P2.

ἐντέμνεται] UP2 Sch. de conj.; *ἐκτέμνεται* Ald. H. St.; *inceditur* G.

ἡ ῥίζα] *ἡ κρίη* P2.

καὶ καλ.] UMPP2 Sch. syll.; *καὶ* om. Ald. Edd. o. — Dein *τὸν ὀπὸν* superscripto bis *ω* P2.

περιπάττουσι] P2 corr. Sch.; *περιπλάττουσι* Ald. Edd.; *farinam ei inspergunt* G.

τὴν ὥραν] UM; *τὴν δ' ὥραν* Ald. Edd.

ἐντομῆς] UMP St. Sch.; *ἐκτομῆς* Ald. H.; *incisurae* G.

σίλφιον] H. St. Sch.; *σίλφον* UM; *σιλφιο* Ald. et P qui *σιλφιολέγοντες* junctum scriptum habet; *τὸ σίλφιον* Sch.

ῥίζας — ὀποὺς] *ῥιζίας — καυλίους* St.

Cap. II.

γίνεται — τρόπον] UM Ald. Sch.; *γίν. τοῦτον τρ.* P2; *τόνδε τὸν τρόπον γίνεται* H. St.

ἡ δᾷς] Sch.; *ἡ δαὶς* U; *ἡ δαῖς* P2; *ἤδως* M; *teda* G. *ἡ δορὰ* Ald H. St. In Commentar. *ὅταν ἀφελκωθείσης τῆς δορᾶς ἐξαιρεθῇ* scribi mavult Sch.

τοῦτο] *τότε* St. — Dein *ὑγρότις* P2.

ὅταν] *μόνον* St. Idem deinde *ἀφελκώσουσιν*; *ἀφελκύσωσιν* P2.

οὐ γὰρ πᾶς ἀφορισμὸς ὁμοίως· ἀφελκοῦσι γὰρ καὶ τὰς τερμίνθους ἐν ἀμφοῖν
καὶ ἐν τῷ στελέχει καὶ ἐν τοῖς ἀκρεμόσιν· αἰεὶ δὲ πλείων καὶ βελτίων ἡ εἰς τὸ
στέλεχος συρρέουσα τῆς εἰς τοὺς ἀκρεμόνας. διαφέρουσι δὲ καὶ κατὰ τὰ 2.
δένδρα. βελτίστη μὲν γὰρ ἡ τερμινθίνη· καὶ γὰρ συνεστηκυῖα καὶ εὐωδεστάτη
καὶ κουφοτάτη τῇ ὀσμῇ ἀλλ' ὀλίγη. δευτέρα δὲ ἡ ἐλατίνη καὶ πιτυΐνη, κουφό-
τεραι γὰρ τῆς πευκίνης. πλείστη δὲ ἡ πευκίνη καὶ βαρυτάτη καὶ πιττωδεστάτη
διὰ τὸ μάλιστα ἔνδαδον εἶναι τὴν πεύκην. ἄγεται δὲ ἐν ἀσκοῖς ὑγρὰ κἄπειτα
οὕτω συνίσταται. καίτοι φασὶ καὶ τὴν τέρμινθον πιττοκαυτεῖσθαι περὶ Συρίαν·
ἔστι γὰρ ὄρος καθάπερ ἐν τοῖς ἔμπροσθεν εἴπομεν μέγα τερμίνθων μεστὸν ἅπαν
μεγάλων. ἔνιοι δέ φασι καὶ τὴν πίτυν καὶ τὴν κέδρον δὲ τὴν φοινικικήν· ἀλλὰ 3.
ταῦτα μὲν ὡς ἐνδεχόμενα ληπτέον διὰ τὸ σπάνιον· ἐπεὶ οἵ γε περὶ Μακεδονίαν
οὐδὲ τὴν πεύκην πιττοκαυτοῦσιν ἀλλ' ἢ τὴν ἄρρενα· καλοῦσι γὰρ ἄρρενα τὴν
μὴ καρποφόρον. τῆς δὲ θηλείας ἐάν τινα τῶν ῥιζῶν λάβωσιν· ἅπασα γὰρ ἔν-
δᾳδος πεύκη ταῖς ῥίζαις. καλλίστη δὲ πίττα γίνεται καὶ καθαρωτάτη ἡ ἐκ τῶν
σφόδρα προςείλων καὶ προςβόρρων ἐκ δὲ τῶν παλισκίων βλοσυρωτέρα καὶ βορ-
βορώδης· ἐν γὰρ τοῖς σφόδρα παλισκίοις οὐδὲ φύεται πεύκη τὸ παράπαν. ἔστι 4.
δὲ καὶ ἀφορία τις καὶ εὐφορία καὶ πλήθους καὶ καλλονῆς· ὅταν μὲν γὰρ χει-
μὼν μέτριος γίνηται πολλὴ γίνεται καὶ καλὴ καὶ τῷ χρώματι λευκοτέρα, ὅταν
δὲ ἰσχυρὸς ὀλίγη καὶ μοχθηροτέρα. καὶ ταῦτά γέ ἐστι τὰ ὁρίζοντα πλῆθος
καὶ καλλονὴν πίττης οὐχ ἡ πολυκαρπία τῶν πευκῶν. οἱ δὲ περὶ τὴν Ἴδην 5.

οὐ γὰρ — ὁμοίως] „Scribi debet: *οὐ γὰρ πάντων τοῦ τόπου καὶ τοῦ χρόνου ἀφορισμὸς ὅμοιος.* Certe loci in arbore incidendi definitionem antecessisse, sequentia demonstrant." Sch. Fortasse graviora in hoc toto loco sedent vitia.

ἀφελκοῦσι] *ἀφέλκουσι* P2 Ald.; *ἀφελκῶσι* Sch.

τερμίνθους] Ald. Edd.; *τερβίνθους* P2.

2. *κατὰ τὰ*] dedi de corr.; *ταῦτα τὰ* Ald. H. St.; *ταύτῃ τὰ* Sch.; *differunt etiam arborum ratione* G.

ἡ τερμινθίνη] UMP2; *ἡ τέρμινθος* Ald.; *ἡ τῆς τερμίνθου* St.; *ἡ [τῆς] τερμινθίνη* Sch.; *ἡ τερεβινθίνη* idem in Syll.

καὶ κουφ. τ. ὀ.] *τῇ ὀσμῇ, καὶ κουφοτάτη* St.; *καὶ κουφοτάτη* om. P2.

δ

ἔνδᾳδον] *ἔκδαδον* P2.

ἄγεται] *ἄλεται* P2; *λέγεται* St.

ἀσκοῖς] *ἀσκῷ* P2.

φασὶ] *ἐνίους* i. u. add. St.

πιττοκαυτεῖσθαι] correxit Sch.; *πιττωθεῖσαν* Ald. H.; *πιττοκαυθίσαι* U; *πιττοκαυτεῖν* corr. cum Salmas. Ex. p. 357 Bod. St.

3. *κέδρον δὲ τὴν*] dedi de correctione; *κέδρον καὶ τὴν* Ald. H. Sch.; *καὶ* om. St. *καὶ* tueri nequit; *phoenicica* enim non est diversa a cedro arbor sed cedri species, qua de re cf. 3, 12, 3. Aut igitur *καὶ* expellendum aut quod feci *δὲ* substituendum est.

φοινικικὴν] P; *φοινικηκην* U; *φοινικὴν* M Ald. H. St.; *φοινικῆν* Sch.; *φοίνικα* Vin. Vo. cod. Casaub.

ἀλλ' ἢ τὴν] UM Sch.; *ἀλλὰ τὴν* Ald.; *πλὴν ἀλλὰ ἢ τὴν* H. St.; *praeterquam marem* G.

τὴν μὴ κ.] dedi e conj.; *τήν γε κ.* Ald. H. St.; *τήν γε μὴ κ.* cum cod. Casaub. Vin. Sch.; *τήν γε μὴν κ.* Vo.; *τὴν ἄκαρπον* mBas. *sterilem enim marem nuncupant* G.

ἐάν τινα] UM Ald.; *ἐὰν τινὰς* H. St.; *ἐάν τινας* Sch. Quidni vertas: si quam radicem sumant? Post *ῥιζῶν* addunt *ἐνδᾴδους* H. St.

ἅπασα] *οὐκ ἅπ.* St.

ἔνδᾳδος πεύκη] *πεύκη ἔνδᾳδος* St.

δὲ π.] *δ' ἡ π.* St.

προςείλων] corr. Sch.; *προςήλων* U Ald. H.; *προςύλλων* P2; *προςηλίων* St. Ceterum *ἐκ τοῦ* M.

προςβόρρων] *προςβορρείων* P2.

βλοσυρωτέρα] corr. Sch.; *βροσηροτέρα* M; *βλοσκότερα* P; *βλοσηροτέρα* Ald.; *βλοσυροτέρα* H. St.

4. *ἀφορία — εὐφορία*] U Sch.syll.; *εὐφορία — ἀφορία* Ald. Edd. o.

πλῆθος] *τὸ πλ.* St.

φασὶ διαιροῦντες τὰς πεύκας καὶ τὴν μὲν καλοῦντες ἰδαίαν τὴν δὲ παραλίαν
τὴν ἐκ τῆς ἰδαίας πλείω καὶ μελαντέραν γίνεσθαι καὶ γλυκυτέραν καὶ τὸ ὅλον
εὐωδεστέραν ὠμήν, ἑψηθεῖσαν δὲ ἐλάττω ἐκβαίνειν· πλείω γὰρ ἔχειν τὸν ὀρρὸν
δι' ὃ καὶ λεπτοτέραν εἶναι. τὴν δὲ τῆς παραλίας ξανθοτέραν καὶ παχυτέραν
ὠμὴν ὥστε καὶ τὴν ἄφεψιν ἐλάττω γίνεσθαι, δᾳδωδεστέραν δὲ τὴν ἰδαίαν. ὡς
δὲ ἁπλῶς εἰπεῖν ἐκ τῆς ἴσης δᾳδὸς πλείω καὶ ὑδαρεστέραν ἐν ταῖς ἐπομβρίαις
γίνεσθαι ἢ ἐν τοῖς αὐχμοῖς, καὶ ἐκ τῶν χειμερινῶν καὶ παλισκίων τόπων ἢ ἐκ
6. τῶν εὐείλων καὶ εὐδιεινῶν. ταῦτα μὲν οὖν οὕτως ἑκάτεροι λέγουσιν. ἀνα-
πληροῦσθαι δὲ συμβαίνει τὰ κοιλώματα πρὸς τὸ πάλιν ἐξαιρεῖν τῶν μὲν ἀγαθῶν
πευκῶν ἐνιαυτῷ τῶν δὲ μετριωτέρων ἐν δυσὶν ἔτεσι τῶν δὲ μοχθηρῶν ἐν τρι-
σίν. ἡ δὲ ἀναπλήρωσις οὐ τοῦ ξύλου καὶ τῆς συμφύσεως ἀλλὰ τῆς πίττης
ἐστίν· ἐπεὶ τὸ ξύλον ἀδύνατον συμφῦναι καὶ ἓν γενέσθαι πάλιν, ἀλλ' ἡ ἐργασία
διὰ τοσούτου χρόνου γίνεται τῆς πίττης· ἀναγκαῖον δὲ δῆλον ὅτι καὶ τῷ ξύλῳ
γίνεσθαί τινα πρόσφυσιν εἴπερ ἐξαιρουμένης τῆς δᾳδὸς καὶ καιομένης τῆς πίτ-
7 της ἡ ἐκροή. τοῦτο μὲν οὖν οὕτω ληπτέον. οἱ δὲ περὶ τὴν Ἴδην φασίν, ὅταν
λεπίσωσι τὸ στέλεχος, — λεπίζουσι δὲ τὸ πρὸς ἥλιον μέρος ἐπὶ δύο ἢ τρεῖς
πήχεις ἀπὸ τῆς γῆς — ἐνταῦθα τῆς ἐπιρροῆς γινομένης ἐνδᾳδοῦσθαι ἐνιαυτῷ
μάλιστα, τοῦτο δ' ὅταν ἐκπελεκήσωσιν ἐν ἑτέρῳ πάλιν ἐνδᾳδοῦσθαι καὶ τὸ τρί-
τον ὡσαύτως, μετὰ δὲ ταῦτα διὰ τὴν ὑποτομὴν ἐκπίπτειν τὸ δένδρον ὑπὸ τῶν

5 *εὐωδεστέραν*] cum H. Sch.; *εὐκρινωδεστέραν* UM, *εὐκρινωδεστέραν* Ald.; *εἰλικρινεστέραν καὶ εὐωδεστέραν* St., *faciliorem et odore gratiorem* G. Assentior Schneidero in scriptura librorum duo vocabula conflata latere censenti, ut *εὐκρινεστέραν* et *εὐωδεστέραν*; sed nec *εὐκρινεστέραν* nec *εἰλικρινεστέραν* hoc loco satis aptum videtur.

ὀρρὸν] *ὄρρον* St. Sch.; *ὅρον* U; *ὀρὸν* Ald. H.

ἐλάττω] *μικρὸν* temere anteposuit H.

δᾳδωδεστέραν] *δᾳδωστέραν* Bas.

τὴν ἰδαίαν] *τὴν ἰδαῖαν* Ald. In Cur. secund. p. 492 Sch. probare studet hic *τῆς ἰδαίας* scribendum esse, tunc vero *δὲ* in *γὰρ* mutandum esse idem recte vidit. Sed fallitur vir egregius: vulgata recte habet hoc sensu: *etsi pinus idaea picem magis liquidam ideoque concoctae minorem copiam praebet quam maritima, plus tamen tedae continet:* sic enim haec verba plene audiunt: *δᾳδωδεστέραν δὲ τὴν ἰδαίαν εἶναι οἱ περὶ τὴν Ἴδην λέγουσι.* Et sic quae sequuntur aptissime adnectuntur.

τῶν χειμ.] UMP Sch.; *τῶν* om. Ald. Edd.

εὐείλων] corr. Sch.; *εὐήλων* UM Ald.; *εὐηλίων* St.

6. *ἐξαιρεῖν*] Sch.; *ἐξαίρειν* Ald. H. St.

ξύλου καὶ τῆς συμ.] Ald. H. St.; *non coitu ligni sed incremento picis* G., quem *ξύλου τῆς συμφ.* omisso *καὶ* habuisse recte asserit Sch. quamobrem *καὶ* seclusit. Sed vide ne *καὶ* optime habeat. Recte enim dixisset *ἡ ἀναπλήρωσις οὐ τοῦ ξύλου ἀλλὰ τῆς πίττης ἐστίν* i. e. repletio non fit ligno sed pice; nunc ad *τοῦ ξύλου* per epexegesin adduntur verba *καὶ τῆς συμφύσεως* quibus ratio explicatur qua repletionem ligno fieri cogitari potuisset.

πίττης] *ῥητίνης* maluerunt Dalec. et Bod., quos refutavit Sch.

ἀλλ' ἡ ἐργ.] *ἀλλ' ἡ μὲν ἐργ.* Sch. *ἐργασία* est Schneidero *paratio picis* quae fit per homines, nempe excisio ac combustio tedae. Equidem *ἐργασίαν* indicare puto operationem naturae materiem piceam in arbore parantis.

7. *τῆς ἐπιρροῆς γινομένης ἐνδᾳδοῦσθαι*] sic correxi partim cum Sch.; *τὴν ἐπιρροὴν γινομένην ἔνδᾳδον* Ald. Edd.; *τῆς ἐπιρροῆς γενομένης ἔνδαδον — μάλιστα γίνεσθαι* Sch.; *εἶναι* post *μάλιστα* adjecit St.

ἐκπελεκήσωσιν] *ἐκπελεκίσωσιν* U.

μετὰ δὲ ταῦτα] corr. Sch.; *τὸ δὲ ταῦτα* UM; *τὰ δὲ τοιαῦτα* Ald. H. St.

τὸ δένδρον — σαπὲν] UM Sch.; *δένδρα — σαπέντα* Ald.; *arborem* G.; *δένδρα — σηπέντα* H. St. — *ἐκπίπτει* M.

πνευμάτων σαπέν· τότε δ' ἐξαιρεῖν αὐτοῦ τὴν καρδίαν, τοῦτο γὰρ μάλιστα δα-
δῶδες, ἐξαιρεῖν δὲ καὶ τῶν ῥιζῶν· καὶ γὰρ ταύτας ὥςπερ εἴπομεν ἐνδάδους
πασῶν. εἰκὸς δὲ δῆλον ὅτι τὰς μὲν ἀγαθὰς ὥςπερ ἐλέχθη συνεχῶς τοῦτο δρᾶν 8.
τὰς δὲ χείρονας διὰ πλείονος χρόνου· καὶ ταμιευομένων μὲν πλείω χρόνον ἀντ-
έχειν, ἐὰν δὲ πᾶσαν ἐξαιρῶσιν ἐλάττω· δύναται δ' ὡς ἔοικε τρεῖς μάλιστα τοι-
αύτας ἐξαιρέσεις ὑπομένειν. οὐχ ἅμα δὲ καρποφοροῦσιν αἱ πεῦκαι καὶ δαδο-
φοροῦσι· καρποφοροῦσι μὲν γὰρ εὐθὺς νέαι, δαδοφοροῦσι δὲ ὕστερον πολλῷ
πρεσβύτεραι γινόμεναι.

Cap. III. Τὴν δὲ πίτταν καίουσι τόνδε τὸν τρόπον· ὅταν κατασκευάσωσιν 3 H. St.
ὁμαλῆ τόπον ὥςπερ ἅλω ποιήσαντες ἔχουσαν εἰς τὸ μέσον συρροὴν καὶ ταύτην
ἐδαφίσωσι, κατασχίσαντες τοὺς κορμοὺς συντιθέασι παραπλησίαν σύνθεσιν τῆς
τῶν ἀνθρακευόντων πλὴν οὐκ ἔμβοθρον ἀλλὰ τὰς σχίζας ὀρθὰς πρὸς ἀλλήλας
ὥστε λαμβάνειν ὕψος αἰεὶ κατὰ πλῆθος· γίνεσθαι δέ φασιν ὅταν ἡ σύνθεσις ᾖ
κύκλῳ μὲν ὀγδοήκοντα καὶ ἑκατὸν πηχέων εἰς ὕψος δὲ ἑξήκοντα πλεῖστον ἢ
πεντήκοντα ἢ ἑκατὸν ἀμφοτέροις ἐάνπερ ἡ δᾲς τυγχάνῃ πίειρα. συνθέντες 2.
οὖν αὐτὴν οὕτως καὶ κατασκεπάσαντες ὕλῃ γῆν ἐπιβαλόντες κατακρύπτουσιν
ὅπως μηδαμῶς διαλάμψῃ τὸ πῦρ, ἀπόλλυται γὰρ ἡ πίττα τούτου συμβάντος.
ὑφάπτουσι δὲ κατὰ τὴν ὑπολειπομένην δίοδον· εἶτα δὲ καὶ ταύτην ἐπιφράξαντες
τῇ ὕλῃ καὶ ἐπιχώσαντες τηροῦσιν ἀναβαίνοντες κατὰ κλίμακος ᾗ ἂν ὁρῶσι τὸν
καπνὸν ὠθούμενον καὶ ἐπιβάλλουσιν αἰεὶ τῆς γῆς ὅπως μηδ' ἀναλάμψῃ. κατ-
εσκεύασται δὲ ὀχετὸς τῇ πίττῃ διὰ τῆς συνθέσεως τῆς ἀπορροῆς εἰς βόθυνον

τότε δὲ] corr. Sch.; *τοὺς δὲ* Ald. Edd.; *ac tum* G. — *ἐξαίρειν* Ald. Edd.

δᾳδῶδες] H. St. Sch.; *δαδιῶδες* M Ald. — Iterum *ἐξαίρειν* Ald. Edd.

καὶ τῶν ῥιζῶν] sic correxi; supple *τὴν καρδίαν* vel *τὸ δαδῶδες*; *ἐκ τῶν ῥιζῶν* Ald. Edd.; *καὶ τὰς ῥίζῶν* Sch. e vers. G. *nec non et radicem effodi.*

πασῶν] *μάλιστα* add. H. St., *εἶναι* Sch.

8. *δρᾶν*] *δ' ἂν* MP.

ταμιευομένων] *ταμιευομένους* St.

γινόμεναι Ald. Edd. *γενόμ.* Sch.; *facta vetustior* G. Nescio an praesens defendi possit.

Cap. III.

συρροὴν] *σύρρουν* H. St. — Dein *ταύτην ἐδαφίζουσι* — *συντιθέασι δὲ* St. Paragraphum hanc difficillimam nemo interpretum satis explanavit: difficultates callide evitavit Bodaeus, attigit modo Sch. Vitii ea non immunis esse videtur, sed emendandi nec via nec locus. Post *σύνθεσις ᾖ* lacunam sibi videtur deprehendere Sch. et in contextu significavit; idem lectore non monito *πλεῖστον* scripsit ubi *πλέον* habet Ald., atque sic locum redintegrari posse putat: *ὅταν ἡ σύνθεσις ᾖ μεγίστη, κύκλῳ μὲν ὀγδοήκοντα καὶ ἑκατὸν πηχέων εἰς ὕψος δὲ ἑξήκοντα τὸ πλεῖστον ἢ πεντήκοντα, ἢ ἑκατὸν ἀμφοτέρωσε, εἄνπερ.*

δέ φασιν] *δὲ τοῦτό φασιν* St.

2. *ἐπιβαλόντες*] U Sch. syll.; *ἐπιβάλοντες* Ald.; *ἐπιβάλλοντες* H. St. Sch. cont.

διαλάμψῃ] U Sch. syll.; *διαλάμψει* M; *ἐπιδιαλάμψῃ* Ald. Edd. o.

ταύτην] corr. St. Sch.; *ταῦτα* Ald. H.

ἐπιφράξαντες] corr. Scalig. Sch.; *stipant materie et obstruunt terra* G.; *ἐπάξαντες* UM Ald.; *ἐπισάξαντες* H. St.

ᾗ ἂν ὁρ.] *ἐὰν ὁρ.* H. St.

μηδ' ἀναλάμψῃ] U; *μηδ' ἅμα λάμψῃ* M; *μὴ διαλάμψῃ* Ald. Edd. Scripturam Urb. praetuli; sensus est; *ut ne supra quidem ignis flamma erumpat.*

τῆς ἀπορροῆς] Ald. et M ut refert Sch. in Comm. Nec aliter in U scriptum esse suspicor. In Auct. quidem sic refert Sch. „*τῆς δ' ἀπορρῆς* U cum AM,“ ubi tamen et *δ'* ex errore irrepsisse et *ἀπορρῆς* pro *ἀπορροῆς* scriptum esse verisimile est. Schn. correxit *συνθέσεως· τῇ δ' ἀπορροῇ.* In librorum scriptura, quae durior quidem sed ferri posse videtur, conjungenda *ὀχετὸς τῆς ἀπορροῆς, ein Abzugscanal.* — Ceterum *ὀχετοὺς* M. St. addit: *πίττῃ τῇ ἀπορρεούσῃ διὰ τῆς συνθ. εἰς βοθ.*

ὅσον ἀπέχοντα πεντεκαίδεκα πήχεις· ἡ δ' ἀπορρέουσα τῆς πίττης ψυχρὰ γίνε-
3. ται κατὰ τὴν ἁφήν. καίεται δὲ μάλιστα δύο ἡμέρας καὶ νύκτας· τῇ γὰρ ὑστε-
ραίᾳ πρὸ ἡλίου δύναντος ἐκκεκαυμένη γίνεται καὶ ἐνδέδωκεν ἡ πυρά· τοῦτο
γὰρ συμβαίνει μηκέτι ῥεούσης. τοῦτον δὲ τὸν χρόνον ἅπαντα τηροῦσιν ἀγρυπ-
νοῦντες ὅπως μὴ διαλάμπῃ καὶ θύουσι δὲ καὶ ἑορτάζουσιν εὐχόμενοι πολλήν τε
καὶ καλὴν γίνεσθαι τὴν πίτταν· οἱ μὲν δὴ περὶ Μακεδονίαν καίουσι τὸν τρόπον
4. τοῦτον. ἐν δὲ τῇ Ἀσίᾳ φασὶ περὶ Συρίαν οὐκ ἐκπελεκῶντας τὴν δᾷδα ἀλλ'
ἐπ' αὐτῷ τῷ δένδρῳ προςκαίειν φέροντας ὄργανόν τι περιπεποιημένον καὶ
τοῦτο περιαλείφοντας, εἶθ' ὅταν ἐκτήξωσι ταύτην πάλιν ἐπ' ἄλλο καὶ ἄλλο
μεταφέρειν· ὅρος δέ ἐστιν αὐτοῖς τις καὶ σημεῖα τοῦ παύεσθαι καὶ μάλιστα
δῆλον ὅτι τὸ μηκέτι ῥεῖν. πιττοκαυτοῦσι δ' ὥςπερ καὶ πρότερον ἐλέχθη τὰς
τερμίνθους· πεύκην γὰρ οὐ φέρουσιν οἱ τόποι. τὰ μὲν οὖν περὶ τὴν ῥητίνην
καὶ τὴν πίτταν οὕτως ἔχει.

4 St. Cap. IV. Περὶ δὲ λιβανωτοῦ καὶ σμύρνης καὶ βαλσάμου καὶ εἴ τι τοιοῦτον
ἕτερον ὅτι μὲν καὶ ἀπ' ἐντομῆς γίνεται καὶ αὐτομάτως εἴρηται. ποία δέ τις ἡ
τῶν δένδρων φύσις καὶ εἴ τι περὶ τὴν γένεσιν ἢ τὴν συλλογὴν ἢ τῶν ἄλλων ἴδιον
αὐτοῖς ὑπάρχει πειρατέον εἰπεῖν, ὡςαύτως δὲ καὶ περὶ τῶν λοιπῶν εὐόσμων·
σχεδὸν γὰρ τά γε πλεῖστα ἀπὸ τῶν τόπων ἐστὶ τῶν τε πρὸς μεσημβρίαν καὶ
2. 4 H. ἀνατολήν. γίνεται μὲν οὖν ὁ λίβανος καὶ ἡ σμύρνα καὶ ἡ κασία καὶ ἔτι τὸ κιν-
άμωμον ἐν τῇ τῶν Ἀράβων χερρονήσῳ περί τε Σαβὰ καὶ Ἁδραμύτα καὶ Κι-

ἡ δ' ἀπορρ.] Ald. H. St.; Sch. puncto post *πήχεις* sublato *ἡ ἀπορρ.* scripsit.

3. *τῇ γὰρ ὑστ.*] sic Ald. ac libri, ut videtur, H. St.; auctore G. qui *saepe enim postridie* vertit scripsit Sch. *πολλάκις γὰρ καὶ τῇ ὑστ.* Sed *μάλιστα* est *ad summum*. Cum igitur antea summum spatium significasset, nunc dicit quo tempore plerumque fabricatio absoluta sit, neque ab hoc nexu *γὰρ* alienum est.

τοῦτον δὲ τὸν χρόνον] corr. Sch.; *totum autem tempus, quo teda uritur*, G.; *τόνδε δὲ τὸν τρόπον* UM Ald. H.; *τόνδε τὸν τρόπον* Bas.; *τόνδε δὲ τὸν χρόνον* St.

4. *φασὶ*] om. P.

ἐκπελεκῶντας] sic correxi; etenim *ἐκπλέκοντας* U; *ἐκπλέοντες* M; *ἐκπλήττοντες* Ald.; *ἐκπλήττοντας* Sch.; *ἐμπλάττειν* H. St.

φέροντας] U Sch.; *φέροντες* Ald. H. St.

περιπεποιημένον] *instrumento quodam industrie fabricato* G. quod probat Sch. *περικεκαυμένον* conj. Dalec Equidem vereor ut et hoc et *περιαλείφοντας* integrum sit, cujus loco Gazam *περιάπτοντας* habuisse animadvertit Scaliger. Suspicor Th. loqui de instrumento ad excipiendam picem facto, quod singulis arboris locis adaptari adhiberique posset. *πάλιν περὶ ἄλλο μεταφέρειν* scripsit St.

πιττοκαυτοῦσι] Ald. Edd.; *πιττοκαυλοῦσι* UM.

Cap. IV.

ἀπ' ἐντομῆς] U; *δι' ἀπεντομῆς* M; *δι' ἀποτομῆς* Ald. H. St.; *δι' ἀνατομῆς* Sch. cont.; *δι' ἐντομῆς* idem in Syll. — Paullo ante *κἂν εἴ τι* M.

γίνεται] *γίνεσθαι* H. unde St. *ὅτε μὲν — ὅτε δὲ καὶ αὐτομ.* correxit.

ποία δέ τις] dedi e conj.; *πολλή δέ τις* Ald. Edd. o.; Sch. post *φύσις* lacunae signum posuit, et conj.: *λείπεται δὲ ἡ τῶν δ. φ.*

ἢ τῶν ἄλλων] *τι* addidit Sch.: *ἢ τῶν ἄλλον* H., unde *ἤ τι ἄλλον* (sic) fecit St.

τά γε πλεῖστα] Ald.; *τά γε πλεῖστα δ'* U; *εἰ τά γε πλεῖστα δ'* M, unde Sch. *εἰ [μὴ πάντα] τά γε πλεῖστα* scripsit, confirmatus etiam a G. *quae omnia vel maxima quidem ex parte*. — Dein *τῶν* om. H. St.

2. *κασία*] P_2 Ald. Edd.; *κασσία* U.

χερρονήσῳ] corr. Salmas. E. p. 385, ac Meurs. Th. p. 98, Sch.; *χώρᾳ νήσῳ* Ald. H.; *χώρᾳ, τῇ χερρονήσῳ* St.; *regione Arabum media* G. — *Ἀρράβων* M Ald.; *Ἀρράβων νήσῳ* P_2.

Ἁδραμύτα] U; *Ἀδραμύττα* Ald. Edd.; *Σαβᾶ καὶ ἀδραμυτα* P_2.

Κιτίβαινα] *κατάβαινα* St.

τίβαινα καὶ Μαμάλι. φύεται δὲ τὰ τοῦ λιβανωτοῦ καὶ τῆς σμύρνης δένδρα τὰ
μὲν ἐν τῷ ὄρει τὰ δ' ἐν ταῖς ἰδίαις γεωργίαις ὑπὸ τὴν ὑπώρειαν, δι' ὃ καὶ τὰ
μὲν θεραπεύεται τὰ δ' οὔ· τὸ δ' ὄρος εἶναί φασιν ὑψηλὸν καὶ δασὺ καὶ νιφόμε-
νον, ῥεῖν δ' ἐξ αὐτοῦ καὶ ποταμοὺς εἰς τὸ πέδιον. εἶναι δὲ τὸ μὲν τοῦ λιβανω-
τοῦ δένδρον οὐ μέγα πεντάπηχυ δέ τι καὶ πολύκλαδον, φύλλον δ' ἔχειν ἐμφερὲς
τῇ ἀπίῳ πλὴν ἔλαττον πολὺ καὶ τῷ χρώματι ποῶδες σφόδρα καθάπερ τὸ πή-
γανον· λειόφλοιον δὲ πᾶν ὥςπερ τὴν δάφνην. τὴν δὲ σμύρναν ἔλαττον ἔτι τῷ 3.
μεγέθει καὶ θαμνωδέστερον δὲ, τὸ δὲ στέλεχος ἔχειν σκληρὸν καὶ συνεστραμ-
μένον ἐπὶ τῆς γῆς, παχύτερον δὲ ἢ κνημοπαχές· φλοιὸν δὲ ἔχειν λεῖον ὅμοιον
τῇ ἀνδράχλῃ. ἕτεροι δὲ οἱ φάσκοντες τεθεωρηκέναι περὶ μὲν τοῦ μεγέθους
σχεδὸν συμφωνοῦσιν· οὐδέτερον γὰρ εἶναι μέγα τῶν δένδρων ἔλαττον δὲ τὸ τῆς
σμύρνης καὶ ταπεινότερον· φύλλον δὲ ἔχειν τὸ τοῦ λιβανωτοῦ δαφνοειδὲς καὶ
λειόφλοιον δ' εἶναι· τὸ δὲ τῆς σμύρνης ἀκανθῶδες καὶ οὐ λεῖον, φύλλον δὲ
προςεμφερὲς ἔχειν τῇ πτελέᾳ πλὴν οὖλον ἐξ ἄκρου δὲ ἐπακανθίζον ὥςπερ τὸ
τῆς πρίνου. ἔφασαν δὲ οὗτοι κατὰ τὸν παράπλουν ὃν ἐξ Ἡρώων ἐποιοῦντο 4.
κόλπου ζητεῖν ἐκβάντες ὕδωρ ἐν τῷ ὄρει καὶ οὕτω θεωρῆσαι τὰ δένδρα καὶ τὴν
συλλογήν. εἶναι δ' ἀμφοτέρων ἐντετμημένα καὶ τὰ στελέχη καὶ τοὺς κλάδους,
ἀλλὰ τὰ μὲν ὥςπερ ἀξίνῃ δοκεῖν τετμῆσθαι τοὺς δὲ λεπτοτέρας ἔχειν τὰς ἐν-
τομάς· τὸ δὲ δάκρυον τὸ μὲν καταπίπτειν τὸ δὲ καὶ πρὸς τῷ δένδρῳ προσέχε-
σθαι. ἐνιαχοῦ μὲν ὑποβεβλῆσθαι ψιάθους ἐκ φοινίκων πεπλεγμένας, ἐνιαχοῦ

Μαμάλι] UMP2 Ald. Sch.; *Μάλι* H. St.; *Mali* G.
ὑπώρειαν] Sch.; *ὑπόρειαν* superscripto ω P2; *ὑπόρειαν* Ald.
πεντάπηχυ] Ald. Edd.; *πεντάχυνον* UM P2; *πιτάχυνον* P. Dein *τι* om. P2.
ἀπίῳ] *ἀρίᾳ* St. Sed *folio pyri* Plin. 12, 14 s. 30.
3. *ἔτι*] *εἶναι* P2.
θαμνωδέστερον δὲ] UM Ald.; *δὲ* om. H. St. Sch.; *θαμβωδέστερον δὲ* P2.
ἔχειν] corr. Sch.; *ἔχει* P2 Ald. Edd.
ἐπὶ τῆς — δὲ] *ἀπὸ δὲ τῆς γῆς παχύτερον ἢ* Plinium scriptum habuisse censet Sch.
φλοιὸν — λεῖον] P2 Ald. Edd. Sch. in Auctario, quod eadem stirps non simul *σκληρὸς* esse et *φλοιὸν λεῖον* habere possit, h. l. *φύλλον* scribendum esse censet. At opponuntur *λεῖος* et *τραχύς*; *σκληρὸς* dicitur de duritie ac tenacitate; vox *φλοιὸν* recte habet, nam et in arbore thurifera mentio corticis facta est. — Ceterum *ἔχει* iterum P2 Ald. Edd.
ἀνδράχλῃ] *ἀνδράχνῃ* P2 Ald. Edd. o. Vide ad 1, 9, 3.
σχεδὸν συμφων.] UMP2 St. Sch. G.; *σχεδὸν οὐ συμφ.* Ald. H. Edd. o.
οὐδέτερον γὰρ] *οὐδὲν γὰρ ἑκατέρων* P2.
λιβανωτοῦ δαφνοειδὲς καὶ λειόφλοιον δ' εἶναι] corr. Sch. in Syll.; *λιβάνου τοῦ δαφνοειδὲς καὶ λειόφυλλον δ' εἶναι* UM; *λιβάνου δαφνοειδὲς καὶ λειόφλοιον δὲ εἶναι* P2; *λιβάνου· ἀλλὰ τοῦ μὲν δαφνοειδὲς καὶ λειόφυλλον εἶναι* Ald. (*λειόφυλον* Bas.) H; *λιβάνου δένδρον δαφνοειδές φασι καὶ λειόφυλλον εἶναι* St.; *λιβάνου· ἀλλὰ τοῦ μὲν δαφνοειδὲς καὶ λεῖον τὸ φύλλον εἶναι* Sch. Cont.
πτελέᾳ] UMP2 Ald. St. Sch.; *ἐλαίᾳ* H.; *folium olivae* Plin. 12, 14 s. 34, quod placuisset Sch. si codices addicerent.
ἐπακανθίζον] *ἐξακανθίζον* superscripto π P2.
4. *οὕτω*] P2; *οὕτως* Ald. Edd.
καὶ τὴν συλλ.] MP2 Sch.; *κατὰ τὴν συλλ.* Ald. Edd.
τετμῆσθαι] P2; *πεπλῆχθαι* Ald. Edd. o.
τοὺς δὲ] UM; *τὰ δὲ* Ald. Edd. o.; *τὰ δὲ* superscripto *τοὺς* P2.
τὰς ἐντομὰς] UMP2 Sch.; *τὰ τομὰς* Ald.; *τὰς τομὰς* Cam. Bas. H. St.
τῷ δένδρῳ] *τὸ δένδρον* P2.
προσέχεσθαι] UMP2; *προσίσχεσθαι* Ald. Edd. o.
ἐνιαχοῦ μὲν] UM Ald.; *ἐνιχοῦμεν* P2; *καὶ ἐνιαχοῦ μὲν* H. St. Sch. Asyndeton ab hoc stilo non alienum.
ἐκ φοινίκων] P2; *ἐκ τῶν φοινίκων* Ald. Edd. o.

δὲ τὸ ἔδαφος μόνον ἠδαφίσθαι καὶ καθαρὸν εἶναι· καὶ τὸν μὲν ἐπὶ τῶν φιάθων
λιβανωτὸν εἶναι καὶ καθαρὸν καὶ διαφανῆ τὸν δ' ἐπὶ τῆς γῆς ἧττον· τὸν δ' ἐπὶ
τοῖς δένδροις προςεχόμενον ἀποξύειν σιδήροις δι' ὃ καὶ φλοιὸν ἐνίοις προςεῖναι.
5. τὸ δὲ ὄρος ἅπαν μεμερίσθαι τοῖς Σαβαίοις, τούτους γὰρ εἶναι κυρίους, δικαίους
δὲ τὰ πρὸς ἀλλήλους δι' ὃ καὶ οὐδένα τηρεῖν· ὅθεν καὶ αὐτοὶ δαψιλῶς εἰς τὰ
πλοῖα λαβόντες ἐνθέσθαι τοῦ λιβανωτοῦ καὶ τῆς σμύρνης ἐρημίας οὔσης καὶ
ἀποπλεῖν. ἔλεγον δ' οὗτοι καὶ τόδε καὶ ἔφασαν ἀκούειν ὅτι συνάγεται πανταχόθεν ἡ σμύρνα καὶ ὁ λιβανωτὸς εἰς τὸ ἱερὸν τὸ τοῦ ἡλίου· τοῦτο δ' εἶναι μὲν
τῶν Σαβαίων ἁγιώτατον δὲ πολὺ τῶν περὶ τὸν τόπον, τηρεῖν δέ τινας Ἄραβας
6. ἐνόπλους· ὅταν δὲ κομίσωσιν ἕκαστον σωρεύσαντα τὸν αὑτοῦ καὶ τὴν σμύρναν
ὁμοίως καταλιπεῖν τοῖς ἐπὶ τῆς φυλακῆς, τιθέναι δὲ ἐπὶ τοῦ σωροῦ πινάκιον
γραφὴν ἔχον τοῦ τε πλήθους τῶν μέτρων καὶ τῆς τιμῆς ἧς δεῖ πραθῆναι τὸ μέτρον ἕκαστον· ὅταν δὲ οἱ ἔμποροι παραγένωνται σκοπεῖν τὰς γραφάς, ὅςτις
δ' ἂν αὐτοῖς ἀρέσκῃ μετρησαμένους τιθέναι τὴν τιμὴν εἰς τοῦτο τὸ χωρίον ἔνθεν ἂν ἕλωνται, καὶ τὸν ἱερέα παραγενόμενον τὸ τρίτον μέρος λαβόντα τῆς τιμῆς τῷ θεῷ τὸ λοιπὸν αὐτοῦ καταλιπεῖν καὶ τοῦτο σῶν εἶναι τοῖς κυρίοις ἕως
7. ἂν ἕλωνται παραγενόμενοι. ἄλλοι δέ τινες τὸ μὲν τοῦ λιβανωτοῦ δένδρον
ὅμοιον εἶναί φασι σχίνῳ καὶ τὸν καρπὸν ταῖς σχινίσι φύλλον δὲ ὑπέρυθρον·
εἶναι δὲ τὸν μὲν ἐκ τῶν νέων λιβανωτὸν λευκότερον καὶ ἀοδμότερον τὸν δ' ἐκ
τῶν παρηκμακότων ξανθότερον καὶ εὐοσμότερον· τὸ δὲ τῆς σμύρνης ὅμοιον τῇ

ἠδαφίσθαι] *ἠδαφέσθαι* M; *ἐκδαφίσθαι* P_2.

καθαρὸν] *καθάπερ* Cam.

καὶ τὸν μὲν] P_2 H. St. Sch.; *καὶ* om. UM Ald.

ἀποξύειν] UP_2 Sch. syll.; *ἀποξέειν* Ald. Edd. o.

5. *ὅθεν*] *ὥστε* P_2. Idem deinde *λαβῶντες ἐνθέτως — κρεμίας — εἰς τὸ ἰουρὸν*.

τηρεῖν δέ τινας Ἄραβας] P_2, ubi *ἄρραβας*; *τηρ. δὲ χεινους ἄραβας* U; *τηρ. δὲ ἔχειν τοὺς ἄραβας* M; *Custodesque arabes armatos habere* G.; *τηρ. δ' ἔχειν τοὺς Ἄρραβας* Ald.; *τηρ. δ' ἐκεῖ τοὺς Ἄραβας* H. St Sch. cont.; *τηρ. ἐκεῖνο τοὺς Ἄραβας* Sch. syll. Equidem conjeceram *τηρεῖν δὲ συνεχῶς Ἄραβας*, cum nec articulus ante *Ἄραβας* ferri, neque *ἐκεῖνο* post praemissum paullo ante *τοῦτο* probari posse videretur. Nunc libenter Par. 2 scripturam amplexus sum.

6. *τὸν αὑτοῦ*] *τὸν ἑαυτοῦ* Ald. Sch.; *τὴν ἑαυτοῦ* M; *τὴν αὐτοῦ* U; *τὴν αὐτοῦ* omissis dein *καὶ τὴν* P_2; *ἕκαστον σωρὸν τὸν ἑαυτοῦ* H. St. Scriptura librorum *τὴν* explicari potest subintellecto *μοῖραν*, sed cum sequatur *καὶ τὴν σμύρναν*, illud referendum est ad *λιβανωτὸν* ideoque *τὸν* cum Ald. scribendum.

πραθῆναι] corr. Sch. syll.; *πρασθῆναι* U; *προςθεῖναι* P_2 Ald. Edd. o.; *pretium quod pro singulis mensuris sit persolvendum* G.

ὅςτις δ' ἂν] UP Sch. syll.; intellige *σωρός*; *ὃς τοῖς δ' ἂν* M; *ἥτις δ' ἂν* Ald. Edd. o.; *ὅςτις* P_2 omisis *δ' ἄν*; *ejusque quod placuerit* G.

χωρίον] P_2 Ald. H. St.; *in eodem ponere loco unde merces acceperint* G.; *μόριον* dedit Sch., sed nihil de hac mutatione monuit lectorem, ut invitus etiam dedisse videri possit.

καὶ τὸν ἱερέα παραγ.] P_2; *τὸν ἱερέα παραγ.* U; *τὸν ἱερέα δὲ παραγ.* M Sch.; *τὸν δὲ ἱερέα* Ald. H. St.

τοῖς κυρ.] *τοῖς* om. H. St.

7. *σχίνῳ*] P_2 e corr. Scalig. H. St. Sch.; *lentisco* Plin. l. l. s. 30 et G.; *σχοίνῳ* Ald.

σχινίσι] M Sch.; *σχινίσιν* UP_2; *σχοινίσι* Ald. H.; *σκίνοις* St.

ἀοδμότερον] *εὐοδμότερον* M; *ἀνευμώτερον* P_2, qui proximis omissis pergit *τὸν δ' ἐκ τῆς σμύρνης*.

παρηκμακότων] U Sch. syll.; *παρακμαζόντων* Ald. Edd. o.

τὸ δὲ τῆς] Ald. Edd. o.; *τὸ δ' ἐκ τῆς* U Sch. syll., quod equidem non intelligo. Nam *τὸ* intelligendum est *δένδρον*.

τερμίνθῳ τραχύτερον δὲ καὶ ἀκανθωδέστερον, φύλλον δὲ μικρῷ στρογγυλότερον
τῇ δὲ γεύσει διαμασωμένοις ὅμοιον τῷ τῆς τερμίνθου· εἶναι δὲ καὶ τούτων τὰ
παρηκμακότα εὐοσμότερα. γίνεσθαι δὲ ἀμφότερα ἐν τῷ αὐτῷ τόπῳ· τὴν δὲ 8.
γῆν ὑπάργιλον καὶ πλακώδη καὶ ὕδατα πηγαῖα σπάνια. ταῦτα μὲν οὖν ὑπεναν-
τία τῷ νίφεσθαι καὶ ὕεσθαι καὶ ποταμοὺς ἐξιέναι· τὸ δὲ παρόμοιον εἶναι τὸ
δένδρον τῇ τερμίνθῳ καὶ ἄλλοι τινὲς λέγουσιν, οἱ δὲ καὶ ὅλως τέρμινθον εἶναι·
κομισθῆναι γὰρ ξύλα πρὸς Ἀντίγονον ὑπὸ τῶν Ἀράβων τῶν τὸν λιβανωτὸν
καταγόντων ἃ οὐδὲν διέφερε τῶν τῆς τερμίνθου· πλὴν οὗτοί γε μεῖζον ἕτερον
ἀγνόημα προσηγνόουν· ᾤοντο γὰρ ἐκ τοῦ αὐτοῦ δένδρου τόν τε λιβανωτὸν γίνε-
σθαι καὶ τὴν σμύρναν· διόπερ ἐκεῖνος ὁ λόγος πιθανώτερος ὁ παρὰ τῶν ἀνα- 9.
πλευσάντων ἐξ Ἡρώων πόλεως· ἐπεὶ καὶ τὸ ὑπὲρ Σάρδεων πεφυκὸς τοῦ λιβα-
νωτοῦ δένδρον ἐν ἱερῷ τινι δαφνοειδὲς ἔχει τὸ φύλλον εἴ τι δεῖ σταθμᾶσθαι
τοῦτο· ὁ λιβανωτὸς δ' ἔχει, καὶ ὁ ἐκ τοῦ στελέχους καὶ ὁ ἐκ τῶν ἀκρεμόνων,
ὁμοίως καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ θυμιώμενος τῷ ἄλλῳ λιβανωτῷ. πέφυκε δὲ
τοῦτο μόνον τὸ δένδρον οὐδεμιᾶς τυγχάνειν . . . ἔνιοι δὲ λέγουσιν ὡς πλείων 10.

διαμασωμένοις] *διαμασσωμένοις* M, *διαμασσομένοις* superscripto ω P2.

τερμίνθου] P2 Ald. Edd. o. ut paullo ante *τερμίνθῳ*. Hic *τερεβίνθου* et sic mox ter *τερεβίνθῳ τερέβινθον τερεβίνθου* in Syll. correxit Sch., alibi alteram formam intactam reliquit vel corrigere neglexit. Cf. ad cap. 1, 2.

παρηκμακότα] *παρηκμηκότα* P2.

εὐοσμότερα] P2; *εὐοδμότερα* U Sch. syll.; *εὐδοκιμώτερα* Ald. Edd. o.

8. *τὴν δὲ γῆν*] UMPP2 Sch.; *τὴν γὰρ γῆν* Ald. Edd.

πλακώδη] *sabulosa* G., unde eum *ἀμμώδη* habuisse putant. *πλακώδη* est *crustaceum*, quod dicitur de solo duriore crustam referente, quale argillaceum esse solet, distinctum ab arena mobili ac humo laxo silvarum agrorumque.

τὸ δένδρον] *τῷ δένδρῳ* P2.

Ἀράβων] *ἀρράβων* Ald. P2.

καταγόντων] UP2 Sch. e conj.; *καταγαγόντων* Ald. H. St.; *advexere* G.

τῶν τῆς τερμ.] corr. Sch. syll.; *τῷ τῆς τ.* U Ald.; *τὸν τῆς τερμ.* P2; *τοῦ τῆς τ.* H. St.; *τῆς τ.* omisso articulo Sch. cont. — *ἑρμίνθου* M.

9. *πιθανώτερος*] *πιθανότερος* P2. Idem deinceps *ὁ περὶ*.

τὸ ὑπὲρ] *τὸ* om. P2.

σταθμᾶσθαι τοῦτο] UMP2 Ald. Interpunxi ut P2 Ald., retractis his verbis ad superiora. Schn. ante *εἴ τι* et post *τούτῳ* comma posuit et cum sequentibus junxit. *Si quidem ex eadem ducere argumentum conveniat: quoniam ejus thus* etc. G. *τούτῳ* correxit Sch., recte fortasse; tamen accusativum tenui quum non omni ratione careat. Locum sic scripserunt editores: *στ. τούτῳ, ὅτι ὁ λιβανωτὸς* H.; *ἔτι δὲ δεῖ στ. τούτῳ, ὅτι ὁ λ.* St.; *στ. τούτῳ ὁ λιβ.* Sch.

δ' ἔχει] scripsi e conjectura; *δίεται* P2 Ald. Sch.; H. et St. omiserunt et *ὅτι ὁ λιβανωτὸς* scripserunt. Haec dicit: Argumento, quod probabilius est id quod retulerunt qui e Heroum urbe expeditionem fecere, est arbor thurifera in templo quodam circa Sardes nata, quae folia laurinis similia gerit: siquidem e foliorum similitudine conjecturam facere licet. Ipsum vero thus, quod e trunco et ramis ejus profluit, et adspectu et odore cum thure cetero convenit. Possis etiam *δ' ἀνίεται — ὅμοιος* scribere.

ἀκρεμόνων] *ἄκρων* P2.

ὁμοίως] P2 Ald. H. St.; *ὅμοιοις* Sch., quae mutatio frustranea erat dum vitiosum *δίεται* tenebatur.

οὐδεμιᾶς τυγχάνειν . . .] UM Ald. sine signo lacunae; *οὐ μιᾶς τυγχάνειν* P2; *οὐδ. τυγ. γεωργίας* H. St.; *οὐδεμιᾶς τυγχάνον θεραπείας* Sch. Auctore scilicet Gaza: *sola haec arbor omnem penitus cultum aspernatur.* Fortasse vitium haeret in ipsa voce *οὐδεμιᾶς*.

10. *πλείων*] dedi e conjectura; *ἡδίων* P2 Ald. Edd.; Coraes conj. *ἰδίως*. At hoc aliud significat quam hic dici poterat: *ἰδίως γίνεται* est *nascitur peculiari quodam modo;* quod ille voluit, *ἴδιόν ἐστι τῆς Ἀραβίας* esse debebat. Sed *ἡδίων* vitiosum esse apparet, nequit enim huic *καλλίων* opponi: aptissime autem *πλείων* opponitur, quod solet fere Theophrastus sic contrarium ponere *τῷ καλλίων*. — *ἀρραβίᾳ* Ald. P2.

μὲν ὁ λιβανωτὸς ἐν τῇ Ἀραβίᾳ γίνεται καλλίων δὲ ἐν ταῖς ἐπικειμέναις νήσοις ὧν ἐπάρχουσιν· ἐνταῦθα γὰρ καὶ σχηματοποιεῖν ἐπὶ τῶν δένδρων οἷον ἂν θέλωσι· καὶ τάχα τοῦτό γε οὐκ ἀπίθανον· ἐνδέχεται γὰρ ὁποίαν ἂν βούλωνται ποιεῖν τὴν ἐντομήν. εἰσὶ δέ τινες καὶ μεγάλοι σφόδρα τῶν χόνδρων, ὥστ' εἶναι τῷ μὲν ὄγκῳ χειροπληθιαίους σταθμῷ δὲ πλέον ἢ τρίτον μέρος μνᾶς. ἀργὸς δὲ κομίζεται πᾶς ὁ λιβανωτὸς ὅμοιος δὲ τῇ προσόψει φλοιῷ. τῆς σμύρνης δὲ ἡ μὲν στακτὴ ἡ δὲ πλαστή. δοκιμάζεται δ' ἡ μὲν ἀμείνων τῇ γεύσει καὶ ἀπὸ ταύτης τὴν ὁμόχρων λαμβάνουσι. περὶ μὲν οὖν λιβανωτοῦ καὶ σμύρνης σχεδὸν τοσαῦτα ἀκηκόαμεν ἄχρι γε τοῦ νῦν.

5 H. St. Cap. V. Περὶ δὲ κιναμώμου καὶ κασίας τάδε λέγουσι· θάμνους μὲν ἀμφότερα ταῦτ' εἶναι οὐ μεγάλους ἀλλ' ἡλίκους ἄγνου, πολυκλάδους δὲ καὶ ξυλώδεις. ὅταν δὲ ἐκκόψωσιν ὅλον τὸ κινάμωμον διαιρεῖν εἰς πέντε μέρη· τούτων δὲ τὸ πρῶτον πρὸς τοῖς βλαστοῖς βέλτιστον εἶναι ὃ τέμνεται σπιθαμιαῖον ἢ μικρῷ μεῖζον· ἑπόμενον δὲ τὸ δεύτερον ὃ καὶ τῇ τομῇ ἔλαττον· εἶτα τὸ τρίτον καὶ τέταρτον· ἔσχατον δὲ τὸ χείριστον τὸ πρὸς τῇ ῥίζῃ· φλοιὸν γὰρ ἐλάχιστον ἔχειν· χρήσιμος δὲ οὗτος οὐ τὸ ξύλον· δι' ὃ καὶ τὸ ἀκροφυὲς κράτιστον, πλεῖ-

ἐπικειμέναις] *ὑποκειμέναις* P2.

ἐπάρχουσιν] conj Coraes, Sch.syll.; *ἐν ὑπάρχουσι* P2; *ἐνυπάρχουσι* Ald. Edd.; *ὧν Ἰνδοὶ ἄρχουσι* conj. Salmas. Exerc. p. 361.

δένδρων] Vin. H. St. Sch.; *ἀνδρῶν* UM P2 Ald.; *in his enim et figurari in arbore posse* G. — *σχημαποιεῖν* H. St. — Dein *οἴων* P2.

τοῦτό γε] sic etiam Ald. Bas., quas *τούτοις* habere falso retulit Sch.

ἐνδέχεται γὰρ] Vin. Vo. H. St. Sch.; *γὰρ* om. UM P2 Ald.

βούλωνται] corr. Sch.; *βούλονται* M; *βούληται* P2 Ald. H. ubi aegre desideratur *τις*; *βούληται τις* St.

τῶν χόνδρων] correxit Sch.; *τῷ χόνδρῳ* P2 Ald. Edd.

ὥστ'] P2; *ὥστε* Ald. Edd. o.

ὄγκῳ] Ald. Edd. o.; *λόγῳ* UMP2.

χειροπληθιαίους] *χειροπληθυαίους* P2.

πλέον] UMPP2; *πλεῖον* Ald. Edd. o.

τρίτον] *τρίτων* P2.

φλοιῷ] *τῷ φλοιῷ* St.

πλαστή] *πλάτη* P2. — Dein *δ' ἡ* P2; *δὲ ἡ* Ald. Edd.

ἡ μὲν ἀμείν.] *μὲν* om. P.

ὁμόχρων] Sch.syll.; *ὁμόχρω* UM; *ὁμόχρουν* Ald. Edd. o.; *τὴν ἑτέραν καταλαμβάνουσι* P2, mira discrepantia.

σμύρνης σχεδὸν — τοῦ νῦν] Hoc ordine haec verba scripta habent UMP2, Sch.syll.; *σμύρνης ἄχρι γε τοῦ νῦν σχεδὸν τοσαῦτα ἀκηκόαμεν* Ald. Edd. o.

Cap. V.

τάδε] UP2; *ταῦτα* Ald. Edd. o.

θάμνους] Ald. Edd. o.; *θαμνώδη — οὐ μεγάλα ἀλλ' ἡλίκα καὶ ἄγνου, πολύκλαδα δὲ καὶ ξυλώδη* P2.

ἄγνου] scil. *θάμνους*, ut explicat Sch. Vereor ut genuinum sit; fortasse *ἄγνον* scribendum.

ὅλον τὸ κιν.] UM Sch.; *τὸ κινάμωμον ὅλον* Ald. H. St.; *ὅλον τὸν κινάμωμον ὅλον* P2.

τούτων] P2, quod ipse inveneram conjectura; *τοῦτο* M; *τούτου* Ald. Edd. o.

πρῶτον πρὸς] *πρ. τὸ πρὸς* Sch. Sed *τὸ πρῶτον πρὸς τοῖς βλαστοῖς* est *quod proximum ramulis*. Idem *τὸ* addidit ante *βέλτιστον*.

βέλτιστον] *χρήσιμον* P2.

τὸ χείριστον] *καὶ χείριστον* St. Deinceps Bod. sic mutari vult: *φλοιὸν γὰρ πλεῖστον ἔχειν· οὐ γὰρ οὗτος χρήσιμος ἀλλὰ τὸ ξύλον διὸ — κράτιστον· ἐλάχιστον γὰρ ἔχειν τὸν φλοιόν*. Schneidero vulgata scriptura, quamquam Plinii auctoritate confirmata, valde improbabilis esse videtur. Credo virum doctissimum praetervidisse, quod in hisce stirpibus, quarum cortex in usum cedit, maxime quaesitas esse particulas tenuiores ramorum qui corticem vegetiorem ac magis conspicuum habent.

φλοιὸν γὰρ] *φλ. τὸν* P2.

ἐλάχιστον ἔχειν] corr. Sch.; *ἐλ. ἔχει* P2 Ald. H. St.

στον γὰρ ἔχειν καὶ τὸν φλοιόν. οἱ μὲν οὕτω λέγουσιν. ἄλλοι δὲ θαμνῶδες 2. μὲν καὶ ἔτι μᾶλλον φρυγανῶδες εἶναί φασι· δύο δ' αὐτοῦ γένη τὸ μὲν μέλαν τὸ δὲ λευκόν. λέγεται δέ τις καὶ μῦθος ὑπὲρ αὐτοῦ· φύεσθαι μὲν γάρ φασιν ἐν φάραγξιν, ἐν ταύταις δ' ὄφεις εἶναι πολλοὺς δῆγμα θανάσιμον ἔχοντας, πρὸς οὓς φραξάμενοι τὰς χεῖρας καὶ τοὺς πόδας καταβαίνουσι καὶ συλλέγουσιν, εἶθ' ὅταν ἐξενέγκωσι διελόντες τρία μέρη διακληροῦνται πρὸς τὸν ἥλιον καὶ ἣν ἂν λάχῃ ὁ ἥλιος καταλείπουσιν· ἀπιόντες δ' εὐθὺς ὁρᾷν φασι καιομένην ταύτην· οὗτος μὲν οὖν τῷ ὄντι μῦθος. τὴν δὲ κασίαν φασὶ τὰς μὲν ῥάβδους παχυτέρας 3. ἔχειν, ἰνώδεις δὲ σφόδρα καὶ οὐκ εἶναι περιφλεῦσαι· χρήσιμον δὲ καὶ ταύτης τὸν φλοιόν. ὅταν οὖν τέμνωσι τὰς ῥάβδους κατακόπτειν ὡς διδάκτυλα τὸ μῆκος ἢ μικρῷ μείζω, ταῦτα δ' εἰς νεόδορον βύρσαν καταρράπτειν· εἶτ' ἐκ ταύτης καὶ τῶν ξύλων σηπομένων σκωλήκια γίνεσθαι ἃ τὸ μὲν ξύλον κατεσθίει τοῦ φλοιοῦ δ' οὐχ ἅπτεται διὰ τὴν πικρότητα καὶ δριμύτητα τῆς ὀσμῆς. καὶ περὶ μὲν κασίας καὶ κινναμώμου τοσαῦτα λέγεται.

Cap. VI. Τὸ δὲ βάλσαμον γίνεται μὲν ἐν τῷ αὐλῶνι τῷ περὶ Συρίαν. παραδείσους δ' εἶναί φασι δύο μόνους τὸν μὲν ὅσον εἴκοσι πλέθρων τὸν δ' ἕτερον πολλῷ ἐλάττονα. τὸ δὲ δένδρον μέγεθος μὲν ἡλίκον ῥόα μεγάλη πολύκλαδον δὲ σφόδρα· φύλλον δὲ ἔχειν ὅμοιον πηγάνῳ πλὴν ἔκλευκον, ἀείφυλλον δὲ εἶναι· καρπὸν δὲ παρόμοιον τῇ τερμίνθῳ καὶ μεγέθει καὶ σχήματι καὶ χρώματι, εὐώδη σφόδρα καὶ τοῦτον καὶ μᾶλλον τοῦ δακρύου. τὸ δὲ δάκρυον ἀπὸ ἐντομῆς 2. συλλέγειν, ἐντέμνειν δὲ ὄνυξι σιδηροῖς ὑπὸ τὸ ἄστρον ὅταν μάλιστα πνίγη ὦσι καὶ τὰ στελέχη καὶ τὰ ἄνω. τὴν δὲ συλλογὴν ὅλον τὸ θέρος ποιεῖσθαι· οὐκ εἶναι δὲ πολὺ τὸ ῥέον ἀλλ' ἐν ἡμέρᾳ τὸν ἄνδρα συλλέγειν ὅσον κόγχην· τὴν δ'

6 H. St.

μὲν οὕτω] P2 Ald. H. St.; *μὲν οὖν οὕτω* de conj. Sch.

2. *μὲν καὶ — εἶναι*] Haec verba omissa in Ald. Edd. dant UP2, Sch.syll. St. dederat: *ἄλλοι δ' οὐ θαμνώδεις φασί· δυὸ δ' αὐτῶν*.

γένη τὸ] *γένη καὶ τὸ* P2.

πολλοὺς] *πτερωτοὺς* scripsit St. auctore Bodaeo, qui id duxit e Plin. l. l. s. 42, quem vero expressisse verba Herodoti 3, 107 adnotat Sch.

δ' εὐθὺς] *δ'* om. P2.

3. *παχυτέρας*] UMPP2 St. Sch.; *crassiori* G.; *πλατυτέρας* Ald. H.

ἰνώδεις] Ald. Edd.; *ἰνοειδὲς* UP2; *ἰνῶδες* M.

περιφλεῦσαι] UMP2 Ald. Sch.syll.; *περιφλοῖσαι* H. St.; *περιφλοΐσαι* Sch.cont.; *decorticari* G.

ταῦτα δ'] *δ'* om. MP2.

νεόδορον] corr. Sch.; *νεόδερον* P2 Ald. H. St. — Dein *βυρσοῦν καταράπτειν* P2.

ἃ] Ald. Edd.; *διὸ* UMP2.

Cap. VI.

τὸ δὲ δένδρον] U Ald. H.; *τὸ δὲ δένδρος* M; *τὸ δὲ μέτρον* P2; *τὸ δὲ τοῦ δένδρου* St. Sch.

ῥόα] P2 Ald. H. Sch.; *ῥοιὰ* St.

ἔχειν] Ald. Edd. o.; *ἔχει* UMP2.

ἔκλευκον] Ald. Edd. o.; *ἔλλευκον* UM; *ἔκλεικον* P2.

εὐώδη — τοῦτον] Sch. de conj.; *εὐῶδες — τοῦτο* P2 (ubi *εὔωδες*) Ald. H.; *εὐῶδες δὲ σ. κ. τοῦτο καὶ μᾶλλον τό δάκρυον* St., quae ultima a Bodaeo accepit; *is quoque admodum odoratus est et magis quam lacryma* G. Locus vix integer: mox lacrymae odorem praestantissimum lateque manantem tribuit.

2. *ἐντομῆς*] *ἐντόμου* P2.

ἐντέμνειν δὲ ὀν. σιδ.] *ἐκτέμειν ὄνυξι καὶ σιδ.* P2.

πνίγη ὦσι] Ald. Edd.; *πνήγουσι* U, *πνίγουσι* M, *πήγουσι* P2.

ὀσμὴν διαφέρουσαν καὶ πολλὴν ὥστε ἀπὸ μικροῦ πολὺν ἐφικνεῖσθαι τόπον. ἀλλ' οὐ φοιτᾶν ἐνταῦθα ἄκρατον ἀλλὰ τὸ συνηγμένον κεκραμένον· πολλὴν γὰρ δέχεσθαι κρᾶσιν· καὶ τὸ ἐν τῇ Ἑλλάδι πολλάκις εἶναι κεκραμένον· εὔοσμα
3. δὲ σφόδρα καὶ τὰ ῥαβδία· καθαίρειν γὰρ καὶ τῶνδε ἕνεκα καὶ τοῦ διαφόρου· πωλεῖσθαι γὰρ τίμια. καὶ τὴν ἐργασίαν τὴν περὶ τὰ δένδρα σχεδὸν ἐν ταύτῃ αἰτίᾳ εἶναι καὶ τὴν βροχήν· βρέχεσθαι γὰρ συνεχῶς. συναιτίαν δὲ δοκεῖν εἶναι τοῦ μὴ μεγάλα γίνεσθαι τὰ δένδρα καὶ τὴν τῶν ῥαβδίων τομήν. διὰ γὰρ τὸ πολλάκις ἐπικείρεσθαι ῥάβδους ἀφιέναι καὶ οὐκ εἰς ἓν ἐκτείνειν τὴν ὁρμήν.
4. ἄγριον δὲ οὐδὲν εἶναι βάλσαμον οὐδαμοῦ· γίνεσθαι δὲ ἐκ μὲν τοῦ μείζονος παραδείσου ἀγγείδια δώδεκα ὅσον ἡμιχοαῖα, ἐκ δὲ τοῦ ἑτέρου δύο μόνον· πωλεῖσθαι δὲ τὸ μὲν ἄκρατον δὶς πρὸς ἀργύριον τὸ δ' ἄλλο κατὰ λόγον τῆς μίξεως. καὶ τοῦτο μὲν διαφέρον τι φαίνεται κατὰ τὴν εὐοσμίαν.

7H.St CAP. VII. Ὁ δὲ κάλαμος γίνεται καὶ ὁ σχοῖνος ὑπερβάλλοντι τὸν Λίβανον μεταξὺ τοῦ τε Λιβάνου καὶ ἄλλου τινὸς ὄρους μικροῦ ἐν τῷ αὐλωνίσκῳ τούτῳ καὶ οὐχ ὥς τινές φασι τοῦ Ἀντιλιβάνου· ὁ γὰρ Ἀντιλίβανος μακρὰν ἀπέχει τοῦ Λιβάνου καὶ μεταξὺ τούτων ἐστὶν ὃν αὐλῶνα καλοῦσι πεδίον πολὺ καὶ καλόν. ὅπου δὲ ὁ κάλαμος καὶ ὁ σχοῖνος φύεται λίμνη μεγάλη τυγχάνει, πρὸς ταύτην δὲ ἐν τῷ ἕλει τῷ ἀνεξηραμμένῳ πεφύκασι· τόπον δὲ ἔχουσι πλεῖον ἢ

πολὺν] UM Bas. Sch.; *πολλὺν* Ald.; *πολλὴν* P2 Cam.; *πολλὸν* H. St.

ἀλλὰ τὸ συνηγμένον] P2 Ald. Edd.; *τὸ συνηγμένον, ἀλλὰ* Sch.; *sed quod mistum colligitur* G.

κεκραμένον] UMP2 Sch.; *κεκραμμένον* Ald. H. St. Sic mox iterum.

κρᾶσιν] P2 Edd. post H.; *κράσιν* Ald. — *καίτοι ἐν τῇ* St.

3. *καθαίρειν γὰρ*] Ald. Edd.; *κ. δὲ* Sch. Dein post *πωλεῖσθαι* addidi *γὰρ* cum Sch., cetera scripta sunt ut Ald. exhibet; *τῶνδε* et *τίμια* etiam UM habere adnotatum. *διαφόρως* P; *διαφόρου ὑπολεῖσθαι τίμια* P2; *καὶ τοῦδε — πωλ. τιμῆς* fecit H.; *καὶ τοῦδε — καίτοι διαφ. πωλ. τιμῆς* St. *Et quidem eas quoque amputari quotannis, partim ut reliqua valentiora serventur, partim ut emolumenti plus comparetur, nam et eas magno quoque posse pretio vendi.* G., qui hunc locum in codice suo magis integrum habuisse videtur. Quanquam quae praebet non omnia placent. Haud dubium est quin scriptura Ald., ac ut videtur librorum mss., lacunosa et vitiata sit; inprimis offendimus in *διαφόρου*. Venit in mentem scribi posse *καθ. γὰρ καὶ τῶνδε ἕνεκα κατ' ἔτος τὸ δένδρον.*

καὶ τὴν βροχήν] dedi e conj.; *καὶ τὴν — σχεδὸν ταύτην αἰτίαν — βροχήν* UMP2 Ald.; *καὶ τῆς ἐργασίας τῆς — σχεδὸν ταύτην αἰτίαν εἶναι καὶ τῆς βροχῆς* H. St. Sch., ubi tamen H. *καὶ τὴν* et *βροχῆς* expressit, Sch. ante *αἰτίαν* addidit *τήν*.

βρέχεσθαι γὰρ] UP2 Sch. syll.; *βρ. δὲ* Ald. Edd. o.

ἐπικείρεσθαι] M Sch.; *ἀποκείρεσθαι* Ald. H. St.

4. *ἀγγείδια*] U Sch. syll.; *ἀγγεῖα διὰ* M; *ἀλσείδια* P2; *ἀγγεῖα* Ald. Edd. o.

ἡμιχοαῖα] sic corr. Sch. sed non acceptum ab Ald. Bas., ut scribit; hae enim ut H. *ἡμιχόεα* dant; *ἡμίχροα* P2; *ἡμιχόας* St. — *ὅσα* dant MP2.

διαφέρον] P2 Ald. Sch.; *διάφυρόν* H. St.

CAP. VII.

φασι τοῦ Ἀντιλιβάνου] P2 Ald. H. St.; *φασι τοῦ Λιβάνου καὶ Ἀντιλιβάνου* Vin. Vo. cod. Cas. Sch., cujus additamenti auctor G.: *non ut quidam dixere inter libanum atque antilibanum.* Sed scriptura vetus bona est.

ὁ γὰρ — Λιβάνου] UP2 Sch. in Syll.; om. G. Ald. Edd.

ἀνεξηραμμένῳ] corr. Sch. syll.; *ἀνεξηρασμένῳ* UMP; *ἀνεξηραμένῳ* P2 Ald. Edd. o.

πλεῖον] *πλείω* P2.

τριάκοντα σταδίων. οὐκ ὄζουσι δὲ χλωροὶ ἀλλὰ ξηρανθέντες, τῇ προσόψει δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων· εἰςβάλλοντι δ' εἰς τὸν τόπον εὐθὺς ὀσμὴ προςβάλλει· οὐ μὴν πορρωτέρω γε ἡ ἀποπνοὴ γίνεται καθάπερ τινές φασι ταῖς 2.
προςφερομέναις ναυσὶ πρὸς τὴν χώραν· καὶ γὰρ ὁ τόπος οὗτος ἀπὸ θαλάττης ἀπέχει πλείους ἢ ἑκατὸν πεντήκοντα σταδίους· ἀλλ' ἐν τῇ Ἀραβίᾳ τὴν ἀποπνοὴν εἶναί φασι τὴν ἀπὸ τῆς χώρας εὔοσμον. ἐν μὲν οὖν Συρίᾳ τὰ περιττὰ τῇ ὀσμῇ σχεδὸν ταῦτ' ἐστίν· ἡ γὰρ χαλβάνη βαρύτερον καὶ μᾶλλον φαρμακῶδες· ἐπεὶ καὶ αὕτη γίνεται περὶ Συρίαν ἐκ τοῦ πανάκους καλουμένου. τὰ δὲ ἄλλα πάντα τὰ εὔοσμα οἷς πρὸς τὰ ἀρώματα χρῶνται, τὰ μὲν ἐξ Ἰνδῶν κομίζεται κἀκεῖθεν ἐπὶ θάλατταν καταπέμπεται, τὰ δ' ἐξ Ἀραβίας, οἷον πρὸς τῷ κιναμώμῳ καὶ τῇ κασίᾳ καὶ κώμακον· ἕτερον δ' εἶναι τὸ κώμακον καρπόν· τὸ δ' ἕτερον παραμίσγουσιν εἰς τὰ σπουδαιότατα τῶν μύρων. τὸ δὲ καρδάμωμον καὶ ἄμωμον οἱ μὲν ἐκ Μηδείας, οἱ δ' ἐξ Ἰνδῶν καὶ ταῦτα καὶ τὴν νάρδον καὶ τὰ ἄλλα ἢ τὰ πλεῖστα. οἷς μὲν οὖν εἰς τὰ ἀρώματα χρῶνται σχεδὸν τάδε ἐστί· 3.
κασία κινάμωμον καρδάμωμον νάρδος ναῖρον βάλσαμον ἀσπάλαθος στύραξ ἶρις νάρτη κόστος πάνακες κρόκος σμύρνα κύπειρον σχοῖνος κάλαμος ἀμάρακον λωτὸς ἄννητος. τούτων δὲ τὰ μὲν ῥίζαι τὰ δὲ φλοιοὶ τὰ δὲ κλῶνες τὰ δὲ ξύλα τὰ δὲ σπέρματα τὰ δὲ δάκρυα τὰ δὲ ἄνθη. καὶ τὰ μὲν πολλαχοῦ γίνεται, τὰ δὲ περιττότατα καὶ εὐοδμότατα πάντα ἐκ τῆς Ἀσίας καὶ ἐκ τῶν ἀλεεινῶν τό-

οὐκ ὄζουσι] de corr. Guilandini St. Sch. Cf. C. pl. 6, 14, 8 et 6, 18, 2; *οὐ δοκοῦσι* P2 Ald. H.; *virides nequaquam esse videntur* G.

[2] *οὐ μὴν*] *καὶ μὴν* P2.

προςφερομέναις ναυσὶ πρὸς] Scal. de conj.; *προςφερομέναις εἶναι πρὸς* P2 Ald.; *προςφερομέναις ναυσὶν εἶναι πρὸς* H.; *πρ. ναυσὶν προςεῖναι τ. ο.* St.; *τοῖς προςφερομένοις εἶναι πρὸς* cum Vin. Vo. cod. Cas. Sch. Scaligeri emendationem veram esse sequentia monstrant.

οὖν Συρίᾳ] P2 Ald. H.; *οὖν τῇ Σ.* Sch.

ταῦτ' ἐστίν] *ταῦτα εἰσίν* P2.

αὕτη γίνεται] Sch.; *αὐτὴ γ.* UMP2; *γίν. αὕτη* Ald. H. et St. qui *ἔτι* dedit pro *ἐπεὶ*.

πανάκους] U Sch. syll.; *πανὰ* P2; *πάκους* P Ald. Sch. cont.; *πάχους* cum Cam. H. St.; *ex paco vocato* G.

Ἰνδῶν κομίζεται] *ex india syris advehuntur* G., quem *τοῖς Σύροις* vel *εἰς Συρίαν* additum legisse censet Sch. Cur. sec. p. 492.

Ἀραβίας] P2; *ἀρραβίας* Ald.

